quid habentes liberalibus simile hæ artes, quas ἐγκυκλίους Græci, nostri liberales dicunt. Solæ autem *liberales* sunt, imo, ut dicam verius, liberæ, quibus curæ virtus est.' Cf. Epist. xc.—Mox pro αὐτῶν τῶν jam Steph. viderat legendum esse αὖ τῶν. Ast.

αὐτῶν] Ex αὐτῶν lubenter fecerim αὖ τῶν: qua mutatione et alibi opus esse vidimus. Steph.

τά τε κατὰ λόγον] Referenda hæc sunt ad prægressum λείποιτο ἄν. Κατὰ λόγον est *prosa oratione* et verba κατὰ μοῦσαν πᾶσαν omnia poesis et musicæ genera complectuntur. Sic Legg. viii. 5. p. 835. A. οἷα δὲ ἕκαστα αὐτῶν εἶναι δεῖ κατὰ λόγον καὶ κατ' ᾠδὰς καὶ καθ' ἁρμονίας ῥυθμοῖς κραθείσας καὶ ὀρχήσεσι. Cod. Voss. λόγους. Mox ὧν conjungendum est cum ἡ μιμητική, i. e. ἡ μίμησις. Ast.

πάντων δ' ἐξειργασμένων] Ficin. vertit, *imitatione vero sublata*, quod quomodo e verbis Græcis erui possit, non intelligo. Cornar. *omnibus autem excultis, reliquum est auxilium innumerabilibus infinitum*. Grouius conjiciebat ἐξειργμένων vel ἐξειργομένων. Sensus, si quid video, hic est, *omnibus vero* (artibus) *perfectis*, h. e. oratione explicatis, i. e. postquam de his omnibus exposuimus, *restant eæ artes, quæ infinitas præbent utilitates*. Ast.

ἀνδρίᾳ—σοφίᾳ δεδομένη] Legebatur ἀνδρεία et σοφία, quod e Cod. Voss. correximus; idem habet δεδεμένη. Sensus est: *quæ vero per se magis fortitudine, quam sapientia comparatur*. Sed offendit δεδομένη, perfectum idque hoc sensu usurpatum. Ni fallor, δεδομένη e prægresso δεομένη natum est, idque si exterminaveris, verba optime se habebunt, μᾶλλον δὲ ἀνδρία κατὰ φύσιν ἢ σοφία, int. οὖσα. Ast.

ἣν δὲ καλοῦμεν] Sic Steph. pro ἣν δὲ καλοῦσι μὲν scribendum esse vidit. Mox pro δέ που malim δήπου. Ast.

ὅσον] Suspicor scribendum esse ὅσων: ut intell. ἐκείνων ὅσα. Steph. qui sic in Not. 'Ferri non potest ὅσον: ac minime dubito quin mutandum sit in ὅσων, ut sit βοήθεια ἐκείνων ὅσα ὧραι λυπήσονται. Possit autem fortasse propter σχεδὸν resolvi ὅσων et in πάντων ὅσα. Sed et quæ proxime præcedunt, paulo aliter ab ipso auctore scripta fuisse crediderim: nimirum ita, ἣν δὲ καλοῦμεν ἰατρικήν, βοήθεια δήπου καὶ αὕτη etc. Sic paulo post utitur prima persona ἐροῦμεν.'

καὶ καύματι ἀκαίρῳ καὶ πᾶσι τοῖς τοιούτοις λῃΐζονται τὴν τῶν ζώων φύσιν. εὐδόκιμον δὲ οὐδὲν τούτων[q] εἰς σοφίαν τὴν ἀληθεστάτην· ἄμετρα γὰρ δόξαις φορεῖται τοπαζόμενα. βοηθοὺς δέ που καὶ τοὺς κυβερνήτας ἅμα καὶ τοὺς ναύτας ἐροῦμεν, καὶ τούτων ἄνδρα σοφὸν μηδένα τις ἡμᾶς παραμυθούμενος ἐξ ἁπάντων διαγγελλέτω· οὐδὲ[r] γὰρ ἂν εἰδείη τις πνεύματος ὀργὴν οὐδὲ φιλίαν, ὃ προσφιλὲς ἁπάσῃ[s] κυβερνητικῇ. καὶ μὴν οὐδ' ὁπόσοι βοηθοὶ δίκαις ἐν τῇ τοῦ λέγειν ῥώμῃ φασὶ[t] γίγνεσθαι μνήμῃ[u] καὶ τριβῇ, δόξης[v] ἤθεσι προσέχοντες τὸν νοῦν, ἀληθείας δὲ τῶν ὄντως δικαίων ἐκτὸς παρεσφαλμένοι. Λοιπὴ δ' ἔτι πρὸς δόξαν[w] σοφίας ἐστί τις ἄτοπος δύναμις, ἣν φύσιν ἂν οἱ πολλοὶ μᾶλλον ἢ σοφίαν ὀνομάσειαν, τότε ὅταν τινά τις ξυννοῇ ῥᾳδίως μὲν ὅ τί περ ἂν[x] μανθάνῃ μανθάνοντα, μάλα δὲ πολλὰ καὶ ἀσφαλῶς μνημονεύοντα, ὅταν τε[y] τὸ πρόσφορον ἑκάστῳ διαμνημονεύῃ τις, ὅτι γιγνόμενον ἂν πρέποι,[z] τοῦτο δὲ ταχὺ III. lii. 845.

ὅσων x.—r δὲ ante γὰρ om AZr.—s ἁπάσῃ r.—t δοκεῖ, γρ φασί, r.—u μνήμη A et pr Ω.—v τριβὴ δόξης, A et pr Ω.—w δόξαν Z.—x πᾶσαν A et pr Ω.—y δὲ Ω, δὲ AZ.—z πρέπον ΞΩ, πρέπον x.—a θήσουσι AZΩxr: φήσουσι s.

ὅσων] Vulgo *ὅσον*; illud Cod. Voss. exhibet et Steph. conjecit, qui propter *σχεδὸν* præterea suspicabatur *πάντων ὅσα* scribendum esse, haud male, etsi illius vocis notio in *ὅσων* jam insit, quocum *σχεδὸν* arte cohæret. Verba ipsa ita capienda sunt, *ὅσων φύσιν ὧραι λῃΐζονται*; oratione vero mutata propter *πᾶσι τοῖς τοιούτοις*, infertur *τὴν τῶν ζώων φύσιν*. Mox *οὐδὲν τούτων*, neutrum, positum est, etsi *στρατηγικὴ* et *ἰατρικὴ τέχνη* præcedunt. Vid. ad Legg. i. 14.—Quæ sequuntur, *ἄμετρα—τοπαζόμενα*, Ficin. ita vertit, *incertis enim conjecturis opinionibusque procedunt*. Ast.

εὐδόκιμον] Quo pertinere ista nomina *εὐδόκιμον οὐδὲν τούτων* dicemus? non aliud enim quam *βοήθεια* de medicina fuit dictum. Sed quamvis non aliud quam *βοήθεια* præcesserit, subjunxisse eum puto *οὐδὲν τούτων*, subaudientem *τῶν βοηθημάτων*: quod quum audimus medicinam esse *βοήθειαν* adversus illa omnia, statim varia ejus *βοηθήματα* in mentem venire debeant. Ceterum ante *εὐδόκιμον* non ponenda fuit *τελεία* stigme, quum hæc verba, *εὐδόκιμον δὲ οὐδὲν* etc. illius sententiæ sint clausula. Steph.

οὐδὲ γὰρ ἂν εἰδείη τις] *Ventorum enim naturam* (cur modo secundi modo infausti; hinc *πνεύματος ὀργὴν οὐδὲ φιλίαν*), *quibus utuntur, nemo illorum perspectam habebit*, h. e. nemo invenietur, qui perspectam habeat. Ficin. *nullus enim eorum iram ventorum amicitiamve cognoscit*. Ast.

μνήμῃ καὶ τριβῇ] Hæc verba cum antecedentibus conjungenda esse putavimus. Mox voce *ἤθεσι*, quum de arte oratoria disseratur, nihil aliud videtur significari nisi affectus, *δόξης* vero, voci *ἀληθείας* oppositum, est speciei (ut *τὸ δοκεῖν* opponitur *τῷ εἶναι*, h. e. vero). Speciei vero affectus erunt ii, quibus excitatis res ab oratore probabilis redditur, igitur affectus, qui probabilitatis causa (ut auditores capiantur magis quam doceantur) ab oratore concitantur. Ast.

ὅ τί περ ἂν μανθάνῃ] Cod. Voss. *ὅτι πᾶσαν λανθάνει*; deinde *ὅταν δὲ* et *θήσουσι* pro *φήσουσι*. Ast.

δρᾷ. ταῦτα γὰρ ἅπαντα οἱ μὲν φύσιν, οἱ δὲ σοφίαν, οἱ δὲ ἀγχίνοιαν θήσουσι[a] φύσεως· σοφὸν δὲ ὄντως οὐδένα[b] τούτων οὐδεὶς τῶν ἐμφρόνων ἐθελήσει ποτὲ καλεῖν.

§. 3. Ἀλλὰ μὴν δεῖ[c] φανῆναί γέ τινα ἐπιστήμην, ἣν ἔχων σοφὸς γίγνοιτ' ἂν ὁ σοφὸς ὄντως ὢν καὶ μὴ μόνον δοξαζόμενος. ἴδωμεν δή. χαλεπῷ μὲν γὰρ λόγῳ παντάπασιν ἐπιχειροῦμεν, ἑτέραν πάρεξ τῶν εἰρημένων εὑρεῖν, ἣ σοφία μὲν λέγοιτ' ἂν ὄντως τε καὶ εἰκότως, ὁ δὲ λαβὼν οὔτε βάναυσος οὔτ' ἠλίθιος ἔσται, σοφὸς δὲ καὶ ἀγαθὸς δι' αὐτὴν πολίτης τε καὶ ἄρχων καὶ ἀρχόμενος ἐνδίκως ἔσται πόλεως ἅμα καὶ ἐμμελής. κατίδωμεν δὴ[d] ταύτην[e] πρώτην, τίς ποτ' ἐκ τῆς ἀνθρωπίνης φύσεως ἐπιστήμη μία διεξελθοῦσα ἢ[f] μὴ παραγενομένη τῶν νῦν παρουσῶν ἀνοητότατον ἂν καὶ ἀφρονέστατον παράσχοι τὸ[g] ζῷον τὸ τῶν ἀνθρώπων. οὐ δὴ τοῦτό γε πάνυ χαλεπόν τῷ[h] κατιδεῖν. μία γὰρ ὡς εἰπεῖν πρὸς μίαν ἢ[i] τὸν ἀριθμὸν δοῦσα παντὶ τῷ θνητῷ γένει, τοῦτ' ἂν δράσειε. θεὸν δ' αὐτὸν[k] μᾶλλον ἤ τινα τύχην ἡγοῦμαι δόντα[l] ἡμῖν[m] σώζειν ἡμᾶς. ὃν δὲ θεὸν ἡγοῦμαι, φράζειν χρή, καί περ ἄτοπον ὄντα καί πως[n] οὐκ ἄτοπον αὖ·[o] πῶς

—[b] οὐδενὶ A et pr Ω.—[c] δὴ x.—[d] δὲ x.—[e] ταύτην τὴν Z.—[f] ἢ om A et pr Ω.—[g] παράσχοιτο τὸ x et γρ Ω.—[h] τὸ AZΞΩxr.—[i] ᾗ Ω, ᾗ r, ᾗ ἡ x.—[k] αὐτὸν τὸν μ. x.—[l] δόντα om x.—[m] ἡμῶν x.—[n] καί πως A et pr Ω.—[o] ἂν

§. 3. ἣν ἔχων] *Quam possidens sapiens erit is, qui revera sapiens est et non solum videtur*, h. e. cujus possessione vera sapientia comparabitur. Ast.

ὁ δὲ λαβὼν] I. e. ἣν δὲ ὁ λαβὼν s. δι' ἣν δὲ ὁ λαβὼν (αὐτήν). Pronomen relativum, ut solet, suppressum est, (vid. ad i. 10.) quocirca sequitur δι' αὐτήν. Ast.

ἔνδικος] Vulgo ἐνδίκως; præterea comma ante πολίτης delevimus; verba enim ita cohærent: σοφὸς δὲ καὶ ἀγαθὸς (δι' αὐτὴν) πολίτης ἔσται, καὶ ἔνδικος ἅμα καὶ ἐμμελής, ἄρχων πόλεως (*sive imperium tenet urbis*) καὶ ἀρχόμενος (*sive sub alius imperio est*). Ast.

διεξελθοῦσα] I. e. ἐξελθοῦσα, *egressa*, h. e. profecta; et τίς μία cohæret cum τῶν νῦν παρουσῶν: *quænam sit illa una ex hominis natura profecta* s. prodiens *disciplina, quæ si abesset, insipientissimum esset humanum genus*. Pro ἢ scripsimus ᾗ; nunc tamen hac correctione locum non indigere arbitror, si διεξελθοῦσα pro ἐξελθοῦσα accipias, ut sit *exiens* e natura humana, h. e. naturam humanam relinquens, igitur exemta vel sublata: quænam sit illa una de disciplinis, quas nunc habemus, (τῶν νῦν παρουσῶν), qua exemta (sublata) vel absente (ἢ μὴ παραγενομένη), insipientissimum foret genus humanum. Sic infra, εἴπερ ἀριθμὸν ἐκ τῆς ἀνθρωπίνης φύσεως ἐξέλοιμεν. Ast.

μία—πρὸς μίαν] Fic. *nam si uni unam conferas*. Vid. ad i. 14. Proprie verba sonant, *una enim, ut ita dicamus, ad unam*, h. e. alia cum alia comparata, i. e. si omnes inter se comparamus. Mox post ἄτοπον αὖ interrogationis signum, quod libri impressi habent, in colon mutavimus; pro καὶ πῶς vero scribendum est καί πως. Ast.

γὰρ τὸν[p] ἀγαθῶν[q] αἴτιον ἡμῖν[r] ξυμπάντων οὐ καὶ τοῦ III. iii. 246. II. 977.
πολὺ[s] μεγίστου, τῆς φρονήσεως, αἴτιον ἡγεῖσθαι δεῖ γεγονέναι; τίνα δὴ καὶ σεμνύνων ποτὲ λέγω[t] θεόν, ὦ Μέγιλλέ τε καὶ Κλεινία; σχεδὸν οὐρανόν, ὃν καὶ δικαιότατον, ὡς ξύμπαντες[u] ἄλλοι δαίμονες ἅμα καὶ θεοί, τιμᾶν τε καὶ εὔχεσθαι διαφερόντως αὐτῷ. τὸ δὲ καὶ τῶν ἄλλων αἴτιον ἀγαθῶν πάντων ἡμῖν αὐτὸν[v] γεγονέναι πάντες[w] ἂν ὁμολογοῖμεν.[x] δοῦναι δὲ ἅμα καὶ ἀριθμὸν ἡμεῖς γε ὄντως αὐτὸν φαμέν, ἔτι δὲ καὶ δώσειν, ἐάν τις θέλῃ ξυνακολουθεῖν. ἐὰν γάρ ἴῃ[y] τις ἐπὶ θεωρίαν ὀρθὴν τὴν τοῦδε, εἴτε κόσμον εἴτε Ὄλυμπον εἴτε οὐρανὸν[z] ἐν ἡδονῇ τῳ λέγειν, λεγέτω μέν, ἀκολουθείτω δὲ ὅπῃ[a] ποικίλλων αὐτὸν καὶ τὰ ἐν αὐτῷ στρέφων ἄστρα πάσας διεξόδους ὥρας τε καὶ τροφὴν πᾶσι παρέχεται. καὶ τὴν ἄλλην δὲ οὖν φρόνησιν, ὡς φαῖμεν ἄν, σὺν ἀριθμῷ παντί, καὶ τἄλλ' ἀγαθά· τοῦτο δὲ μέγιστον, ἐάν τις τὴν ἀριθμῶν αὐτοῦ δόσιν δεξάμενος ἐπεξέλθῃ πᾶσαν τὴν περίοδον.

Ἔτι δὲ σμικρὸν ἐπανελθόντες πως τοῖς λόγοις ἀναμνησθῶμεν ὅτι καὶ μάλ' ὀρθῶς ἐνοήσαμεν ὡς, εἴ περ ἀριθμὸν ἐκ τῆς ἀνθρωπίνης φύσεως ἐξέλοιμεν, οὐκ ἄν ποτέ τι φρόνιμοι
γενοίμεθα. οὐ γὰρ ἂν ἔτι ποτὲ ψυχὴ τούτου τοῦ ζώου III. iii. 247.
πᾶσαν ἀρετὴν λάβοι σχεδόν, ὅτου λόγος ἀπείη.[b] ζῶον δὲ ὅ τι μὴ γιγνώσκοι δύο καὶ τρία μηδὲ περιττὸν μηδὲ ἄρτιον, ἀγνοοῖ δὲ τὸ παράπαν ἀριθμόν, οὐκ ἄν ποτε διδόναι λόγον

r.—[p] τὸν Ξε, τὸ Ω, τὸ Α: τῶν °r.—[q] ἀγαθὸν r.—[r] ἡμῖν om Z.—[s] πολλοῦ Z.—[t] λέγων ΑΩ.—[u] ὡς καὶ ξύμπ. r.—[v] αὐτῶν Z.—[w] πάντως r.—[x] πάντες ἂν ὁμολογοῖμεν Ξετ.—[y] ᾖ Z.—[z] εἴτε οὐρανὸν εἴτε ὄλυμπον r.—[a] ὁ Α, ὅπω Z, ὅποι Ω.—[b] ἀπείη

τίνα δὴ] Laudat Euseb. Præp. Ev. xiii. 18. p. 702. B. Ad *δαίμονες* et *θεοὶ* int. *αὐτὸν τιμῶσι*. Ast.

ἐὰν γὰρ ἴῃ τις] Oratio propter interposita *εἴτε κόσμον*—*λέγειν* mutata est ita, ut apodosis non sequatur, quæ hæc esse debebat, *videbit*, s. cognoscet, *ὅπῃ ποικίλλων αὐτὸν*—*ὥρας τε καὶ τροφὴν πᾶσι παρέχεται*.—*διεξόδους*, *quasi exercitus expeditiones*; cœlum enim exercitui in acie constituto et disposito comparatur. Vid. ad Legg. vii. 17. et ad Phædr. p. 299. Ast.

μάλ' ὀρθῶς ἐνοήσαμεν] Respicitur, quod supra p. 976. posuit: *τίς ποτ' ἐκ τῆς ἀνθρωπίνης φύσεως ἐπιστήμη μία διεξελθοῦσα*—*τῶν νῦν παρουσῶν ἀνοητότατον ἂν*—*παράσχοι τὸ ζῶον τὸ τῶν ἀνθρώπων*. Et hoc loco, ut supra jam indicavimus, confirmatur explicatio illorum verborum, quam ibi protulimus. In seqq. Cod. Voss. *τυχὴ* (sic) pro *ψυχὴ*, et *μνήμας ἔχοι μόνον*. Ast.

ἔχοι περὶ ὧν αἰσθήσεις καὶ μνήμας μόνον[c] εἴη κεκτημένον· τὴν δὲ ἄλλην ἀρετήν, ἀνδρίαν καὶ σωφροσύνην, οὐδὲν ἀποκωλύει.[d] στερόμενος δὲ ἀληθοῦς λόγου σοφὸς οὐκ ἄν ποτε γένοιτο. ὅτῳ δὲ σοφία μὴ προσείη, πάσης ἀρετῆς τὸ μέγιστον μέρος, οὐκ ἄν ἔτι[e] τελέως ἀγαθὸς γενόμενος εὐδαίμων ποτὲ γένοιτο. οὕτως ἀριθμὸν μὲν ἀνάγκη πᾶσα ὑποτίθεσθαι· διότι δὲ τοῦτο ἀνάγκη, λόγος ἔτι πλείων[f] πάντων γίγνοιτ' ἂν τῶν εἰρημένων. ἀλλὰ καὶ ὁ νῦν[g] ὀρθῶς ῥηθήσεται, ὅτι καὶ τὰ τῶν ἄλλων τεχνῶν λεγόμενα, ἃ νῦν δὴ διήλθομεν ἐῶντες εἶναι πάσας τὰς τέχνας, οὐδὲ τούτων ἓν οὐδὲν μενεῖ,[h] πάντα δ' ἀπολεῖται[i] τὸ παράπαν, ὅταν ἀριθμητικήν τις ἀνέλῃ. Δόξειε δ' ἂν ἱκανῶς τισὶ[k] βραχέων ἕνεκα ἀριθμοῦ δεῖσθαι τὸ τῶν ἀνθρώπων γένος, εἰς τὰς τέχνας ἀποβλέψασι.[l] καί τοι μέγα μὲν καὶ τοῦτο· εἰ δέ τις ἴδοι τὸ θεῖον τῆς γενέσεως καὶ τὸ θνητόν, ἐν ᾧ καὶ τὸ θεοσεβὲς

II. 978. III. iii. 348. γνωρισθήσεται καὶ ἀριθμὸς ὄντως,[m] οὐκ ἂν ἔτι πᾶς μάντις[n] γνοίη ξύμπαντα ἀριθμόν, ὅσης ἡμῖν δυνάμεως αἴτιος ἂν εἴη ξυγγιγνόμενος, ἐπεὶ καὶ τὰ[o] κατὰ μουσικὴν πᾶσαν διαριθμουμένων[p] κινήσεώς τε καὶ φθόγγων δῆλον ὅτι δεῖ. καὶ τὸ

Z.—[c] μνήμας ἔχοι μόνον ΑΞΩxτ.—[d] ἀπὸ κωλύει Z.—[e] ἐπὶ ΑΩxτ.—[f] πλείω ΞΩ.—[g] νοῦν x.—[h] μενεῖ Stephanus: libri μένει.—[i] ἀπολείπεται ΑΖΩxτ.—[k] τις (σι) Ω, τις Α: τοῖς (σι) Z.—[l] αποβλέψας Ω, ἀποβλέψας Α.—[m] οὕτως x.—[n] ἄν τις Ξ et γρ Z et (ἀπ' ὀρθώσεως) Ω.—[o] τὸ om Z.—[p] δι' ἀριθμουμένων Ξ, διαριθμουμένοις τ.—[q] ὃ ΖΩ

τὴν δὲ ἄλλην ἀρετὴν] Int. λαμβάνειν vel ἔχειν. Ficin. *reliquam vero virtutem, fortitudinem dico et temperantiam, habere nihil prohibet.* Ast.

τὰ τῶν ἄλλων τεχνῶν λεγόμενα] I. e. *αἱ ἄλλαι τέχναι λεγόμεναι*, quæ artes dicuntur et habentur, etsi nulla earum, arithmetica sublata, vere ars dici potest. Mox pro *πάσας τὰς τέχνας* vide ne *πάσας αὐτὰς τέχνας* scribi oporteat, ut sit, *omnes esse artes sinentes*, h. e. artis nomen ipsis omnibus concedentes, quamvis ars vera, arithmetica sublata, esse nequeat. Mox *μενεῖ* pro *μένει* scripsimus de Stephani conjectura.—Cod. Voss. *ἀπολείπεται* pro *ἀπολεῖται*. Ast.

μενεῖ] Scribendum potius *μενεῖ*, ut conveniat cum *ἀπολεῖται*. Mox, pro *ἱκανῶς* alia lectio affertur, *ἴσως*, quam et Ficin. sequitur. Steph.

ἴσως] Sic Ficin. vertens, *forte vero.* Idem Cornar. vel conjecturam vel libros Mss. secutus, reponendum esse monuerat. Vulgo *ἱκανῶς*. Cod. Voss. *τίς*. Ast.

μάντις] Pro *ἄν τις* (ut est in præced. edit.) Fic. quoque legit *μάντις*. Steph.

πᾶς μάντις] Ald. Lov. Bas. 1. et 2. *ἄν τις*. Ficin. *nullum vatem—comprehendere posse.* Ast.

διαριθμουμένων] Suspectum esse possit participium *διαριθμουμένων*, nisi dicamus inter illud et *κινήσεως* aliquid deesse. Ficin. certe ita vertit quasi legerit, *ἐπεὶ καὶ κατὰ τὰ μουσικὴν πᾶσαν ἀριθμοῦ κινήσεώς τε καὶ φθόγγων δῆλον ὅτι δεῖται*; ejus enim hæc verba sunt, *nam et tota musica motus et vocum numero indiget.* Fortasse tamen putet aliquis posse intelligi, *δεῖται διαριθμου-*

μέγιστον, ἀγαθῶν ὡς πάντων αἴτιον· ὅτι δὲ κακῶν οὐδενός, εὖ τοῦτο γνωστέον, ὅ[q] καὶ τάχα γένοιτ' ἄν. ἀλλ' ἡ σχεδὸν ἀλόγιστός τε καὶ ἄτακτος ἀσχήμων τε καὶ ἄρρυθμος ἀνάρμοστός τε φορά, καὶ πάνθ' ὁπόσα κακοῦ κεκοινώνηκέ τινος, ἐπιλέλειπται[r] παντὸς ἀριθμοῦ, καὶ δεῖ τοῦθ' οὕτω διανοεῖσθαι τὸν μέλλοντα εὐδαίμονα τελευτήσειν. καὶ τό γε[s] δὴ δίκαιόν τε καὶ ἀγαθὸν καὶ καλὸν καὶ πάντα τὰ τοιαῦτα οὐδείς ποτε μὴ[t] γιγνώσκων, ἀληθοῦς δόξης ἐπιλαβόμενος, διαριθμήσεται[u] πρὸς[v] τὸ ἑαυτόν τε καὶ ἕτερον πεῖσαι τὸ παράπαν.

ξ: ὅτι °ς.—[r] ἐπιλέλειπται Z: vulgatam corr Ω.—[s] τόγε (τ superscr.) Ω, τότε Zξ.—[t] μὴ om pr

μένων κινήσεώς τε καὶ φθόγγων, dictum esse pro δεῖται τῆς διαριθμήσεως: sed vix mihi persuaserim Platonem ita loquuturum fuisse. At vero δεῖ alio etiam in loco male, aut certe nove et inusitate, pro δεῖται positum observavi. Dico autem, nove et inusitate, cum tali constructione: quum sciam alioqui, δεῖ ἐκείνῳ τούτου, sæpe dici pro ἐκεῖνος δεῖται τούτου. Steph.

διαριθμουμένων] Est i. q. διαριθμήσεως. Verba ita capienda, δῆλον ὅτι δεῖ (i. e. δεῖται) διαριθμεῖσθαι κίνησίν τε καὶ φθόγγους; pro infinitivo autem participium positum, et voces κίνησιν et φθόγγους in genitivos mutatæ sunt, ut e verbo δεῖ pendeant. Ast.

ἀλλ' ἢ] Conjicere possis ἀλλ' ᾗ, ut sensus sit, *id facile est cognitu, quod statim quoque fiet* (sc. ut id cognoscamus); *etenim motus temerarius* cet. *omni caret numero*. 'Αλλ' ἢ est *num, an vero*; vid. Valcken. ad Eurip. Hippol. 932. Sic Gorg. p. 447. A. ἀλλ' ἦ, τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν; Xenoph. Cyrop. ii. 2. 28. ἀλλ' ἦ καὶ σὺ περιάγει τοῦτο τὸ μειράκιον; Dio Chrysost. Orat. xii. p. 193. C. ἀλλ' ἦ, τὸ λεγόμενον,—ἐγὼ καὶ παρ' ὑμῖν καὶ παρ' ἑτέροις πλείοσι πέπονθα τὸ τῆς γλαυκὸς ἄτοπον καὶ παράδοξον πάθος; Etiam Steph. in ἀλλ' ἡ offendit, adnotans: 'Hæc quoque mendosa esse, fatendum est: ac Ficinum ea vel aliter legisse vel legenda certe putasse, est manifestum, qui etiam ea, quæ sunt post γένοιτ' ἄν, cum præced. jungit, ut ad unam eandemque sententiam pertinentia. Vertit enim, perinde ac si legeretur: καὶ (τὸ μέγιστον) ἀγαθῶν ὡς πάντων αἴτιόν ἐστι, κακοῦ δὲ οὐδενὸς (nisi et κακῶν οὐδενὸς ferri possit pro οὐδενὸς τῶν κακῶν) ἐκ τούτου γνωστὸν καὶ τάχα γένοιτ' ἄν, ὅτι ἡ σχεδὸν cet. Videri possent alioqui hæ voces ἀλλ' ἡ factæ esse ex ἄλλῃ, ita scribendo, εὖ τοῦτο γνωστὸν ὅτι. καὶ τάχα γένοιτ' ἂν ἄλλῃ· ὅτι ἡ σχεδὸν cet. Sed altera lectio facilius apud me fidem impetraverit, si nullam harum vocularum ἀλλ' ἡ rationem habere liceat.' Sed ἀλλ' per se jam esse potest *enimvero*, ut vi. 21. quocirca nihil mutare satius duximus. Ast.

οὐδεὶς μὴ γιγνώσκων ἀληθοῦς δόξης] Verba obscuri sunt sensus. Ficin. ita vertit, ac si ante ἀληθοῦς legerit καί: *et qui justum—ignoraverit, nec veram opinionem de his acceperit, ad se ipsum et alios persuadendos numeri rationisque vi uti non potuerit*. Διαριθμεῖσθαι, *dinumerare* (Phædr. 278. E. ἐὰν μή τις τῶν ἀκουσομένων τὰς φύσεις διαριθμήσηται), est quoque *discernere*, dijudicare, judicio et consilio aliquid tractare (Gorg. p. 501. A. οὐδὲν διαριθμησαμένη τριβὴ καὶ ἐμπειρία). Schol. Ruhnk. p. 125. et 245. explicat verbo διαλογίζεσθαι, ut Hesych. Verba autem ita cohærent: οὐδείς, τὸ δίκαιον—καὶ πάντα τὰ τοιαῦτα μὴ γιγνώσκων, διαριθμήσεται ἀληθοῦς δόξης ἐπιλαβόμενος, πρὸς τὸ ἑαυτόν τε καὶ ἕτερον πεῖσαι τὸ παράπαν: *bonum, justum et quæ alia sunt id genus, numero sublato esse non possunt; justum vero, bonum et pulcrum qui non cognoverit, nunquam ita res dijudicare et sani quid de iis statuere poterit, ut veram sententiam nanciscatur sibique et aliis*

§. 4. Ἴωμεν[w] δὴ σκεψόμενοι πρὸς τοῦτ' αὐτό, πῶς ἐμά-
θομεν ἀριθμεῖν. φέρε· τὸ γὰρ ἓν δὴ[x] καὶ δύο γέγονε πόθεν
ἡμῖν, ὥστ' ἐννοῆσαι, φύσιν ταύτην ἴσχουσιν[y] ἐκ τοῦ παντὸς
πρὸς τὸ δυνατοὺς[z] ἐννοεῖν εἶναι; πολλοῖς δὲ ἄλλοις αὖ τῶν
ζώων οὐδ' εἰς αὐτὸ τοῦθ' ἡ φύσις παραγέγονεν, ὥστε μα-
θεῖν δυνατοῖς εἶναι παρὰ τοῦ πατρὸς[a] ἀριθμεῖν. παρὰ δ'
ἡμῖν τοῦτ' αὐτὸ πρῶτον ἐνῴκισεν ὁ θεός, ὥστε ἱκανοῖς εἶναι
III. iii. 349. δεικνύμενον ξυννοεῖν, ἔπειτ' ἔδειξε[b] καὶ δείκνυσιν. ὧν τί
κάλλιον ἓν ἑνὸς ἂν τις θεάσαιτο πλὴν τὸ τῆς ἡμέρας γένος;

Ω.—[u] διαλογίζεται γρ x.—[v] πρὸς om Z.—[w] καὶ ἴωμεν δὴ x.—[x] δὴ om x.—[y] ἔχουσιν Ax et pr Ω.—[z] δυνατὸν x.—[a] πατρὸς πρὸς Ω.—[b] ἔδοξε x.—[c] ὅταν x et γρ Z

quidquam persuadeat. Hic mihi sensus videtur esse verborum satis contortorum. Ast.

§. 4. *ἴωμεν—σκεψόμενοι*] Vid. ad ix. 11. Ast.

πόθεν ἡμῖν; ὥστ'] Fortasse legendum est, *γέγονε πόθεν ἡμῖν ὥστ' ἐννοῆσαι;* ne cum *φύσιν ταύτην ἴσχουσιν* oporteat et hæc jungere, *ὥστ' ἐννοῆσαι*, et illa, *πρὸς τοὺς δυνατοὺς ἐννοεῖν εἶναι*: quum nulla copula vinciantur, et illis idem bis dici videatur. Vereor autem ne et aliud etiam mendum huic loco subsit: quoniam hæc responsio mihi non satisfacit. Steph.

γέγονε πόθεν—ὥστ' ἐννοῆσαι;] *πόθεν γέγονε ὥστ' ἐννοῆσαι* est i. q. *πόθεν ἐνενοήσαμεν.* Ficin. vertit: *Age, unde unum et duo percepimus? ut illud animadverteremus, ad quod cognoscendum ab universo naturam vimque accepimus.* Et sic vulgo legitur *γέγονε πόθεν ἡμῖν; ὥστ' ἐννοῆσαι;* sed *γέγονε* est id fere quod *ἐξῆν* (ut apud Xenoph. Cyrop. viii. 2. 2. *ἐπειδὴ δὲ ἐγένετο αὐτῷ ὥστε χρήμασιν εὐεργετεῖν*,) et *ὥστε* abundat. vid. ad iv. 4. Ast.

παντὸς] Pro *παντὸς* affertur et *πατρός*: quod sequatur *παρὰ τοῦ πατρός.* Ficin. tamen *παντὸς* agnoscit, qui vertit, *ab universo.* Steph.

παντὸς] Cornar. legi jubebat *πατρὸς* (vulgo enim in seqq. exhibetur *παρὰ τοῦ πατρὸς ἀριθμεῖν*); sed utroque loco legendum esse *παντὸς* (*τὸ πᾶν* est enim *ὁ οὐρανὸς*, in quo quum ad numeros omnia disposita sint, ipsi numeros cognovimus, vid. Tim. p. 39. B.) sensus docet, etsi altero loco Ficin. *πατρὸς* vertendo expressit. Ipse Cornar. subjicit, '*nisi utroque* loco *παντὸς* vox legenda est.' Mox frequens illa orationis redundantia conspicitur in verbis *φύσιν ταύτην ἴσχουσι—πρὸς τὸ δυνατοὺς ἐννοεῖν εἶναι*: *hanc naturam habentibus, ut ex universo ea cognoscere possimus*: pro, ex universo ea (unum et duo) cognoscendi vim et facultatem habentibus. *πρὸς τὸ* est i. q. *τοῦ* vel *ὥστε.* Sic infra p. 978. E. Post *εἶναι* interrogationis signum posuimus. Deinde *παντὸς* pro *πατρὸς* scripsimus. Ast.

μῶν τι κάλλιον] Sic de conjectura scripsimus pro *ὧν τι*, quod et sensui et orationis structuræ repugnat; deinde *ἓν ἀνθ' ἑνὸς* pro simplice *ἓν ἑνὸς* reposuimus (vid. ad i. 14.). Ficin. quoque, *si unum uni conferatur.* Deinde ante *εἰς* interposuimus *εἰ*, quod a voce *εἰς* elisum esse patet; post *εἰ—ἔλθοι μέρος, ἕτερον* (*τι*) *πᾶν* (*a die prorsus diversum quid*) *φαίνοιτ' ἄν*, intellige *μῶν τι κάλλιον ἄν τις θεάσαιτο;* Ast.

ἓν ἑνὸς] Pro *ἓν ἑνὸς* suspicor Ficin. legisse, aut certe legendum putavisse, *ἓν ἀνθ' ἑνὸς*, nam vertit et ipse, *si unum uni conferatur.* Steph. qui sic in Not. 'Quod dixi legendum videri, *ἓν ἀνθ' ἑνὸς*, in plerisque hujus scriptoris extat locis: ac Ficin. quoque ita vel ex fide libri alicujus vel ex conjectura legisse testatur ejus interpretatio: ita enim locum hunc vertit, *in qua explicatione rerum nihil aliud, si unum uni conferatur, pulchrius aspicere possis quam diei lucem.* Neque vero dubium est quin et illa quæ sequuntur, aliter legerit, aut saltem legenda existimaverit: ac præsertim ista, *πρὶν ἂν καὶ ὁ δυσμαθέστατος* etc. vertit enim, *ut etiam qui tardissimus est, hinc uti numero discat.*'

εἶτα εἰς τὸ τῆς νυκτὸς ἔλθοι μέρος ἔχων ὄψιν, ὅθεν ἕτερον
πᾶν αὐτῷ φαίνοιτ᾽ ἄν· καὶ ἑλίττων δὴ ταῦτα αὐτὰ ὄντα[c]
μὴ παύηται πολλὰς μὲν νύκτας, πολλὰς δὲ ἡμέρας, ἃς
οὐρανὸς οὐδέποτε παύεται διδάσκων ἀνθρώπους ἕν τε καὶ
δύο, πρὶν ἂν καὶ ὁ[d] δυσμαθέστατος ἱκανῶς μάθῃ[e] ἀριθμεῖν.
ὡς γὰρ καὶ τρία καὶ τέτταρα καὶ πολλὰ ἕκαστος ἡμῶν
ἐπινοήσειεν ἂν ὁρῶν ταῦτα. καὶ ἐκ τούτων ἓν ἐποίησε τὴν
σελήνην ὁ θεὸς ἀπεργασάμενος, ἣ τοτὲ μὲν μείζων φαινομένη,
τοτὲ δ᾽ ἐλάττων διεξῆλθεν ἄλλην ἀεὶ φαίνουσα ἡμέραν, μέ-
χρι πεντεκαίδεκα ἡμερῶν καὶ νυκτῶν· αὕτη δ᾽ ἔστι περίο-
δος, εἰ βούλεταί τις τὸν κύκλον ἕνα ὅλον εἰς ἓν τιθέναι,
ὥστε ὡς ἔπος εἰπεῖν καὶ τὸ δυσμαθέστατον ἂν μαθεῖν ζῶον,
οἷς παρέδωκε φύσιν ὁ θεὸς τοῦ δυνατοῖς εἶναι μανθάνειν.
καὶ μέχρι μὲν τούτων τε καὶ ἐν τούτοις ξύμπαν τὸ δυνατὸν
τῶν ζώων μάλα ἀριθμητικὸν γέγονε, τὸ καθ᾽ ἓν αὐτὸ[f] καθ᾽
αὑτὸ σκοποῦν. τὸ δὲ πρὸς ἄλληλα πάντα ἀριθμὸν ἀεὶ λο- II. 979.
γίζεσθαι δοκῶ μὲν μείζονος. ἕνεκα καὶ τούτου,[g] σελήνην,

et (ἀπ᾽ ὀρθώσεως) Ω. μὲν νύκτας ΑΖΩxτ: μὲν δὴ νύκτας *s.—[d] ὁ om Ζ.—[e] μάθοι

καὶ ἐλίττων δὴ] Vulgo hic locus ita legitur, τὰ ὄντα μὴ παύηται—ἡμέρας, ἃς οὐρανὸς cet. in quo verba μὴ παύηται e seqq. οὐδέποτε παύεται nata et ἃς e postrema vocis ἡμέρας syllaba profectum esse liquet; ipse enim οὐρανὸς est is, qui ἑλίττων (*dum volvit* s. versat) οὐδέποτε παύεται διδάσκων cet. Pro ταῦτα αὐτὰ ὄντα suspicor scribendum esse ταῦτα ἐναντία ὄντα (*diem et noctem* int. *sibi contrarias*). Verba deinde πολλὰς—ἡμέρας epexegesis sunt prægressi ταῦτα ἐναντία ὄντα. Ficin. vulgarem secutus scripturam vertit: *nam si revolvere hæc non desinas, multas noctes et multos dies videbis, quibus cœlum nunquam cesset docere homines unum atque duo, ut etiam qui tardissimus est, hinc uti numero discat.* Ast.

ὡς γὰρ] Ficin. videri possit legisse οὕτως, quum verterit, *sic enim et tria.* Malim καὶ γὰρ, quum ὡς et καὶ sæpissime inter se permutata reperiantur, vid. Schäfer. Melet. Crit. p. 73. Ast.

διεξῆλθε] *Cœlum percurrit*, h. e. volvitur. Sic c. 9. διεξέρχεται τὸν αὑτοῦ πόλον.—τὸν κύκλον ἕνα ὅλον cet. *si quis orbem* (lunæ), *qui unus est, universum* (h. e. per totum ejus ambitum) *uno complecti numero velit.* Ast.

τὸ καθ᾽ ἓν—σκοποῦν] *Singulatim quidque per se considerans* s. *considerando.* Articulum τὸ si retineas, τὸ—σκοποῦν epexegesis erit prægressi ξύμπαν τὸ δυνατὸν τῶν ζώων.—Quæ sequuntur, vulgo ita se habent, δοκῶ μὲν μείζονος. ἕνεκα καὶ τούτου cet. Steph. post μείζονος quidquam deesse censebat; sed μείζονος apparet cum seqq. ἕνεκα τούτου conjungendum esse, ut in Cod. Voss. scriptum extat, ubi exhibetur μείζονος ἕνεκα, καὶ τούτου δέ. Verba ita cohærent, τὸ δὲ—λογίζεσθαι (*quod vero attinet ad* — s. *de*), δοκῶ μὲν, ἕνεκα καὶ τούτου μείζονος (*etiam hujus causa, quod majus ac difficilius est*, int. quam singula per se numerare atque considerare) μῆνας ξυνεστήσατο, σελήνην ἐμποιήσας αὐξανομένην καὶ φθίνουσαν. Post δοκῶ pro infinitivo modus finitus, ξυνεστήσατο, sequitur, quod quidem haud infrequens est. Sic c. 5. ἣ δοκεῖ—τιμῶμεν. Men. 94. B. δοκῶ μὲν, ἐβούλετο. Protagor. 314. C. δοκεῖ οὖν μοι, ὁ θυρωρὸς εὐνοῦχός τις κατήκουεν ἡμῶν. Vid. nostra ad Phædr. p. 394. Ast.

καθά περ εἴπομεν, αὐξανομένην καὶ φθίνουσαν ἐμποιήσας,
III. iii. 850. μῆνας πρὸς τὸν ἐνιαυτὸν ξυνεστήσατο, καὶ πάντα ἀριθμὸν
πρὸς ἀριθμὸν ἤρξατο[h] συνορᾷν εὐδαίμονι τύχῃ. διὰ δὲ ταῦθ'
ἡμῖν καρποί τε καὶ ἐγκύμων ἡ γῆ γέγονεν, ὥστ' εἶναι τρο-
φὴν πᾶσι τοῖς ζώοις ἀνέμων τε καὶ ὑετῶν γιγνομένων οὐκ
ἐξαισίων οὐδὲ ἀμέτρων. ἀλλ' εἴ τι παρὰ ταῦτα γίγνεται
πρὸς τὸ φλαῦρον, οὐ τὴν θείαν ἀλλὰ τὴν ἀνθρωπίνην αἰτιᾶσ-
θαι χρὴ φύσιν,[i] οὐκ ἐν δίκῃ διανέμουσαν τὸν αὐτῶν[k] βίον.
ἡμῖν δ' οὖν ζητοῦσι περὶ νόμων σχεδὸν ἔδοξε τὰ μὲν ἄλλα
ῥᾴδιά τ'[l] εἶναι γνῶναι[m] τὰ βέλτιστα ἀνθρώποις, καὶ πᾶς
ἂν ἱκανὸς γίγνεσθαι καὶ ξυνεῖναι τὰ λεγόμενα καὶ ποιεῖν,
εἰ γνοίη[n] τί[o] ποτ' ἔστιν ὃ συμφέρειν[p] εἰκὸς καὶ τί τὸ μὴ
ξυμφέρον. ἔδοξε δὴ καὶ νῦν ἔτι δοκεῖ τὰ μὲν ἄλλα ἐπιτη-
δεύματα πάντα οὐ σφόδρα χαλεπὰ εἶναι, τὸ δὲ τίνα τρό-
πον χρὴ γίγνεσθαι χρηστοὺς ἀνθρώπους παγχάλεπον. καὶ
τὰ μὲν ἄλλα αὖ πάντα κτᾶσθαι χρηστά,[q] τὸ λεγόμενον,
καὶ[r] δυνατὸν καὶ οὐ χαλεπόν, οὐσίαν τε[s] ὅσην δεῖ καὶ μὴ
δεῖ, καὶ σῶμα οἷόν τε δεῖ καὶ μὴ δεῖ,[t] καὶ ψυχὴν ὅτι μὲν
ἀγαθὴν δεῖ,[u] ξυγχωρεῖ πᾶς παντί, τὸ δ' ὅν[v] τινα τρόπον

Z.—[f] καθ' αὑτὸ om pr Ω.—[g] τούτου δὲ ΑΖΩr.—[h] ἤρξατο Z.—[i] φύσιν χρὴ r.—[k] αὐτῆς Z.—[l] ῥᾴδι' ἅττ' Ξ.—[m] εἶναι γνῶναι A et pr Ω : εἶναι καὶ γνῶναι *s.—[n] εἰ γνοίη om r.—[o] ὅτι r.—[p] ξυμφέρον ΑΖΞΩxr : συμφέρον *s.—[q] χρὴ A et pr Ω.—[r] ὃ λέγομεν καὶ Z, λεγόμενόν τε καὶ r : τὸ λεγόμενόν τε καὶ *s.—[s] δὲ x.—[t] alte-

ἤρξατο ξυνορᾷν] Mihi verba suspecta sunt; exspectabas tale quid, quod Ficin. exhibuit vertens, *numerumque omnem felici quadam fortuna conferri ad numerum docuit*. Nimirum deus, qui in cœlo dicitur omnia ad numerum descripsisse, ut hominibus numerorum imaginem et specimen quasi exhiberet, unde numerare discerent, non ipse dici potest ἄρξασθαι ξυνορᾷν πάντα ἀριθμὸν πρὸς ἀριθμόν; in hominem vero hoc quadrat, eoque magis, quum appositum sit εὐδαίμονι τύχῃ. Quocirca aliquid excidisse puto, nisi πάντα in πᾶς mutandum esse dixeris. De verbo ξυνορᾷν (*varia et diversa comparando in unum comprehendere, deinde perspicere*) vid. nostra ad Phædr. p. 361. ibique citatis addatur Legg. xii. 12. p. 965. B. Metrodor. apud Sext. Empir. adv. Grammat. i. 3. p. 229. et Sext. Empir. adv. Logic. vii. §. 328. p. 435.—In prægressis Cod. Voss. φέρουσαν pro φθίνουσαν. Ast.

τὸν αὐτῶν βίον] Ficin. *quæ injuste vitam suam distribuit*. αὐτῶν positum est, ac si ἄνθρωποι præcesserit. Ald. Lov. Bas. 1. et 2. αὐτὸν exhibent. Ast.

τὰ μὲν ἄλλα] Hæc cum τὰ βέλτιστα cohærent. Ficin. *cetera, quæ hominibus optima sunt, facilia cognitu esse videntur*.—ξυνεῖναι, i. e. ξυνιέναι, *intelligere, perspicere*, vid. ad Legg. iii. 6.—Mox post τὸ λεγόμενον, *ut in proverbio est*, vulgo legitur τε, quod, quum locum hic habere non possit, expunximus. Deinde ad ὅσην—δεῖ int. εἶναι, οὐ χαλεπὸν γνῶναι. Ast.

τὸ δ' ὅντινα τρόπον] *Quod vero ad illud attinet, quanam ratione bonus esse debeat animus*, h. e. *de ratione vero, qua bonum esse oporteat*.—καὶ ταῦτα, int. πᾶς παντὶ ξυγχωρεῖ. Mox malim ἀνηυρίσκομεν. Ast.

ἀγαθήν, ὅτι μὲν αὖ δικαίαν καὶ σώφρονα καὶ ἀνδρείαν, καὶ ταῦτα, ὅτι δὲ σοφήν, φησὶ μὲν πᾶς δεῖν, ἥν τινα δὲ σοφίαν, ὡς ἄρτι διεληλύθαμεν, οὐδεὶς οὐδενὶ τὸ παράπαν ἔτι ξυνο- III. iii. 351.
μολογεῖ τῶν πολλῶν. νῦν οὖν δὴ παρὰ πάσας τὰς πρόσθεν σοφίας οὐ φαύλην τινὰ ἀνευρίσκομεν εἰς αὐτά γε ταῦτα, τὸ δοκεῖν σοφὸν εἶναι τόν γε μεμαθηκότα ἅ περ καὶ διεληλύθαμεν. εἰ δ' ἔστι σοφὸς ὁ ταῦτ' ἐπιστήμων καὶ ἀγαθός, τούτου δὴ πέρι λόγον[w] δεῖ λαβεῖν.

ΚΛ. Ὦ ξένε, ὡς εἰκότως εἶπες ὅτι περὶ μεγάλων μεγάλα ἐπιχειρεῖς φράζειν.

ΑΘ. Οὐ γὰρ σμικρά, ὦ Κλεινία· τὸ δὲ χαλεπώτερον, ὅτι παντάπασι καὶ[x] πάντως ἀληθῆ.

ΚΛ. Σφόδρα γε, ὦ ξένε· ἀλλ' ὅμως μὴ ἀποκάμῃς λέγων ὃ φῄς.

ΑΘ. Ναί, μηδὲ σφὼ τοίνυν ἀκούοντε.

ΚΛ. Ταῦτ' ἔσται· καὶ ὑπὲρ ἀμφοῖν ἐγώ σοι φράζω.

ΑΘ. Καλῶς. [§. 5.] Ἐξ ἀρχῆς δὴ[y] ῥητέον ἀνάγκη II. 980.
πρῶτον, ὡς φαίνεται, μάλιστα μὲν ἄν, εἰ δυνάμεθα ἑνὶ λαβεῖν ὀνόματι, τίς ἔστιν ἣν οἰόμεθα σοφίαν εἶναι, τοῦτο δ' εἰ σφόδρα ἀδυνατοῦμεν, τὸ δεύτερον, τίνες εἰσί ποτε καὶ ὁπόσαι τινὲς ἅς τις λαβὼν σοφὸς ἂν εἴη κατὰ τὸν ἡμέτερον μῦθον.

ΚΛ. Λέγοις ἄν.

ΑΘ. Τὸ δὴ[z] μετὰ τοῦτο ἀνεμέσητον τῷ νομοθέτῃ τὸ III. iii. 352.
κάλλιον τῶν πρότερον εἰρημένων[a] περὶ θεῶν καὶ ἄμεινον ἀπεικάζοντι λέγειν, οἷον παιδείᾳ[b] καλῇ χρωμένῳ καὶ τι-

rum δεῖ om ΑΩx.—[u] δεῖ in γρ Z.—[v] οὐ Ξ.—[w] λόγου x.—[x] καὶ om pr Ξ.—[y] δὲ x.—[z] δὲ x.—[a] εἰρηκότων r et γρ ZΩ.—[b] παιδείαι ΑΞΩr : παιδιᾷ *s.—[c] προσπαίξαντι

ὡς εἰκότως] *Perquam recte*; vid. de ὡς ad Legg. vii. 18. Mox παντάπασι et πάντως posita sunt ἐκ παραλλήλου, quod dicitur, vid. ad i. 5. Ast.

§. 5. λέγοις ἂν] Vid. ad Legg. i. 11. fin. Ast.

τὸ κάλλιον—λέγειν] Verba ita cohærent, τὸ λέγειν περὶ θεῶν, κάλλιον καὶ ἄμεινον τῶν πρότερον εἰρημένων ἀπεικάζοντι (*pulcrius quid et rectius de iis cogitatione fingenti*). Pro εἰρημένων legi quoque εἰρηκότων Steph. refert, Ficinum haud dubie significans, ut qui verterit, *si melius de diis, quam prisci, sentiat*. Ast.

εἰρημένων] Legitur etiam εἰρηκότων, quod non minus placet. Steph.

παιδιᾷ] E Cod. Voss. recepimus παιδείᾳ, quod Ficin. quoque expressit, *optima usus disciplina*. Deinde ὕμνοις—γεραίροντι epexegesis est prægressi τιμῶντι θεούς. Εὐδαιμονία, ut ὄλβος, de

μῶντι θεούς, ὕμνοις τε καὶ εὐδαιμονίᾳ γεραίροντι διάγειν τὸν αὑτοῦ βίον.

ΚΛ. Ἦ καλῶς, ὦ ξένε, λέγεις· εἰ γάρ σοι τοῦτο τέλος εἴη τῶν νόμων, θεοὺς προσπαίσαντι[c] καθαρώτερόν τε[d] διαγαγόντι τὸν βίον τῆς ἅμα τελευτῆς ἀρίστης τε καὶ καλλίστης τυχεῖν!

ΑΘ. Πῶς οὖν, ὦ Κλεινία, λέγομεν; ἢ δοκεῖ, τοὺς θεοὺς ὑμνοῦντες σφόδρα τιμῶμεν, εὐχόμενοι τὰ κάλλιστα καὶ ἄριστα περὶ αὐτῶν ἐπιέναι λέγειν ἡμῖν; οὕτως ἢ πῶς λέγεις;

ΚΛ. Θαυμαστῶς μὲν οὖν οὕτως. ἀλλ', ὦ δαιμόνιε, πιστεύσας τοῖς θεοῖς εὔχου τε καὶ λέγε τὸν ἐπιόντα σοι[e] λόγον τῶν καλῶν[f] περὶ τοὺς θεούς τε[g] καὶ τὰς θεάς.

ΑΘ. Ἔσται ταῦτα, ἂν αὐτὸς ὁ θεὸς ἡμῖν ὑφηγῆται. ξυνεύχου μόνον.

ΚΛ. Λέγοις ἂν τὸ μετὰ τοῦτο.

ΑΘ. Θεογονίαν τοίνυν καὶ ζωογονίαν ἀναγκαῖον, ὡς ἔοικε, πρῶτόν μοι κακῶς ἀπεικασάντων[h] τῶν ἔμπροσθεν βέλ-

x.—[d] δὲ ΑΩxr.—[e] ἀεί σοι x et γρ Ω.—[f] καλλῶν γρ Z.—[g] τε om x.—[h] ἀπεικα-

opibus, honoribus, ponitur, ut apud Xenoph. de Laced. republ. ix. 3. *ἐκεῖνος τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀγαθοῖς εὐδαιμονίαν, τοῖς δὲ κακοῖς κακοδαιμονίαν*. H. l. significat honores, munera, alia id genus. Ast.

εἰ γὰρ] Si accipiamus *εἰ* pro *si*, nemo non videt imperfectam fore orationem: at cum Ficino quoque *εἰ γὰρ* interpretari nolim *quandoquidem*: ac vix certe eum illam lectionem agnovisse, persuadere mihi possum: præsertim quum et quæ proxime sequuntur ita vertat quasi *τέλος ἐστὶ* legerit, non *τέλος εἴη*. Neque tamen video cur ab hac nostra lectione discedendum fuerit: quum *εἰ* aptissime accipi possit pro *utinam*. Quinetiam *προσπαίσαντι* minime suspectum esse, minimeque pro eo quæri aliud debuisse dico, (ut certe aliud in sua interpretatione quæsivit) quum aptissime referatur ad id quod dictum fuit, *οἷον παιδιᾷ καλῇ χρωμένῳ*. Steph.

εἰ γὰρ] *Utinam*, ut Xenoph. Cyrop. vi. 1. 21. *εἰ γὰρ γένοιτο—ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος*. Vid. Abresch. Animadv. Æschyl. i. 15. p. 96. et Brunck. ad Soph. Electr. 1412. Ad *προσπαίσαντι* Schol. Ruhnk. *προσπαίξαντι· ἀντὶ τοῦ ξ τὸ σ οἱ Ἀττικοί*. Sic et Timæus Lexic. p. 222. *προσέπαισε· προσέπαιξε· τῷ σ ἀντὶ τοῦ ξ κέχρηται*. Ubi v. Ruhnken. De verbo *προσπαίζειν* vid. ad vi. 19. Ast.

ἢ δοκεῖ] Vulgo *ἤ*, quæ solemnis in hac locutione confusio est, vid. nostra ad Phædr. p. 219. Mox post *δοκεῖ* (int. *σοί*: *an tibi videtur* s. placet) pro infinitivo modus finitus, *τιμῶμεν* sequitur. Mox ad *τῶν καλῶν* int. *λόγων*: *de pulcris, quæ de diis haberi possunt, orationibus proferas eam, quæ tibi in mentem venit*. Ast.

Θεογονίαν] Laudant hæc Euseb. Præpar. Evang. xiii. 2. p. 640. D. et Theodoret. Therapeut. Serm. iii. p. 515. D. Theodoret. exhibet *θεολογίαν—ἐμοὶ—καὶ πρὸς εὐσεβεῖς ἐληλυθότα λόγους*. Euseb. *ὡς ἔοικε, ἀναγκαῖον—κατὰ τὸν ὕστερον λόγον* (ut Theodor.). Ast.

τιον ἀπεικάσαι κατὰ τὸν ἔμπροσθεν λόγον, ἀναλαβόντα ὃν
πρὸς τοὺς ἀσεβεῖς ἐπικεχείρηκα λόγους,[i] φράζων ὡς εἰσὶ III. iii. 353.
θεοὶ ἐπιμελούμενοι[k] πάντων, σμικρῶν καὶ μειζόνων, καὶ
σχεδὸν ἀπαραμύθητοι τῶν περὶ τὰ δίκαιά εἰσι πράγματα,
εἰ δὴ[l] μέμνησθέ γε, ὦ Κλεινία· ἐλάβετε μὲν γὰρ δὴ καὶ
ὑπομνήματα.[m] καὶ γὰρ ἦν τὰ ῥηθέντα τότε[n] καὶ μάλα
ἀληθῆ. τόδε δὲ αὐτῶν ἦν τὸ μέγιστον, ὅτι πρεσβύτερον εἴη
ψυχὴ σώματος ἅπασα παντός. ἆρα μέμνησθε; ἢ πάντως
που τοῦτό γε; ὃ γὰρ ἄμεινον καὶ παλαιότερον καὶ θεοει-
δέστερον, πιθανὸν ὅτι τοῦ χείρονος[o] καὶ νεωτέρου καὶ ἀτι-
μοτέρου, πανταχῇ τε ἄρχον ἀρχομένου πρεσβύτερον καὶ
ἄγον ἀγομένου πάντῃ. λάβωμεν δὴ τοῦτό γε, ὡς ψυχὴ
πρεσβύτερόν ἐστι σώματος. εἰ δ' ἔχει τοῦτο οὕτω, τό γε
πρῶτον ἡμῖν τοῦ πρώτου τῆς γενέσεως πιθανώτερον ἂν εἴη II. 981.
σχεδὸν ὑπηργμένον. καὶ θῶμεν δὴ τὴν ἀρχὴν τῆς ἀρχῆς
εὐσχημονέστερον ἔχειν, καὶ τῶν μεγίστων σοφίας περὶ θεῶν
γενέσεως ὀρθότατα ἐπιβαίνειν ἡμᾶς.

σύτω Ξ.—[i] λόγον s.—[k] ἐπιμελούμενοί εἰσι θεοὶ x.—[l] δὲ Z, δὲ μὴ x.—[m] ὑπομνήσα-

ἀπαραμύθητοι] *Et pæne inexorabiles in iis, quæ ad justum spectant.* Ficin. ita vertit, ac si παρὰ τὰ δίκαια legerit, *nec precibus ullis muneribusque præter justum placari.* Pro δίκαια vero haud dubie legendum est ἄδικα, ut sit, *exorari* s. placari *non possunt ab iis, qui injusta facinora commiserunt* s. qui in rebus injustis versantur (τῶν περὶ τὰ ἄδικα πράγματα, int. ὄντων); adjectivo autem ἀπαραμύθητοι exquisite genitivus pro dativo junctus esset, vid. Schäfer. Melet. Crit. p. 137. Ast.

μέμνησθε] Singularis excipit verbum plurale, in quo ne quis vitium subesse opinetur, monendum est, verbum modo singulare poni, pluribus nominibus sequentibus (v. nostra ad Phædr. p. 371.) modo plurale, uno tantum sequente vel prægresso; illic enim plures invocantur tanquam una persona, hic vero unus instar reliquorum, ut h. l. Clinias simul Megilli partes agit. Quod quidem etiam apud Latinos frequens est, vid. Ruperti ad Sil. Italic. iii. 222. Var. Lect. Cf. ad Legg. vi. 2. Ast.

ὑπομνήματα] Dialogi de legibus significantur litteris mandati, utpote memoriæ causa conscripti (vid. nostra ad Phædr. p. 300. ibique excitatis adde Phot. Cod. 242. p. 1955. 45. et Toup. Emendat. in Suid. ii. p. 130.). Ceterum Epinomidis auctor se ipse prodit, dum fingit, Cliniam et Megillum legum libros habere scriptos. Ast.

ὃ γὰρ ἄμεινον] Structura verborum paulo impeditior est. Ita cohærent verba, nisi manca oratio est: ὃ γὰρ ἄμεινον—ἐστὶ, τοῦτο πιθανὸν, ὅτι τοῦ χείρονος—πρεσβύτερόν ἐστι (int. ἄμεινον), πανταχῇ τε ἄρχον ἀρχομένου καὶ ἄγον πάντῃ ἀγομένου πρεσβύτερον: *id quod melius, deteriore melius sit necesse est* (πιθανὸν), *sicuti regens eo, quod regitur, et ducens eo, quod ducitur, prorsus et omni ratione antiquius est atque potius.* Ast.

τό γε πρῶτον] *Principium ipsius animæ*, tanquam τοῦ πρώτου τῆς γενέσεως, h. e. divinum. Comparativus πιθανώτερον vim positivi auget, vid. ad Polit. v. p. 463. D. Ficin. vertit, *quod si ita se habet, quod in generatione primi primum est, verisimile profecto est præivisse.* Deinde verba περὶ θεῶν γενέσεως epexegesis sunt illorum τῆς σοφίας

ΚΛ. Ἔστω ταῦτα εἰς[p] δύναμιν λεγόμενα.

ΑΘ. Φέρε δή, ζῶόν γε ἀληθέστατα λέγεσθαι κατὰ φύσιν φῶμεν τοῦτό[q] γε,[r] ὅταν μία ξυνελθοῦσα σύστασις ψυχῆς καὶ σώματος ἀποτέκῃ μίαν μορφήν;

ΚΛ. Ὀρθῶς.

III. iii. 354. ΑΘ. Ζῶον μὲν δὴ τὸ τοιοῦτον[s] καλεῖται δικαιότατα;

ΚΛ. Ναί.

ΑΘ. Στερεὰ δὲ σώματα λέγεσθαι χρὴ κατὰ τὸν εἰκότα λόγον πέντε, ἐξ ὧν κάλλιστα καὶ ἄριστά τις ἂν πλάττοι, τὸ δὲ ἄλλο[t] γένος ἅπαν ἔχει μορφὴν μίαν· οὐ γάρ ἐστιν ἀσώματον ὅ τί ποτ'[u] ἄλλο[v] γίγνοιτ' ἂν καὶ χρῶμα οὐδὲν οὐδαμῶς οὐδέποτ' ἔχον, πλὴν τὸ θειότατον ὄντως ψυχῆς γένος. τοῦτο δ' ἐστὶ σχεδὸν ᾧ μόνῳ πλάττειν καὶ δημιουργεῖν προσήκει, σώματι δέ, ὃ λέγομεν, πλάττεσθαι καὶ γίγνεσθαι καὶ ὁρᾶσθαι· τῷ[w] δέ—λέγωμεν[x] πάλιν· οὐ γὰρ ἅπαξ ῥητέον—ἀοράτῳ τε εἶναι καὶ γιγνώσκοντι νοητῷ τε,[y] μνήμης μεταλαβόντι[z] λογισμοῦ τε ἐν περιτταῖς τε καὶ ἀρτίαις ἅμα μεταβολαῖς. πέντε οὖν ὄντων τῶν σωμάτων πῦρ χρὴ φάναι καὶ ὕδωρ εἶναι καὶ τρίτον ἀέρα, τέταρτον δὲ γῆν, πέμπτον[a] δὲ αἰθέρα· τούτων δ' ἐν ἡγεμό-

ματα x.—[n] τὸ x.—[o] νέου ΑΩxτ.—[p] ὡς Z.—[q] τότε x et γρ ΖΩ.—[r] τε (γ supra) Ω, τε Α: om Z et γρ Ω.—[s] τοιοῦτο τ.—[t] ἄλλογον Ξ.—[u] τ' ΑΩ.—[v] τἄλλα τ.—[w] τὸ s.—[x] λέγωμεν (τ supra) ΑΖΞΩτ: λέγομεν *s.—[y] δὲ Ω, δὲ Α.—[z] μεταλαμβάνοντι Ξ.—[a] πράττον

τῶν μεγίστων (*sapientiæ maximarum rerum*). Ast.

τοῦτό γε] Legitur etiam τότε: quæ lectio aptior esse videtur. Steph.

τοῦτό γε, ὅταν] Pro τοῦτο etiam τότε legi Steph. memorat, quod sane sequenti ὅταν melius respondet. Accedit, quod Ficin. vertit, *tunc affirmamus, cum.* Quanquam etiam τοῦτο defendi potest; est enim ὅταν i. q. ἐν ᾧ. Ast.

οὐ γάρ ἐστιν] Verba ita capienda sunt: οὐ γὰρ ἄλλο (τι), ὅ τί ποτε γίγνοιτ' ἂν (*quodcunque erit*), ἐστὶν ἀσώματον καὶ οὐδὲν οὐδαμῶς οὐδέποτε χρῶμα ἔχον (i. e. ἀχρώματον) ἔστιν ἄλλο, πλὴν τὸ ὄντως θειότατον ψυχῆς γένος. Ast.

τὸ δὲ λέγομεν] Hunc locum ita legendum puto, τῷ δὲ, (λέγωμεν πάλιν: οὐ γὰρ ἅπαξ ῥητέον) ἀοράτῳ τε εἶναι etc. Subaudiendum autem iterum ex præcedentibus verbum προσήκει. Steph.

ὃ λέγομεν] Comma post λέγομεν posuimus; ad σώματι int. προσήκει: *corpori vero, quod dicimus* (quod ita vocamus), *convenit fingi et oriri et conspici.* Cod. Voss. ὃ λέγωμεν. Mox e Cod. Voss. τῷ δὲ pro τὸ δὲ reposuimus, ut Steph. jam scribendum esse monuerat. Ad τῷ δὲ (τῇ ψυχῇ) int. προσήκει. Cod. Voss. νοητῷ δέ. Ast.

πῦρ χρὴ φάναι] Hæc explicationis causa interposita sunt; quocirca δὲ post τούτων orationem parenthesi interruptam redintegrat. Pro ἑκάστων vero e Cod. Voss. recepimus ἕκαστον; ἕκαστον ζῶον, singula animalia, collective positum est. Ficin. *horum principatibus multa variaque singula animalia producuntur.* Ast.

νίαις ἑκάστων[b] ζῶον πολὺ καὶ παντοδαπὸν ἀποτελεῖσθαι.
μαθεῖν δὲ καθ' ἓν ὧδ' ἐστὶ χρεών. γήϊνον μὲν τιθῶμεν τὸ
πρῶτον ἡμῖν ἕν, πάντας μὲν ἀνθρώπους, πάντα δὲ ὅσα πολύ-
ποδα καὶ ἄποδα, καὶ ὅσα πορεύσιμα καὶ ὅσα μόνιμα,[c]
διειλημμένα ῥίζαις· τὸ δὲ ἓν αὐτοῦ τόδε νομίζειν δεῖ,[d] ὡς
πάντα μὲν ἐξ ἁπάντων ταῦτά[e] ἐστι τῶν γενῶν, τὸ δὲ πολὺ III. iii. 255.
τούτου γῆς ἐστὶ καὶ τῆς στερεμνίας φύσεως. ἄλλο δὲ χρὴ
ζώου γένος θεῖναι δεύτερον γιγνόμενον ἅμα καὶ δυνατὸν
ὁρᾶσθαι· τὸ γὰρ πλεῖστον πυρὸς ἔχει, ἔχει μὴν γῆς τε καὶ
ἀέρος, ἔχει δὲ καὶ ἁπάντων τῶν ἄλλων βραχέα μέρη, διὸ
δὴ ζῶά τε ἐξ αὐτῶν παντοδαπὰ γίγνεσθαι χρὴ φάναι καὶ
ὁρώμενα. νομίσαι δὲ δὴ δεῖ πάντα[f] τὰ κατ' οὐρανὸν ταῦτα
εἶναι[g] ζώων[h] γένη, ὃ δὴ πᾶν χρὴ φάναι θεῖον γένος ἄστρων
γεγονέναι, σώματος μὲν τυχὸν καλλίστου, ψυχῆς δ' εὐδαι-
μονεστάτης τε καὶ ἀρίστης. δυοῖν δὲ αὐτοῖς[i] μοιρῶν τὴν
ἑτέραν[k] χρὴ δόξῃ μεταδιδόναι σχεδόν· ἢ γὰρ[l] ἀνώλεθρόν[m] II. 982.
τε καὶ ἀθάνατον ἕκαστον αὐτῶν εἶναι καὶ θεῖον τὸ παρά-
παν ἐξ ἁπάσης ἀνάγκης, ἤ τινα[n] μακραίωνα βίον ἔχειν
ἱκανὸν ἑκάστῳ ζωῆς, ἧς οὐδέν τι πλείονος ἂν προσδεῖσθαί
ποτε. [§. 6.] Νοήσωμεν οὖν πρῶτον, ὅ λέγομεν,[o] δύο τὰ
τοιαῦτα[p] εἶναι ζῶα. πάλιν γὰρ[q] λέγωμεν[r] ὁρατὰ μὲν ἀμ-
φότερα, τὸ μὲν ἐκ πυρός, ὡς δόξειεν ἄν, ὅλον, τὸ δ' ἐκ γῆς,
καὶ τὸ μὲν γήϊνον ἐν[s] ἀταξίᾳ,[t] τὸ δ' ἐκ πυρὸς ἐν τάξει
πάσῃ κινούμενον. τὸ μὲν οὖν ἐν ἀταξίᾳ κινούμενον ἄφρον III. iii. 255
χρὴ νομίζειν, ὅπερ ὡς τὸ πολὺ δρᾷ τὸ περὶ ἡμᾶς ζῶον, τὸ
δὲ[u] ἐν τάξει τε καὶ οὐρανῷ πόρον ἔχον μέγα τεκμήριον χρὴ

x.—[b] ἕκαστον ΑΖΞΩxτ.—[c] post *μόνιμα* omisi *καὶ* cum A et pr Ω.—[d] δεῖν ΑΩxτ.—[e] ταῦτ' τ.—[f] πάλιν ΑΖΩxτ.—[g] ταῦτα εἶναι om ΑΖΩτ.—[h] ζῶον Ζ.—[i] αὐτοῖν corr A et γρ Ξ, αὐτῆς ΖΞ.—[k] ἑτερίαν x.—[l] γὰρ ἂν x.—[m] ἀνώλεθρόν ΑΖΞxτ : ἀνόλεθρόν *ς.—[n] τινα om τ.—[o] λέγωμεν Ζ.—[p] ταῦτα Ζ.—[q] γὰρ om Ξ.—[r] λέγωμεν ΑΖΞΩτ : λέγομεν *ς.—[s] ἐν om Ζ.—[t] τάξει Ζ.—[u] δ' x.—[v] γενέσθαι Ζ.—[w] καὶ om pr Ξ.—

πάντα] Pro πάντα invenitur etiam πάλιν. Steph.

πάντα] Cod. Voss. πάλιν pro πάντα habet, et mox δυοῖν δὲ αὐτοῖν.—δόξῃ, *opinione.* Ficin. *his utique animalibus e duabus sortibus alteram tribuendam putamus.* In seqq. pro ζωῆς, ἧς forsitan scribendum est : ἑκάστῳ, ζωῆς ὥστε οὐδέν τι πλείονος cet. Similiter Ficin. vertit : *aut vitam longævam agunt singulis adeo sufficientem, ut longiore non egeant.* Quanquam pariter apud Plutarch. in Lexic. Basil. legitur : ὡς ἂν ἐκπλήσωσι τὸν ἐπικλωσθέντα τῆς ζωῆς βίον. Ast.

§. 6. λέγωμεν] Sic Cod. Voss. et Ficin. *rursusque dicamus.* Vulgo λέγομεν. Ast.

τὸ δὲ—ἔχον] Oratio coarctata est et e duabus conflata; ita enim exponi hæc

ποιεῖσθαι[v] τοῦ φρόνιμον εἶναι· κατὰ ταὐτὰ γὰρ ἂν καὶ[w] ὡσαύτως πορευόμενον ἀεὶ καὶ ποιοῦν καὶ πάσχον τεκμήριον ἱκανὸν τοῦ φρονίμως ζῆν εἴη παρεχόμενον. ἡ ψυχῆς δὲ ἀνάγκη νοῦν κεκτημένης ἁπασῶν ἀναγκῶν πολὺ[x] μεγίστη γίγνοιτ' ἄν· ἄρχουσα γὰρ ἀλλ' οὐκ ἀρχομένη νομοθετεῖ. τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται[y] νοῦν, τὸ τέλεον ἐκβαίνει[z] τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο, ἀλλ' ὄντως[a] τρεῖς μοῖραι κατέχουσαι φυλάττουσι τέλεον εἶναι τὸ[b] βελτίστῃ βουλῇ βεβουλευμένον ἑκάστοις θεῶν. τοῖς δὲ ἀνθρώποις ἐχρῆν τεκμήριον εἶναι τοῦ νοῦν ἔχειν ἄστρα τε καὶ ξύμπασαν ταύτην τὴν διαπορείαν,[c] ὅτι τὰ αὐτὰ ἀεὶ πράττει διὰ τὸ βεβουλευμένα πάλαι πράττειν θαυμαστόν[d] τινα χρόνον ὅσον, ἀλλ' οὐ μεταβουλευόμενον ἄνω καὶ κάτω, τοτὲ μὲν ἕτερα, ἄλλοτε δὲ ἄλλα πρᾶττον, πλανᾶσθαί τε καὶ μετακυκλεῖσθαι. τοῦθ' ἡμῶν τοῖς πολλοῖς αὐτὸ τοὐναντίον ἔδοξεν, ὅτι τὰ[e] αὐτὰ καὶ ὡσαύτως πράττει,[f] ψυχὴν οὐκ ἔχειν·
III. iii. 357. οὕτω[g] τοῖς ἄφροσι ξυνεφέσπετο τὸ πλῆθος, ὡς τὸ μὲν ἀνθρώπινον ἔμφρον καὶ ζῶν ὡς κινούμενον ὑπολαβεῖν, τὸ δὲ θεῖον ἄφρον ὡς μένον ἐν ταῖς αὐταῖς φοραῖς.[h] ἐξῆν δὲ ἀνθρώπῳ γε, ἐπὶ τὰ καλλίω καὶ βελτίω καὶ φίλα τιθεμένῳ, λαμβάνειν ὡς διὰ τοῦτο αὐτὸ ἔμφρον δεῖ νομίζειν τὸ κατὰ

[x] πολὺ om r.—[y] βουλεύηται x.—[z] ἐσβαίνει ΑΩx: vulgatam corr Ξ.—[a] οὕτως x.—[b] καὶ Ζ.—[c] διαπόρειαν ΖΞ, διαπορίαν Α: διαπορείαν cum *ς corr Ω.—[d] θαυματὸν Ξ.—[e] τὸ τὰ Ζ.—[f] πράττει Astius: libri πράττειν.—[g] ἔχειν ἔστιν οὕτω Ζ.—[h] φο-

debebant: τὸ δὲ ἐν τάξει—πόρον ἔχον (quod vero ad illud attinet, quod ordine et in cœlo progreditur), αὐτὸ τοῦτο (τὸ ἐν τάξει τε καὶ οὐρανῷ πόρον ἔχειν) μέγα τεκμήριον χρὴ ποιεῖσθαι τοῦ φρόνιμον αὐτὸ εἶναι. Ast.

ἐκβαίνει] Cod. Vos. ἐσβαίνει; ἐκβαίνειν, ut Latinorum evadere, est fieri, ut apud Eurip. Med. 228. Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις. Dionys. Halicarn. vii. 51. ὅσα δὲ μετὰ τοῦ γενναίου στάντες—ἐναντιώθητε, ταῦτ' ἡμῖν εἰς δέον ἐκβέβηκε. Longin. c. 44. p. 158. διόπερ οὐδὲν ὅτι μὴ κόλακες ἐκβαίνομεν μεγαλοφυεῖς. Τὸ τέλεον ἐκβαίνει vero est i. q. τέλεον ἐκβαίνει, h. e. τελειοῦται, perficitur; de hac articuli redundantia vid. ad i. 6. Mox Ald. Lov. Bas. 1. et 2. τοῖς ἀνθρώποις. Ast.

πράττειν] Mutandum censeo in πράττει. Steph.

πράττει] Vulgo πράττειν, in quo Steph. quoque offenderat. Ficinus: multis autem nostrum contra visum est, hæc, quia eadem et similiter semper agunt, animam non habere. Ast.

ἐπὶ τὰ καλλίω—τιθεμένῳ λαμβάνειν] Pulcriorem—de his sententiam ferenti statuere; τίθεσθαι est proprie calculum (ψῆφον) ponere, h. e. sententiam ferre, judicare, v. Heinsterhus. in Misc. Observat. t. v. p. iii. p. 66. et ad Thom. Mag.

ταὐτὰ καὶ ὡσαύτως καὶ διὰ ταὐτὰ[i] πρᾶττον ἀεί· τοῦτο δ'
εἶναι τὴν τῶν ἄστρων φύσιν, ἰδεῖν μὲν καλλίστην, πορείαν
δὲ καὶ χορείαν πάντων χορῶν καλλίστην καὶ μεγαλοπρε-
πεστάτην χορεύοντα[k] πᾶσι τοῖς ζῶσι τὸ δέον ἀποτελεῖν.
καὶ μὴν ὅτι γε δικαίως ἔμψυχα αὐτὰ λέγομεν, πρῶτον τὸ
μέγεθος αὐτῶν διανοηθῶμεν. οὐ γάρ, ὡς σμικρὰ φαντάζε- II. 983.
ται, τηλικαῦτα ὄντως ἐστίν, ἀλλ' ἀμήχανον ἕκαστον αὐ-
τῶν τὸν ὄγκον,[l] πιστεῦσαι δ' ἄξιον· ἀποδείξεσι γὰρ ἱκα-
ναῖς[m] λαμβάνεται. τὸν γὰρ ἥλιον ὅλον τῆς γῆς ὅλης μεί-
ζω διανοηθῆναι δυνατὸν ὀρθῶς, καὶ πάντα δὴ τὰ φερόμενα
ἄστρα θαυμαστόν τι μέγεθος ἔχει. λάβωμεν δή,[n] τίς τρό-
πος ἂν εἴη τοσοῦτον περιφέρειν ὄγκον τινὰ φύσιν, τὸν αὐτὸν
ἀεὶ χρόνον ὅσον καὶ νῦν περιφέρεται. θεὸν δή φημι τὸν αἴ-
τιον ἔσεσθαι, καὶ οὔποθ' ἑτέρως εἶναι[o] δυνατόν· ἔμψυχον
μὲν γὰρ οὔποτε γένοιτ' ἂν ἑτέρως πλὴν διὰ θεόν, ὡς ἡμεῖς
ἀπεφηνάμεθα. ὅτε δὲ τοῦτο οἷός τέ ἐστι θεός, ἅπασα αὐ- III. iii. 358.
τῷ ῥᾳστώνη γέγονε τοῦ πρῶτον μὲν ζῶον γεγονέναι πᾶν

ῥοῦν Z.—[i] καὶ διὰ ταὐτὰ ΑΖΩ, καὶ διὰ ταῦτα Ξxτ : καὶ τὰ αὐτὰ ς.—[k] χορεύοντας τ.—[l] τοῦ ὄγκου x.—[m] ἱκανοῖς x.—[n] δὴ τὰ Z.—[o] ἑτέραι ΑΩ.—[p] ξ. ΑΖΞΩxτ.—

p. 443. L. Bos. Ellips. Græc. p. 568. ed. Schäf. Sic de Legib. x. 3. p. 888. B. *ἐπὶ τἀναντία τίθεσθαι* (*contrarium sentire s. judicare*). Epinom. 8. p. 984. D. *ταύτῃ τιθέσθω*. Theæt. p. 202. E. *τίθεσαι ταύτῃ*. Similiter *τίθεσθαί τι εἰς τι*, *aliquid numerare in*—(ut in bonis, in malis), pro *habere aliquid pro*—. Sic Politic. 281. C. *ἐὰν ἄρ' αὐτὴν—εἰς τὴν καλλίστην καὶ μεγίστην πασῶν τιθῶμεν*. Sophist. 235. A. *εἰς γόητα μὲν δὴ καὶ μιμητὴν ἄρα θετέον αὐτόν τινα* (*forte* s. *fere*); quod Heind. sine causa sollicitabat.—Ceterum bene Cornar. hæc ita vertit: *poterat autem homo hæc ita accipere, ut pulcrius et melius et ea, quæ grata essent, de ipsis sentiret, quod videlicet hoc ipsum sapiens putare oportet, quod secundum eadem et eodem modo et eadem semper facit*. *καὶ τὰ αὐτὰ* Steph. de Cornarii conjectura pro *καὶ διὰ ταῦτα* recepit, sensu id poscente; deinde pro *πρᾶττον* recte legi jussit *πράττειν*; *τὸ πράττειν* enim refertur ad *διὰ τοῦτο αὐτὸ*, ut Ficin. vertit: *quod propterea mentem habeant, quia per eadem similiter profecta eadem semper agunt*. Ast.

πρᾶττον] Scribendum puto *πράττειν*: ut intell. *διὰ τοῦτο αὐτὸ, διὰ τὸ πράττειν*. Mox puto *χορεύοντα* subjungi quasi præcederet *ἄστρα*, non *ἄστρων φύσιν*. Steph.

χορῶν καλλίστην] Si mendo caret hæc lectio, valde observatione dignus est hic superlativi usus cum genitivis qui non ejusdem sunt generis. Dicendum enim alioqui fuerat, *χορείαν πασῶν χορειῶν καλλίστην*. Steph.

πάντων χορῶν] Pro *πασῶν χορειῶν*. Mox *χορεύοντα* positum est, ac si *τὰ ἄστρα*, non *τὴν τῶν ἄστρων φύσιν* antecesserit. Ceterum de stellarum choro, Lucianus de Saltat. c. 7. t. i. p. 549. Schmied. *ἡ γοῦν χορεία τῶν ἀστέρων καὶ ἡ πρὸς τοὺς ἀπλανεῖς τῶν πλανήτων συμπλοκὴ καὶ εὔρυθμος αὐτῶν κοινωνία καὶ εὔτακτος ἁρμονία τῆς πρωτογόνου ὀρχήσεως δείγματά ἐστι*. Cf. Julian. Orat. iv. p. 135. A. Ast.

τὸν γὰρ ἥλιον] Cf. Cicero de Nat. Deor. ii. 19. et Arnob. adv. Gent. ii. p. 51. ubi v. Elmenhorst. p. 59. Ast.

οὔποθ' ἑτέρως] Cod. Voss. *ἑτέρᾳ*. Mox ad *ἔμψυχον—γένοιτ' ἂν* int. *τί*. Ast.

σῶμα καὶ ὄγκον ξύμπαντα,[p] ἔπειτα, ᾗ περ ἂν διανοηθῇ βέλτιστα, ταύτῃ φέρειν. νῦν δὴ περὶ ἁπάντων τούτων ἕνα λόγον λέγοιμεν ἀληθῆ. οὐκ ἔστι γῆν τε καὶ οὐρανὸν ἅπαντάς τε ἀστέρας ὄγκους τε ἐκ τούτων ξύμπαντας μὴ ψυχῆς πρὸς ἑκάστῳ γενομένης[q] ἢ καὶ ἐν ἑκάστοις εἶτα[r] εἰς ἀκρίβειαν κατ' ἐνιαυτὸν οὕτω πορεύεσθαι κατὰ μῆνάς τε καὶ ἡμέρας, καὶ ξύμπαντα τὰ γιγνόμενα ξύμπασιν ἡμῖν ἀγαθὰ γίγνεσθαι. δεῖ δέ, ὅσῳ φλαυρότερόν[s] ἐστ'[t] ἄνθρωπος, μή τι[u] ληροῦντά γε, σαφῶς δέ τι λέγοντα φαίνεσθαι. ῥύμας μὲν οὖν εἴ τις αἰτίας τινὰς ἐρεῖ σωμάτων ἢ φύσεις ἤ τι τοιοῦτον, οὐδὲν σαφὲς ἐρεῖ·[v] [§. 7.] τὸ δὲ παρ' ἡμῶν εἰρημένον σφόδρ' ἀναλαβεῖν χρή, πότερον ἔχει λόγον ὁ λόγος ἢ πάντως ὑστερεῖ, τὸ πρῶτον μὲν τὰ ὄντα εἶναι δύο, τὸ μὲν ψυχήν, τὸ δὲ σῶμα, καὶ πολλὰ ἑκατέρου, πάντα δὲ ἀλλήλων ἄλλα καὶ ἑκάτερα ἑκατέρων, καὶ τρίτον ἄλλο οὐδὲν κοινὸν οὐδενί· διαφέρειν δὲ ψυχὴν σώματος. ἔμφρον μέν που, τὸ δὲ ἄφρον θήσομεν, ἄρχον δέ, τὸ δὲ ἀρχόμενον, καὶ
III. iii. 359. τὸ μὲν αἴτιον ἁπάντων, τὸ δὲ ἀναίτιον πάσης πάθης. ὥστε τά γε[w] δὴ κατ' οὐρανὸν ὑπ' ἄλλου του φάναι γεγονέναι, καὶ μὴ ψυχῆς τε καὶ σώματος οὕτως εἶναι γεννήματα,

[q] γιγνομένης r.—[r] εἶτα add ΑΖΩxr.—[s] φλαυρότερον ΑΩ: φαυλότερον °s.—[t] ἐστ' om r.—[u] μήτοι ΑΖΞΩx.—[v] αἱρεῖ Ω.—[w] τε x.—[x] θεῶν αὐτῶν αὐτῶν ἐργασαμένων

φέρειν] Ficin. *deinde, qua ratione optime fieri cogitarit, hac ducere.* Φέρειν autem ad astrorum φορὰν (supra τὰ φερόμενα ἄστρα) spectat; igitur est: hunc iis motum ac cursum tribuere, qui optimus ipsi visus esset. Ald. Lov. Bas. 1. et 2. vitiose habent εἴπερ. Ast.

λέγομεν] Vulgo λέγοιμεν, sed optativo hic nullus locus est. λέγομεν vim fere habet futuri, vid. ad i. 3. Mox ante εἰς ἀκρίβειαν Cod. Voss. εἶτα interponit. Ast.

ῥύμας] Schol. Ruhnk. ὁρμὰς βιαίας. Sic infra c. 8. p. 985. B. ἐλαφρᾷ φερόμενα ῥύμῃ. Sophist. p. 236. D. ἥ σε οἷον ῥύμη τις ὑπὸ τοῦ λόγου ξυνειθισμένον ξυνεπεσπάσατο πρὸς τὸ ταχὺ ξυμφῆσαι; A Bas. 2. τὶς post εἰ abest. Ast.

§. 7. ἔχει λόγον ὁ λόγος] *Utrum consentanea sit et quasi obtineat oratio an succumbat* (reprobanda sit). Paronomasia inest in λόγον ἔχει (de quo vid. ad Legg. x. 12.) et ὁ λόγος, vid. ad ii. 4. Ast.

πολλὰ ἑκατέρου] Ficin. perspicuitatis causa, ut videtur, plura adjecit vertens: *et quæ ad utriusque genus pertinent, esse multa; eaque ab aliis in genere suo differre et utraque genera a se invicem esse diversa, adeo ut tertium nihil sit utrisque commune.* Ast.

ἔμφρον μὲν] Vide annon scribendum sit, ἔμφρον τὸ μέν που: et paulo post, ἄρχον τὸ μὲν, τὸ δὲ ἀρχ. Steph.

τὸ μέν που] Vulgo ἔμφρον μέν που. Mox vulgo ἄρχον δὲ, τὸ δὲ ἀρχόμενον; e Cod. Voss. pro δὲ recepimus μὲν, addito τὸ, quod sensus poscit. Mox καὶ σώματος οὕτως Ficin. ita vertit: *nec ex anima et corpore, ut diximus, constare contendat.* Cornar. ita vertit, ac si ὄντως legerit: *et non animæ ac corporis revera sobolem esse.* Ast.

πολλὴ μωρία τε καὶ ἀλογία. εἰ δ' οὖν δεῖ νικᾶν τοὺς περὶ ἁπάντων τῶν τοιούτων λόγους καὶ πιστῶς θεῖα φαίνεσθαι γεγονέναι τὰ τοιαῦτα ξύμπαντα, δυοῖν τοι θάτερα θετέον αὐτά· ἢ γὰρ θεοὺς αὐτοὺς ταῦτα ὑμνητέον ὀρθότατα, ἢ θεῶν εἰκόνας ὡς ἀγάλματα ὑπολαβεῖν γεγονέναι, θεῶν αὐ- II. 984.
τῶν ἐργασαμένων·[x] οὐ γὰρ ἀνοήτων γε οὐδὲ βραχέος[y] ἀξίων. ἀλλ' ὅπερ εἰρήκαμεν, τούτων ἡμῖν θάτερα θετέα, τὰ δὲ τεθέντα τιμητέον πάντων ἀγαλμάτων[z] διαφερόντως· οὐ γὰρ μή ποτε φανῇ καλλίω καὶ κοινότερα ξυμπάντων ἀνθρώπων ἀγάλματα, οὐδ' ἐν διαφέρουσι τόποις ἱδρυμένα, καθαριότητι[a] καὶ σεμνότητι καὶ ξυμπάσῃ ζωῇ διαφέροντα, ἢ ταῦτα, ὡς πάντῃ ταύτῃ[b] γεγένηται. νῦν οὖν δὴ περὶ θεῶν ἐγχειρῶμεν τό γε[c] τοσοῦτον, τὰ δύο κατιδόντες ζῷα ὁρατὰ ἡμῖν, ἅ φαμεν[d] ἀθάνατον,[e] τὸ δὲ γήϊνον ἅπαν θνητὸν γεγονέναι, τὰ τρία τὰ μέσα τῶν πέντε, τὰ μεταξὺ τούτων, σαφέστατα κατὰ δόξαν τὴν ἐπιεικῆ γεγονότα πει-

s.—[y] Βραχέως r.—[z] πάντων ἀγαλμάτων τιμητέον r.—[a] καθαριότητι ΑΖΩ : καθαρειότητι *s.—[b] ταύτηι ΑΩ.—[c] τόδε x.—[d] φαίνομεν Α, φαίνωμεν Ω.—[e] ante ἀθάνα-

[p] σταδιαῖον IM.—[q] πᾶν ΦBCDuo : πάντη s.—[r] τε καὶ...ἀμετάβλητον om I.—[s] ἐς IM : εἰς *s.—[t] ἄλλο ΦBC.—[u] ἀκοινώνατον ΦBu, ἀκοινώνητον ΞCDqo, ἀκινώνητον M, ἀκοινώτατον I : ἀκοινώνευτον s.—[v] τῶν τριγώνων Do.—[w] ἴδιον ΦBCI, ἴδιστον M : ἀΐδιον s.—[x] γὰρ om I.—[y] τέτταρας D : τέσσαρας *s.—[z] τούτων Do.—[a] εὐκινητότατον ΦBCD.—[b] ὀκτὼ ΦBCDuo.—[c] εἰκοσάεδρον ΦDIMo.—[d] πολυμερέστερον Φ BCDuo, πολυμερέστατον Ξ.—[e] βαρύτερον ΞΦBCDIMuo.—[f] εἰκόνας o.—[g] τῶ ΞΦB CDIMuo.—[h] ἰστάσατο BC.—[i] σφαίρας corr D, σφαίραι BC : σφαῖρα s.—[j] λεπτομερίαν I : λεπτομέρειαν s.—[k] φορᾶ ΦBCu.—[l] τῶ BCDIuo : τοῦ s.—[m] ἠρισμένα Ξ CDIMuo.—[n] ἀλλοίωσιν...θεὸς om q.—[o] γενέσιος Φ.—[p] φθορᾶς ΦC.—[q] τὸν om ΦB Cu.—[r] κατεσκεύαζεν Φuo.—[s] δὲ om Φ.—[t] ἀναλογίαν Φ.—[u] ἂν C, om Φ.—[v] αἰ I :

ἄλλα] γρ. ἄλλο. Steph. Ita Bas. 2. Bip.
ἓξ δὲ] γρ. ὀκτὼ δὲ γωνίας. Mox γρ. πολυμερέστερον καὶ βαρύτερον. Steph. Ita Bas. 2. Bip.

δύο ἄκρα ξυναρμόξατο,[x] ὅπως εἴη ὡς πῦρ[a] ποτ' ἀέρα, ἀὴρ[b] ποτὶ ὕδωρ καὶ ὕδωρ ποτὶ γᾶν, καὶ κατ'[c] ἐναλλαγάν,[d] ὡς πῦρ ποτὶ ὕδωρ, ἀὴρ ποτὶ γᾶν, καὶ ἀνάπαλιν, ὡς γᾶ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα καὶ ἀὴρ ποτὶ πῦρ, καὶ κατ' ἐναλλαγάν, ὡς γᾶ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ. καὶ ἐπεὶ δυνάμει ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί. εἷς μὲν ὦν ὅδε ὁ[e] κόσμος δαιμονίῳ δεσμῷ τῷ[f] ἀνὰ λόγον[g] ἐστιν·[h] ἕκαστον δὲ τῶν τεττόρων σωμάτων πολλὰ εἴδεα ἴσχει·[i] πῦρ μὲν φλόγα καὶ φῶς καὶ αὐγάν, διὰ τὰν ἀνισότητα[j] τῶν ἐν ἑκάστῳ αὐτῶν[k] τριγώνων· κατταὐτά[l] τε καὶ ἀὴρ τὸ μὲν καθαρὸν καὶ αὖον, τὸ δὲ νοτερὸν καὶ ὁμιχλῶδες· ὕδωρ τε[m] τὸ μὲν ῥέον,[n] τὸ δὲ πακτόν,[o] ὁκόσον[p] χιών τε καὶ πάχνα χάλαζά τε καὶ κρύσταλλος.[q] ὑγρόν τε τὸ μὲν ῥυτόν, ὡς[r] μέλι, ἔλαιον, τὸ δὲ πακτόν,[s] ὡς πίσσα, κηρός. πακτῶ δὲ εἴδεα[t] τὸ μὲν χυτὸν χρυσός, ἄργυρος, χαλκός, κασσίτερος, μόλυβδος,[u] σταγών, τὸ δὲ θραυστὸν θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, στυπτηρία, λίθοι τοὶ[v] ὁμογενέες.

§. 7. Μετὰ δὲ[w] τὰν τῶ κόσμω σύστασιν ζώων θνατῶν γένεσιν[x] ἐμαχανάσατο, ἵν' ᾖ τέλεος ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. τὰν μὲν ὦν ἀνθρωπίνων ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας διένειμε τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ[y] παραδούς·[z] δια- III. iii. 386.
δεξαμένα δ'[a] αὐτὸν[b] ἐν τῷ ἀπεργάζεν θνατά τε καὶ ἐφαμέρια ζῷα, ὧν τὰς ψυχὰς ἐπιρρύτως ἐνάγαγε τὰς μὲν

ceteri αἰ.—[w] ὕδωρ pr u.—[x] χρήσει ΦBCDuo : ceteri χρῄζει.—[f] δὴ ΦBCDMuo, δὲ I : ὧν s.—[x] ξυναρμόξατο ΦBCDIMuo : προσαρμόξατο *s.—[a] πῦρ...ἐναλλαγὰν om Φ.—[b] ἀέρα καὶ ἀὴρ o.—[c] καὶ κατ'...πῦρ om o.—[d] ἀναλλαγὰν I.—[e] ὅδε o.—[f] τὸ u.—[g] ἀναλόγω I, ἀναλόγων M : ἀνάλογον s.—[h] ἐντί o.—[i] ἴσχει ΦCDo : ἔχει *s.—[j] ἀνισότατα Ξu, ἰσότητα γρ ΦC : ἀνισότητα *s. τῶν om BC.—[k] ἑκάστων ἐν αὐτῷ IM.—[l] κατταυτά ΦBCIMqu, κατὰ ταῦτά Do : κατ' αὐτὰ s.—[m] τε om C.—[n] ῥέον ΞDIMqo, ῥεῖον ΦBCu : ῥυτὸν s.—[o] δ' ἐπακτὸν Φ.—[p] ὁκόσων IM : ὁκόσον...πακτὸν om pr u.—[q] κρύσταλος ΞCDIM.—[r] ῥυτὸν καὶ ὡς o.—[s] δ' ἐπακτὸν M.—[t] ἰδέα ΦBCDIMo.—[u] μόλυβδος BCu : μόλιβδος *s.—[v] τοῖς D.—[w] δὲ om I et pr u.—[x] γένεσιν Do.—[y] τὰ ἀλλοιωτικὰ ΦC.—[z] παραδιδοὺς o.—[a] δ' om I.—[b] αὐτὰ o.—[c] ἀπ'

§. 6. ὕδωρ ποτὶ] Graece legendum est, ἀὴρ ποτὶ ὕδωρ, ὕδωρ ποτὶ γᾶν. Vulgo deficit ὕδωρ vox, post ὕδωρ ante voces ποτὶ γᾶν repetita. Cornar.

κατ' αὐτά τε] Stephanus suspicatur scribendum esse καττὰ αὐτά τε. Bip.

§. 7. ἐκ τῶν αὐτῶν] Graece legendum, τὰν μὲν ὦν ἀνθρωπίνων ψυχὰν ἐκ τῶν τῷ αὐτῷ λόγων καὶ δυναμίων κ. λ. Et mox, Quorum animas per influentem modum instillabat: Graece legendum, ὧν τὰς ψυχὰς ἐπιρρύτως ἐνέσταγε. Cornar.

ἀπὸ σελάνας, τὰς δ' ἀπ'[c] ἁλίω, τὰς δὲ ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τᾷ τῶ ἑτέρω μοίρᾳ, ἔξω μιᾶς τᾶς ταὐτῶ[d] δυνάμιος, ἃν ἐν τῷ λογικῷ μέρει ἔμιξεν,[e] εἰκόνα σοφίας[f] τοῖς εὐμοιρατοῦσι. τᾶς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς τὸ μὲν λογικόν[g] ἐστι καὶ νοερόν, τὸ δ' ἄλογον καὶ ἄφρον.[h] τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον ἐκ τᾶς ταὐτῶ φύσιος, τὸ δὲ χέρειον ἐκ τᾶς τῶ ἑτέρω. ἑκάτερον δὲ[i] περὶ[k] τὰν
III. 100. κεφαλὰν ἵδρυται,[l] ὡς τἆλλα μέρεα τᾶς ψυχᾶς καὶ[m] τῶ σώματος ὑπηρετεῖν τούτῳ,[n] καθά περ ὑπάτῳ[o] τῶ σκάνεος[p] ἅπαντος. τῶ δ' ἀλόγω μέρεος τὸ μὲν θυμοειδὲς περὶ τὰν καρδίαν, τὸ δ' ἐπιθυματικὸν[q] περὶ τὸ ἧπαρ. τοῦ δὲ σώματος ἀρχὰν[r] μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἁ[s] ἁγεμονία·[t] ἀπὸ δὲ τούτω οἷον[u] ἀπόχυμα ῥεῖν[v] διὰ τῶν νωτίων[w] σπονδύλων τὸ λοιπόν, ἐξ ὧ εἰς σπέρμα καὶ γόνον[x] μερίζεσθαι. ὀστέα δὲ μυελῶν περιφράγματα. τουτέων δὲ σκέπαν μὲν τὰν σάρκα καὶ προκάλυμμα, συνδέσμοις δὲ ποττὰν κίνασιν[y] τοῖς νεύροις συνᾶψε[z] τὰ ἄρθρα. τῶν δ' ἐντοσθίων[a] τὰ μὲν τροφᾶς χάριν, τὰ δὲ σωτηρίας. Κινασίων δὲ τῶν ἀπὸ τῶν ἐκτὸς τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον αἰσθήσιας εἶμεν, τὰς δ'[b] ὑπ' ἀντίλαψιν μὴ πιπτοίσας ἀνεπαισθήτως, ἢ τῷ τὰ πάσχοντα

ἀλίω ΞΦBCIκο, ἀπ' ἀλίω DM : ἀπὸ ἀλίω ς.—[d] τοῦ αὐτοῦ Φ, ταυτοῦ IM : τῶ αὐτῶ *ς.—[e] ἔταξεν ο.—[f] εἰκόνας ὀφίας C.—[g] λογιστικὸν Φ.—[h] καὶ τὸ ἄφρον Φ.—[i] δὲ om pr κ.—[k] περὶ ο.—[l] ἱδρυμένον M : ἵδρυται μένον *ς.—[m] διὰ ο.—[n] τούτων BC M, τούτοιν I, τοῦτο ο.—[o] ὑπάτῳ Valckenar. diatrib. Eurip. p. 284. libri ὑπ' αὐτῶ.
κράνους
—[p] σκανεος Φ.—[q] ἐπιθυμιτικὸν I.—[r] ἀρχὰ...ῥίζα ΦBCIM et pr κ.—[s] ἁ om C. —[t] ἀγεμονεία Φ.—[u] οἷον add ΦBCDIMκο.—[v] libri ῥεῖ.—[w] νωτείων ΞDMο, νοτίων I.—[x] λόγον ΞBCDIMqκο.—[y] κίνασιν ΦCMκ : κίνησιν *ς.—[z] συνᾶψε ΦC, συνάψε M : σύναψε ς.—[a] ἐντοσθιδίων ΞCqκ.—[b] δ' om I.—[c] γαιοειδέσ-

ἀπόχυμα] γρ. οἷον ἀπόχυμα. Steph. Ita Bas. 2. Bip.

γόνον] Græce legendum, ἀπὸ δὲ τούτω ἀπόχυμα ῥεῖ διὰ τῶν νοτίων σπονδύλων τολοιπὸν, ἐξ ὧν εἰς σπέρμα καὶ γόνον μερίζεσθαι. Vulgo λόγον falso pro γόνον habetur. Et mox, *Ex motibus vero, qui ab externis proficiscuntur, hi qui ad sapientiæ locum referuntur, sensui expositi sunt*: Græce legendum, κινάσιων δὲ τῶν ἀπὸ τῶν ἐκτὸς, τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον, αἰσθητὼς εἶμεν. In vulgatis falso αἰσθήσιας habetur pro αἰσθητὼς, quod pro αἰσθητοὺς Dorice dictum est. Cornar.

τῶν δ' ἐντοσθίων] Particulam δὲ aut tollendam, aut in γε mutandam arbitror, ut hæc jungantur præcedentibus, posita tantum hypostigme post ἄρθρα, ut dicat, quod ille συνδέσμοις τοῖς νεύροις τὰ ἄρθρα σύναψε (aut συνᾶψε, quia dicitur συνῆψε, non σύνῃψε) factum esse partim χάριν τροφᾶς τῶν ἐντοσθίων, partim σωτηρίας. Videtur autem συνδέσμοις dictum esse pro οἷον συνδέσμοις. Steph.

σώματα γαιοειδέστερα[c] εἶμεν, ἢ[d] τῷ[e] τὰς κινάσιας ἀμενηνοτέρας γίγνεσθαι. ὁκόσαι μὲν ὦν ἐξίσταντι[f] τὰν φύσιν, ἀλγειναὶ ἐντί· ὁκόσαι δὲ ἀποκαθίσταντι[g] ἐς[h] αὐτάν, ἁδοναὶ ὀνυμαίνονται. [§. 8.] Τᾶν δ'[i] αἰσθησίων τὰν μὲν ὄψιν ἁμὶν[k] τὸν θεὸν ἀνάψαι εἰς[l] θέαν τῶν ὠρανίων[m] καὶ ἐπιστάμας ἀνάλαψιν,[n] τὰν δ' ἀκουὰν[o] λόγων καὶ[p] μελῶν ἀντιλαπτικὰν ἔφυσεν, ἃς[q] στερισκόμενος ἐκ γενέσιος ὁ ἄνθρωπος[r] οὐδὲ[s] λόγον ἔτι προίεσθαι δυνάσεται·[t] διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν[u] αἴσθασίν φαντι εἶμεν. ὁκόσα
δὲ πάθεα τῶν σωμάτων ὀνυμαίνεται,[w] ποτὶ τὰν ἁφὰν κληΐ- III. iii. 387.
ζεται,[x] τὰ δὲ ῥοπᾷ[y] ποτὶ τὰν χώραν. ἁ μὲν γὰρ ἁφὰ κρίνει τὰς ζωτικὰς δυνάμιας,[z] θερμότατα, ψυχρότατα, ξηρότατα,[a] ὑγρότατα,[b] λειότατα,[c] τραχύτατα,[d] εἴκοντα, ἀντίτυπα, μαλακά, σκληρά· βαρὺ δὲ καὶ[e] κοῦφον ἁφὰ μὲν[f] προκρίνει, λόγος δ' ὁρίζει[g] τᾷ εἰς τὸ μέσον καὶ ἀπὸ τῶ μέσω νεύσει. κάτω δὲ καὶ μέσον ταὐτὸν φαντί· τὸ γὰρ κέντρον[h] τᾶς σφαίρας, τοῦτό[i] ἐστι τὸ κάτω, τὸ δ' ὑπὲρ τούτω ἄχρι τᾶς περιφερείας ἄνω. τὸ μὲν ὦν θερμὸν[k] λεπτομερές τε[l] καὶ διαστατικὸν τῶν σωμάτων δοκεῖ εἶμεν, τὸ δὲ ψυχρὸν παχυμερέστερον καὶ συμπιλατικὸν πόρων[m] ἐστί. Τὰ δὲ[n] περὶ τὰν γεῦσιν ἔοικε τᾷ ἁφᾷ·[o] συγκρίσει γὰρ καὶ διακρίσει, ἔτι δὲ τᾷ ἐς τὼς πόρως[p] διαδύσει[q] καὶ τοῖς σχημάτεσσιν[r]· ἢ στρυφνὰ ἢ λεῖα, ἀποτάκοντα μὲν[s] καὶ

τερα ΞΦDMgo, γεοειδέστερα BCκ, γαιοδέστερα I: γεωδέστερα ς.—[d] ἢ om ΦBCDκo.—[e] τὸ o.—[f] ἐξίστανται ΦBCDκo, ἐξιστᾶντι ς.—[g] ἀποκαθίσταντι ΦBCκ, ἀποκαθίστανται Do: ἀποκαθιστᾶντι ς.—[h] δὲ M.—[i] ταῦθ' o.—[k] ἀμῶν CDo, ἀμῶν κ, ἡμῖν Φ: ἄμμιν ς.—[l] εἰς om κ.—[m] ὠρανίων Φ.—[n] ἀνάλαμψιν κ.—[o] ἀκουὰν ΦCDκ.—[p] καὶ λόγων καὶ I, λόγω καὶ κ.—[q] ἂν M.—[r] ὁ ἄνθρωπος ἐκ γεννέσιος IM: ὁ om o.—[s] libri οὔτε. οὐδὲ...αἴσθασιν om o.—[t] πρόσθει δυνησεῖται (ει) κ.—[u] ταύταν τὰν ΦC et rc B.—[w] ὀνυμέεται C.—[x] κλήζεται ΦBCκ.—[y] τὰ δὲ ῥοπὰ ΦC, τὰ δὲ ὡς ὀπὴ o: τᾷ δὲ ῥοπᾷ *ς.—[z] δυνάμιος C.—[a] ξηρότατά τε BD, ξηρότατά γε Φ, om I.—[b] ὑγρότατα om BCDIMκo.—[c] τελειότητα Mo.—[d] βραχύτατα ΦDIM o et pr C.—[e] καὶ om I.—[f] ἁφὰ μὲν om IMo.—[g] ὁρίξει κ.—[h] μέσον I.—[i] τοῦτο IM.—[k] θερμὸν om C et pr κ, post λεπτομερὲς ponit o.—[l] τε ante λεπτομερὲς ponunt ΦD.—[m] καὶ συμπιλατικὸν πόρων IM, πόῤῥω καὶ συμπιλαστικόν ΦC: πόρων καὶ συμπιλαστικόν (α) *ς.—[n] ταυτὰ o.—[o] τε ἀφῆς BC.—[p] ὀπόρως Φ, ὀπόρως C.—[q] διδόσει κ.—[r] σχημάτεσιν ΞIM. quod additur ἢ, om ΦC.—[s] μὲν IM, om pr κ: δὲ *ς.—[t] δυν-

§. 8. πόρων καὶ] Græce legendum, τὸ δὲ ψυχρὸν παχυμερέστερον καὶ πόρων συμπιλατικὸν ἐστιν. Et mox, *Incendentia vero et diffundentia carnem, acria:* Græce legendum, ἐκπυροῦντα δὲ καὶ διαχέοντα τὰν σάρκα, δριμέα. Vulgo διαρέοντα falso habetur pro διαχέοντα. Cornar.

ῥύπτοντα[t] τὰν γλῶτταν στρυφνὰ φαίνεται, μετριάζοντα δὲ
τᾷ ῥύψει[u] ἁλμυρά, ἐκπυροῦντα[v] δὲ[w] καὶ διαιρέοντα[x] τὰν
III. 101. σάρκα δριμέα. τὰ δ' ἐναντία λεῖά τε καὶ γλυκέα κεχύ-
λωται.[y] Ὀσμᾶς δὲ εἴδεα[z] μὲν οὐ διώρισται·[a] διὰ γὰρ
στενῶν πόρων διαθεῖσθαι,[b] στερροτέρων ὄντων ἢ ὡς συνάγεσ-
θαι καὶ δίστασθαι, σάψεσι[c] δὲ[d] καὶ πέψεσι γᾶς τε καὶ
γεοειδέων[e] εὐώδεά τε καὶ δυσώδεα[f] εἶμεν. Φωνὰ δ' ἐστὶ
μὲν[g] πλᾶξις ἐν ἀέρι δωκνουμένα ποτὶ τὰν ψυχὰν[h] δι' ὤτων,
ὧν τοὶ[i] πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες. ἐν αὖ τού-
τοις[k] πνεῦμα, οὗ ἁ κίνασις ἀκουά[l] ἐστι. φωνᾶς δὲ[m] καὶ
ἀκουᾶς[n] ἁ μὲν ταχεῖα ὀξεῖα, ἁ δὲ βραδεῖα βαρεῖα,[o] μέσα
δ'[p] ἁ[q] συμμετροτάτα· καὶ ἁ μὲν πολλὰ καὶ κεχυμένα
μεγάλα, ἁ δὲ ὀλίγα καὶ συναγμένα μικρά.[r] ἁ δὲ τεταγ-
μένα[s] ποτὶ λόγως[t] μωσικὼς[u] ἐμμελής, ἁ δὲ ἄτακτός τε
καὶ ἄλογος[v] ἐκμελής τε καὶ ἀνάρμοστος. Τέταρτόν τε[w]
γένος αἰσθητῶν[x] πολυειδέστατον καὶ[y] ποικιλώτατον, ὁρατὰ
δὲ λέγεται,[z] ἐν ᾧ[a] χρώματά τε παντοῖα καὶ κεχρασμένα
μυρία, πρᾶτα δὲ τέττορα, λευκόν, μέλαν, λαμπρόν, φοινι-
κοῦν· τἆλλα γὰρ ἐκ κιρναμένων τούτων γεννῆται. τὸ μὲν
III. iii. 888. ὦν λευκὸν διακρίνει τὰν ὄψιν, τὸ δὲ μέλαν συγκρίνει, ὅκως[b]
περ τὸ θερμὸν διαχεῖ τὰν ἀφάν, τὰ δὲ ψυχρὸν συνάγεν
δύναται, καὶ τὸ μὲν στρυφνὸν συνάγει τὰν γεῦσιν, τὸ δὲ
δριμὺ διαιρῆν[c] πέφυκε. [§. 9.] Τρέφεσθαι[d] δὲ τὰ σκαῦ-

ταντα BC, ῥυπῶντα Φ.—[u] ὕψει o.—[v] ἐκπυρέοντα Φ.—[w] δὲ om C.—[x] διαῤῥέοντα s.—[y] καὶ χυλῷ BC.—[z] ἰδέα ΦBCu.—[a] διώρισται ΦCDIMuo: κεχώρισται s.—[b] διαθεῖσθαι ΦBCDIMκo, διαφεῖσθαι Ξ: διηθεῖται s.—[c] σάψει C.—[d] δὲ add M, τε o.—[e] γεωειδέων Φ, γεθειδέων BC.—[f] δυαίδεα o.—[g] μὲν om o.—[h] ψυχρὰν M.—[i] τοι om ΦBC.—[k] αὐτούτοις BCMu, αὐτοῦ τις Φ: τούτοις *s.—[l] ἀκουὰ ΦBC et corr Ξ: ἀκοὰ *s.—[m] δὲ ΞDIMqo, om ΦBCu: δὴ *s.—[n] ἀκουᾶς ΞCDo: ἀκοᾶς *s.—[o] βαρεῖα om κs.—[p] δὲ om ΦBC et pr u.—[q] ἁ om B cum Φ et C, quorum alter ἀσυμμετρότατα, alter ἀσυμμετροτάτα.—[r] σμικρὰ Ξ.—[s] μικρά. ἁ δὲ τεταγμένα om BC et pr u.—[t] λόγω BCκo.—[u] μουσικῶς BI, μουσικὸς D, μουσικᾷ o.—[v] ἄεργος s.—[w] τε ΞΦBCD, om IM: τι s.—[x] αἰσθητὸν Φu.—[y] τε καὶ o.—[z] λέγονται q.—[a] τῷ o.—[b] ὅμως o.—[c] διαιρῆν BCu: διαιρεῖν *s.—[d] τρέφεται s.—[e] σκαῦνος τῶν

γλυκέα, κεχύλωται] γρ. γλυκέα καὶ χυλῷ. Steph. Ita Bas. 2. Bip.

βαρεῖα] Græce legendum, φωνᾶς δὴ καὶ ἀκοᾶς, ἁ μὲν ταχεῖα, ὀξεῖα· ἁ δὲ βραδεῖα, βαρεῖα. In vulgatis deest vox βαρεῖα. Et mox, *Alia confusa et a ratione aliena*: Græce legendum, ἁ δὲ ἄτακτός τε καὶ ἄλογος. Vulgo ἄεργος pro ἄλογος habetur. Cornar.

βραδεῖα]. Invenitur etiam βαρεῖα post βραδεῖα: ut legatur, ἁ μὲν ταχεῖα, ὀξεῖα· ἁ δὲ βραδεῖα, βαρεῖα. Sic autem legendo, hic sensus fuerit, *Velox quidem, acuta: tarda autem, gravis.* Paulo post autem pro ἄεργος invenitur ἄλογος. Steph. Ficin. *a ratione aliena*. Bip.

τος τῶν ἐναερίων[e] ζώων καὶ συνέχεσθαι[f] τᾶς μὲν τροφᾶς διαδιδομένας[g] διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον κατ' ἐπιῤῥοάν, οἷον δι' ὀχετῶν ἀγομένας, καὶ[h] ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ἐπὶ τὰ πέρατα[i] φέρον. Ἁ δ' ἀνάπνοια[k] γίνεται μηδενὸς μὲν κενεῶ[l] ἐν τᾷ φύσει ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος[m] ἀντὶ τῶ ἀποῤῥέοντος διὰ τῶν ἀοράτων στομίων, δι' ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος[n] ἀπαναλουμένω.[o] ἀνάγκα ὦν[p] ἀντικαταχθῆμεν τὸ ἴσον τῷ ἀναλωθέντι, εἰ δὲ μή, κενώσιας εἶμεν. ὅ περ ἀμάχανον· οὐδὲ γὰρ ἔτι εἴη κα σύῤῥοον[q] καὶ ἓν τὸ ζῷον, διαιρωμένω[r] τῶ σκάνεος ὑπὸ τῶ κενῶ. ἁ δ' ὁμοία ὀργανοποιία γίνεται καὶ ἐπὶ τῶν ἀψύχων καττὰν[s] τᾶς ἀναπνοίας[t] ἀναλογίαν· ἁ γὰρ σικύα[u] καὶ τὸ ἤλεκτρον εἰκόνες ἀναπνοίας ἐντί. ῥεῖ
γὰρ διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα, ἀντεπεισ- III. 102.
άγεται δὲ διὰ τᾶς ἀναπνοίας τῷ τε στόματι καὶ ταῖς ῥισίν,[v] εἶτα πάλιν[w] οἷον εὔριπος ἀντεπιφέρεται εἰς τὸ[x] σῶμα, τὸ δὲ ἀνατείνεται καττὰς ἐκροάς. ἁ δὲ σικύα ἀπαναλωθέντος ὑπὸ[y] τῶ πυρὸς τῶ ἀέρος ἐφέλκεται τὸ ὑγρόν· τὸ δ' ἤλεκτρον ἐκκριθέντος τῶ πνεύματος ἀναλαμβάνει τὸ ὅμοιον σῶμα. Τροφὰ δὲ πᾶσα ἀπὸ ῥίζας[z] μὲν τᾶς καρδίας, παγᾶς[a] δὲ τᾶς κοιλίας ἐπάγεται τῷ σώματι, ὃ καὶ εἴ κα πλείω[b] τᾶς ἀποῤῥεοίσας ἐπάρδοιτο, αὖξα[c] λέγεται,[d] εἴ κα δὲ μείω,[e] φθίσις· ἁ δ' ἀκμὰ[f] μεθόριον[g] τουτέων[h] ἐστὶ καὶ ἐν ἰσότατι ἀποῤῥοᾶς καὶ ἐπιῤῥοᾶς[i] νοέεται. λυομένων[k] δὲ τῶν[l] ἁρμῶν[m] τᾶς συστάσιος, αἴ κα μηκέτι δίοδος ᾖ[n] πνεύ-

ἐναερίων o.—[f] συνέχεται s.—[g] διαλεχομένας I, διαδεδομένας u.—[h] ἀγομένας καὶ om ΦBCu.—[i] πέρατα o.—[k] ἀνάπνοια ΞΦBCDuo, ἀναπνοιᾶ I, ἀναπνοιὰ M: ἀναπνοὰ s.—[l] κενοῦ BCDuo, καινοῦ Φ.—[m] μέρος o.—[n] θερότατος D.—[o] ἀπαναλουμένως o.—[p] αὖ o.—[q] κα σύῤῥοον Stephanus: libri κασσύῤῥοον.—[r] διαιρωμένω BCu, διαιρομένω Do: διαιρουμένω s.—[s] κατὰ o.—[t] ἀναπνοιᾶς IM, qui sic etiam mox.—[u] συκία IM.—[v] τὰ σφίσιν BC.—[w] πάλιν om DIMo et pr Ξ.—[x] ὁ ΦBC.—[y] ὑπὸ ΦBCIMuo: ἀπὸ s.—[z] πορίξας BC.—[a] πάσας BC.—[b] πλεῖον I.—[c] αὖξα D, αὖξαι Φ, αὔξαι BC: αὔξα *s.—[d] λέγεται om BC.—[e] μείων BI, μειῶν C.—[f] φισισαδεκμα C.—[g] μεθορίων IM, μεθόριον δὴ Φ, μεθόσιως o.—[h] τουτέων...συστάσιος om o.—[i] καὶ ἐπιῤῥοᾶς om M.—[k] δυομένων ΦD, δευομένων u: δύο μὲν ἂν BC.—[l] δὲ τῶν om BC et pr u.—[m] ὄρμων BC.—[n] ἡ ΦC, om ΞDIMo.—[o] τροφαὶ ΦBCIM.—[p] μὴ om ΞΦBCDIM, u

§. 9. εἴη κασσύῤῥοον] For. εἴη κασύῤῥοον: aut certe post particulam κα aliud quodpiam hujusmodi vocabulum scriptum fuit. STEPH.

μάτι ἡ τροφὰ[o] μὴ[p] διαδίδοται, θνάσκει τὸ ζῶον. [§. 10.] Πολλαὶ[q] δὲ[r] κᾶρες[s] ζωᾶς καὶ θανάτου αἰτίαι, ἐν δ' ἂν[t] γένος νόσος ὀνυμαίνεται. νόσων δ' ἀρχαὶ μὲν αἱ τᾶν πρά-
III. iii. 889. των[u] δυναμίων ἀσυμμετρίαι, αἴ κα[v] πλεονάζοιεν ἢ ἐλλείποιεν[w] ταὶ ἁπλαὶ δυνάμιες, θερμότας ἢ ψυχρότας ἢ ὑγρότας ἢ ξηρότας. μετὰ δὲ ταύτας αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες ἐκ διαφθορᾶς[x] καὶ αἱ τᾶς[y] σαρκὸς τακομένας κακώσιες, αἱ καττὰς[z] μεταβολὰς ἐπὶ τὸ[a] ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος ἢ σαρκὸς[b] τακεδόνες[c] γένοιντο.[d] χολᾶς γὰρ ταὶ[e] γενέσιες καὶ φλέγματος[f] ἐνθένδε,[g] χυμοὶ[h] νοσώδεες[i] καὶ ὑγρῶν[k] σάψιες,[l] ἀφαυραὶ[m] μὲν αἱ[n] μὴ ἐν βάθει, χαλεπαὶ δ' ὧν ἀρχαὶ γεννῶνται[o] ἐξ ὀστέων, ἀνιαραὶ[p] δὲ[q] ἐκ μυελοῦ ἐξαπτόμεναι. τελευταία δὲ[r] νόσων ἐντὶ[s] πνεῦμα, χολά, φλέγμα[t] αὐξόμενα καὶ ῥέοντα ἐς[u] χώρας ἀλλοτρίας ἢ τόπως ἐπικαιρίως.[v] τόκα γὰρ ἀντικαταλαμβάνοντα[w] τὰν τῶν καῤῥόνων[x] χώραν καὶ ἀπελάσαντα τὰ συγγενέα, ἱδρύεται κακοῦντα τὰ σώματα καὶ ἐς αὐτὰ ταῦτα ἀναλύοντα.[y] καὶ σώματος μὲν πάθεα τάδε,[z] καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολλαί, ἄλλαι[a] δ' ἄλλων δυναμίων ἐντί, αἰσθητικᾶς μὲν δυσαισθησία, μναμονικᾶς δὲ λάθα, ὁρμητικᾶς δὲ ἀνορεξία καὶ ἀπροπετία,[b] παθητικᾶς δὲ ἄγρια[c] πάθεά τε καὶ λύσσαι οἰστρώδεες, λογικᾶς[d] δὲ ἀμαθία καὶ ἐκφροσύνα.[e] ἀρχαὶ δὲ κακίας ἁδοναὶ καὶ λῦ-

correctore habet o.—[q] πολιάς M.—[r] δὲ om I.—[s] lacuna in o.—[t] ἂν add ΦBC.—[u] πράταν C, πρώταν Φ.—[v] αἴκα ΦDo : εἴκα s.—[w] ἐκλείποιεν Do.—[x] διαφορᾶς M.—[y] αἰτίας omnes.—[z] αἰκαττὰς Bqo, αἱ καττὰς CD, αἱ κατὰ Φ, αἱ κατὰ τὰς I : αἴκα καττὰς s.—[a] τὸ om ΦBCIu.—[b] σάρκες ΦC.—[c] ταγεδόνες ΦBC.—[d] γένοιτο o.—[e] ται I : αἱ s.—[f] φλέγμα q.—[g] ἔνθεν δὲ ΦBC.—[h] χυμοῦ ΦBC.—[i] νοσῶδες I, ἐνδὸς ὤδεε BC.—[k] ὑγρῷ BC, ὑγραὶ I.—[l] ἅψις BC.—[m] ἀφαυραὶ IM : ἀμαυραὶ *s.—[n] εἰ M.—[o] γεννῶνται om Ξ.—[p] ἔνιαι ΦBCu, ἀνιεραὶ o.—[q] δ' o.—[r] δὴ q.—[s] ἐστὶ I.—[t] πνεῦμα ΦBC.—[u] ἐς ΦBCDIMo : εἰς *s.—[v] ἐπικυρίως I.—[w] ἀντιλαμβάνοντα BCu.—[x] κάῤῥων I.—[y] ἀναλύονται s.—[z] τᾶνδε I, τάδε τε ΞΦBC.—[a] ἄλλα ΦCDIu.—[b] ἀπροπετία ΦBCu, ἀπροπέτεια I, ἀποπέτεια D, ἀποπετεία o : ἁ προπέτεια s.—[c] ἄγρια om BCu.—[d] λογικαὶ I.—[e] ἐκφροσύνα ΦBCu : ἀφροσύνα s.—[f] καὶ post

μὴ διαδίδοται] Græce legendum, λυομένων δὲ τῶν ἁρμῶν τᾶς συστάσιος αἴκα μηκέτι δίοδος ᾖ πνεύματι, ἡ τροφὰ διαδίδοται, θνάσκει τὸ ζῶον. Cornar.

§. 10. αἱ τᾶς] In præced. edit. αἰτίας. Steph. Ald. Bas. 1. καὶ αἰτίας. At Bas. 2. αἱ σαρκός. Bip.

ἐπικαιρίως] γρ. ἐπὶ καιρίως. Steph.

ἀναλύονται] γρ. ἀναλύοντα. Steph. Ita Bas. 2. Bip.

ἄλλαι] Legitur etiam ἄλλα, ut referatur ad πάθεα. Steph. Ita Bas. 2. Bip.

ἀφροσύνα] γρ. ἐκφροσύνα. Steph. Ita Bas. 2. Bip.

καὶ ἐπιθυμίαι τε καὶ φόβοι, ἐξημμέναι μὲν ἐκ σώματος, ἀνακεκραμέναι δὲ τᾷ ψυχᾷ, καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποικίλοις· ἔρωτες γὰρ καὶ[f] πόθοι ἵμεροί τε ἔκλυτοι ὀργαί τε σύντονοι[g] καὶ θυμοὶ βαρεῖς ἐπιθυμίαι τε ποικίλαι καὶ ἁδοναὶ III. 103.
ἄμετροι ἐντί. ἁπλῶς δὲ ἀτόπως ἔχεν[h] ποτὶ[i] τὰ πάθεα[k] καὶ[l] ἄρχεσθαι πέρας ἀρετᾶς καὶ κακίας ἐστί· τὸ γὰρ πλεονάζειν[m] ἐν ταύταις ἢ κάῤῥονα[n] αὐτᾶν[o] εἶμεν εὖ ἢ κακῶς ἁμὲ[p] διατίθητι.[q] ποτὶ δὲ ταύτας τὰς ὁρμὰς μεγάλα μὲν συνεργῆν[r] δύνανται αἱ τῶν σωμάτων κράσιες, ὀξεῖαι ἢ θερμαὶ ἢ ἄλλοτ' ἀλλοῖαι γιγνόμεναι, ἔς τε μελαγχολίας[s] καὶ λαγνείας λαβροτάτας[t] ἄγοισαι ἁμέ,[u] καὶ ῥευματιζόμενά τινα[v] μέρεα δαξασμὼς[w] ποιοῦντι[x] καὶ μορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόντων, δι' ὧν δυσθυμίαι καὶ λῆ- III. iii. 190.
θαι παραφροσύναι τε καὶ πτοῖαι ἀπεργάζονται· [§. 11.] ἱκανὰ δὲ τὰ ἔθεα,[y] ἐν οἷς ἂν ἐντραφῶντι[z] κατὰ πόλιν ἢ οἶκον, καὶ ἁ καθ' ἁμέραν δίαιτα, θρύπτοισα[a] τὰν ψυχὰν ἢ ῥωννῦσα ποτ' ἀλκάν. καὶ γὰρ θυραυλίαι καὶ ἁπλαῖ τροφαὶ τά τε[b] γυμνάσια καὶ τὰ ἤθεα τῶν συνόντων τὰ μέγιστα δύνανται ποτὶ ἀρετὰν καὶ ποτὶ κακίαν. καὶ ταῦτα μὲν αἴτια[c] ἐκ τῶν γενετόρων[d] καὶ στοιχείων ἐπάγεται[e] μᾶλλον ἢ ἐξ ἁμέων,[f] ὅ τι μὴ ἀργία[g] ἐστίν, ἀφισταμένων[h]

γὰρ om ΦDIMo.—[g] σύντομοι D.—[h] ἔχεν IMu, ἔχην BC : ἔχειν s.—[i] τι περὶ q.—[k] πάθεα DIM : πάθη s.—[l] καὶ post πάθεα om ΦBCDo.—[m] πλεονάζον ΦBCDuo, πλεονάζεν IM.—[n] ηκαρρεν BC, κάρρον ΦMuo.—[o] αὐτὸν BCu, αὐτὰς ΦI, αὐτᾶς Do, αὐταῖς M.—[p] ἅμε ΦBC : ἄμμε *s.—[q] διατίθητι ΦBC : διατίθησι *s.—[r] συνεργῆν BCu : συνεργεῖν *s.—[s] μελαγχωλείας I.—[t] καὶ λαβρότατας ΦBCDuo.—[u] ἅμες C, ἅμε ΦB, ὅμε u : ἄμμε *s.—[v] τινὰ add ΦBCDMuo et rc K.—[w] δαξαγμὼς q, δοξασμὼς I, δαξασμοὺς M, δαξασμὸς C.—[x] ποιέντι ΦBCu.—[y] τε θέα BC, τ' ἔθεα u.—[z] ἐντρυφῶσι I.—[a] θρύπτοισα ΦDIMuo, θρύπταισα BC : θρύπτουσα s.—[b] καὶ τὰ s.—[c] κακία δ' BC, κακία u.—[d] γενετέρων BC.—[e] ἀπάγεται BCu.—[f] ἀμελῶν ΦBCu.—[g] ἀργία KDIMuo, ἀρτιά ΦBC : ἀργεία s.—[h] οὐκ ἀφισταμένων ΦBCDMo, οὐ κα-

δαξασμὸς] Scribendum puto ἀδαξασμός. Steph.

§. 11. ἀργεία] Invenitur et ἄρτια ἐστίν. Illa autem altera scriptura stare videtur non posse nisi ει mutetur in ι, simulque pro ποθικόντων aliud scribatur. Steph. qui sic in Not. 'ἀργία scribendum crediderim, et paulo post ποτικόντων: quod ποτικόντων Dorice dictum sit pro προσηκόντων, ut intelligamus pigritiam valetudini multum nocere, (opponendo hanc γυμνασίοις, quorum modo mentionem fecit) qua fit, ut ab operibus et laboribus, qui nobis conveniunt, desistamus. Quod tamen ad orationis structuram attinet, nondum plane emendatum posse videri hunc locum fateor: quamvis hæ voculæ ὅτι μὴ ita possint defendi, ut dicantur accipiendæ, sicut in illo genere loquendi, ὅτι μὴ πᾶσα ἀνάγκη.' Bas. 2. ὅτι μὴ ἄρτια ἐστίν. Bip.

ἁμῶν[i] τῶν ποθακόντων[k] ἔργων. ποτὶ δὲ τὸ εὖ ἔχεν[l] τὸ ζῶον
δεῖ τὸ σῶμα ἔχεν[m] τὰς ὑπ' αὐτῷ[n] ἀρετάς, ὑγιείαν τε καὶ
εὐαισθησίαν ἰσχύν τε καὶ κάλλος. ἀρχαὶ δὲ κάλλους
συμμετρία ποτί τ' αὐτῶ[o] τὰ μέρεα καὶ ποτὶ τὰν ψυχάν·
ἁ γὰρ φύσις οἷον ὄργανον ἁρμόξατο[p] τὸ σκᾶνος,[q] ὑπάκουόν[r]
τε εἶμεν καὶ ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι. δεῖ δὲ
καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι[s] ποτὶ τὰς ἀναλόγως ἀρετάς,
ποτὶ μὲν σωφροσύναν οἷον ποτὶ ὑγίειαν[t] τὸ σῶμα, ποτὶ δὲ
φρόνασιν οἷον ποτὶ εὐαισθησίαν,[u] ποτὶ δὲ ἀνδρειότατα[v] οἷον
ποτὶ ῥώμαν καὶ ἰσχύν, ποτὶ δὲ δικαιοσύναν οἷον ποτὶ κάλ-
λος τὸ σῶμα. τουτέων δὲ ἀρχαὶ μὲν ἐκ φύσιος,[w] μέσα δὲ
καὶ πέρατα[x] ἐξ ἐπιμελείας, σώματος μὲν[y] διὰ γυμναστι-
κᾶς καὶ ἰατρικᾶς, ψυχᾶς δὲ διὰ παιδείας καὶ[z] φιλοσο-
φίας· αὗται γὰρ[a] δυνάμιες τρέφοισαι καὶ τονοῖσαι[b] καὶ
τὰ σώματα καὶ τὰς[c] ψυχὰς διὰ πόνων καὶ γυμνασίων
καὶ διαίτας καθαρότατος,[d] ταὶ μὲν διὰ φαρμακειᾶν,[e] ταὶ
δὲ παιδευτικαὶ τᾶν ψυχᾶν διὰ κολασίων καὶ ἐπιπλαξίων.
III. 104. ῥωννύουσι γὰρ διὰ προτροπᾶν[f] ἐγείροισαι τὰν ὁρμὰν καὶ[g]
ἐγκελευόμεναι[h] τὰ ποτίφορα ποττὰ[i] ἔργα. ἀλειπτικὰ μὲν
ὦν καὶ ἁ ταύτᾳ συγγενεστάτα[k] ἰατρικά, σώματα ταχ-
θεῖσα θεραπεύεν, ἐς τὰν[l] κρατίσταν ἁρμονίαν ἄγοισα τὰς
δυνάμιας τό τε αἷμα καθαρὸν καὶ τὸ πνεῦμα σύῤῥοον[m]
ἀπεργάζεται, ἵν' εἰ καί τι νοσῶδες ὑπογένοιτο κράτος αὐτῶ
III. iii. 391. ἔχοιεν ἐῤῥωμέναι[n] ταὶ[o] δυνάμιες αἵματος καὶ πνεύματος·
μωσικὰ δὲ καὶ ἁ[p] ταύτας ἁγεμὼν φιλοσοφία, ἐπὶ τᾷ τᾶς[q]

θισταμένων I.—[i] ἡμῶν ΦBCD.—[k] ποθ' ἀκόντων C, ποτ' ἀκόντων Φ.—[l] ἔχεν ΦDIu, σχὸν BC: ἔχειν *ς.—[m] ἔχεν ΦCDIMuo: ἔχειν ς.—[n] αὐτοῦ ΦBCD.—[o] τ' αὐτῶ IM, δ' αὐτοῦ (οὗ) ΦBCDuo, δ' αὐτὰ Ξ: τ' αὐτὰ ς.—[p] ἁρμόξαντος Φ, ἁμόρξαντος o: in hac voce desinit B.—[q] τῶ σκάνεος Cu.—[r] ὑπάκουόν M: ὑπακοῦόν ς.—[s] ρυθηγέεσθαι ΞΦCu.—[t] ὑγίειαν ΦC: ὑγεῖαν *ς.—[u] εὐανθησίαν o.—[v] ἀνδρίαν Φ, ἀνδρεῖαν I: ἀνδρειότατα...δὲ om pr Ξ.—[w] φύσιος ΦCDIMuo: φύσεως *ς.—[x] πέρατα o.—[y] τε IM, τε καὶ Dφ.—[z] παιδείας καὶ om ΦCu.—[a] omisi ταὶ cum I.—[b] τὸν νοῦν Φ, τὸν νῶν C.—[c] τὰς om ΞΦCDφo.—[d] καθαρότητι o.—[e] φαρμακιᾶν I, φαρμακεῖαν M, φαρμακείαν ΦCDo.—[f] προτροπὰν ΦC.—[g] καὶ om o.—[h] ἐγκελευόμεναι IM: ἐκκελευόμεναι *ς.—[i] ποττὰ ΦCDuo, ποτὰ M, ποτὶ I: ποττὶ ς.—[k] ταύτᾳ καὶ συγγ. o.—[l] αὐτὴν o.—[m] σύρρον q.—[n] ἐρρωμένας τὰς q.—[o] τε D.—[p] ἁ om C.—[q] τᾶς q, ταύ-

ῥυθμηγέεσθαι] Græce legendum, δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθμηγέεσθαι ποτὶ τὰς ἀναλόγος ἀρετάς. Cornar.

ποττὶ ἔργα] γρ. ποττὰ ἔργα. Alioqui potius ποτὶ scribendum sicut et paulo post scriptum est. Steph. Bas. 2. ποτὰ ἔργα. Bip.

ψυχᾶς ἐπανορθώσει ταχθεῖσαι[r] ὑπὸ θεῶν τε καὶ νόμων, ἐθίζοντι[s] καὶ[t] πείθοντι,[u] τὰ[v] δὲ[w] καὶ[x] ποταναγκάζοντι, τὸ μὲν ἄλογον τῷ λογισμῷ[y] πείθεσθαι, τὰ δ' ἀλόγω[z] θυμὸν[a] μὲν πρᾶον εἶμεν, ἐπιθυμίαν δὲ ἐν ἀρεμήσει,[b] ὡς μὴ δίχα λόγω κινέεσθαι, μηδὲ μὰν ἀτρεμίζειν τῶ νῶ[c] ἐκκαλεομένω[d] ἢ[e] ποτὶ ἔργα ἢ ποτὶ ἀπολαύσιας. οὗτος γάρ ἐστιν ὅρος σωφροσύνας,[f] εὐπείθειά[g] τε καὶ καρτερία. καὶ σύνεσις, καὶ ἁ[h] πρεσβίττα[i] φιλοσοφία, ἀποκαθαραμέναι[k] ψευδέας[l] δόξας ἐνέθηκαν τὰν ἐπιστάμαν,[m] ἀνακαλεσάμεναι[n] τὸν νόον ἐκ μεγάλας τᾶς ἀγνοίας, χαλάσασαι[o] ἐς[p] ὄψιν τῶν θείων, τοῖς ἐνδιατρίβεν σὺν αὐταρκίᾳ[q] τε ποττἀνθρώπεια[r] καὶ σὺν εὐροίᾳ[s] ἐπὶ τὸν σύμμετρον βίω[t] χρόνον[u] εὔδαιμόν[v] ἐστιν. [§. 12.] Ὅτῳ μὲν δὴ[w] ὁ δαίμων μοίρας τᾶς δ'[x] ἔλαχε, δι' ἀλαθεστάταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέστατον[y] βίον· εἰ δέ κά τις σκλαρὸς καὶ ἀπειθής, τῷ[z] δ' ἑπέσθω κόλασις ἅ τ' ἐκ τῶν νόμων καὶ ἁ ἐκ τῶν λόγων, σύντονα ἐπάγοισα[a] δείματά[b] τε ὑπουράνια[c] καὶ τὰ καθ' Ἅιδεω,[d] ὅτι κολάσιες ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι[e] νερτέροις,[f] καὶ τἆλλα ὅσα[g] ἐπαινέω τὸν Ἰωνικὸν ποιητὰν ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέας·[h] ὡς γὰρ τὰ σώματα νοσώδεσί ποκα ὑγιάζομες, αἴ[i] κα μὴ[k] εἴκῃ τοῖς ὑγιεινοτάτοις, οὕτω τὰς ψυχὰς ἀπείργομες[l] ψευδέσι λόγοις, εἴ κα μὴ ἄγηται ἀλαθέσι. λέγοιντο[m] δ' ἂν[n] ἀναγκαίως καὶ τιμωρίαι ξέναι,[o] ὡς μετενδυομέναν τᾶν ψυχᾶν τῶν μὲν δειλῶν[p]

της o.—[r] ταχθεῖσα I, ταθεῖσα M.—[s] ἐρίζοντι I, ἐρείζοντι M, ἐθίζοντα C.—[t] δὲ καὶ C.—[u] καὶ πείθοντι om u.—[v] τὰ δὲ om DIMo.—[w] πείθοντι τὰ δὲ καὶ om ΦC.—[x] καὶ om u.—[y] λογισμῶ ΦCDIMuo : λογικῷ s.—[z] τῷ δ' ἀλόγῳ s.—[a] θυμῷ M.—[b] ἀρεμία o.—[c] νῦν o.—[d] ἐγκαλεομένω ΦCDuo, ἐγκελευομένω IM.—[e] ἢ om Cu.—[f] σωφροσύνᾳ C.—[g] εὐπείθεά C.—[h] ἃ q.—[i] πρέσβιττα ΦCu, πρεσβίστα Do : πρεσβίστα s.—[k] ἀποκαθαρμένα I, ἀποκαθαραμένα M.—[l] ψευδέας δόξας ΦCDIMuo : ψεύδεα s.—[m] τᾶ ἐπιστήμα ΦIMo, τᾷ ἐπιστάμᾳ CD.—[n] ἀνακαλεσαμένα IM.—[o] σχολάσασαι Φ, σχολάσασαι Bo, χαλάσασαι M.—[p] καὶ ἐς ΦCu.—[q] αὐταρκία HIM, αὐτῶν κακία D, αὐτῶ κακία o : σὺν om αὐταρκείᾳ s.—[r] libri ποτ' ἀνθρώπεια.—[s] σὺν εὐροίᾳ M, συνευροία I, σὺν εὐρεία ΦCDu, συνευρεία o : συνεργία s.—[t] ἐν βίῳ IM.—[u] χρόνον βίω o.—[v] εὐδαίμων I, εὐδαιμονέσιν D, εὐδαιμόνεσιν o, uterque omisso ἐστίν.—[w] δὴ add ΦCu.—[x] τᾶσδ' ΦDMo : τασδ' s.—[y] εὐδαιμονέστατον q.—[z] τῷ I : τούτῳ *s.—[a] σὺν τοῖσδε ἥγοισα ΦC, σύντομα ἐπάγοισα o.—[b] δείγματα Cuos—[c] ὑπουράνια ΦC : ἐπουράνια *s.—[d] ἅδεος ΦCD.—[e] εὖ δαίμοσι o.—[f] ἐντέροις I, ἑτέροις M.—[g] ὅσα om q.—[h] ἐναγέας IM : ἐναγέως s.—[i] αἴ Φ : εἴ s*.—[k] μὲν I.—[l] ἀνείργομες C.—[m] λέγοιτο C.—[n] ἂν add I.—[o] ξέναι om q.—[p] δειλῶν o.—[q] γυναικεῖα

ψεύδεα] γρ. ψευδέας δόξας. Steph. Ita Bas. 2. Bip.

ἐς γυναικεῖα[q] σκάνεα ποθ' ὕβριν ἐκδιδόμενα, τῶν δὲ μιαιφόνων ἐς[r] θηρίων σώματα[s] ποτὶ κόλασιν, λάγνων δ' ἐς συῶν[t] ἢ κάπρων μορφάς, κούφων δὲ καὶ μετεώρων ἐς πτηνῶν ἀεροπόρων,[u] ἀργῶν[v] δὲ καὶ ἀπράκτων[w] ἀμαθῶν τε[x] καὶ ἀνοήτων ἐς τὰν τῶν ἐνύδρων ἰδέαν. ἅπαντα δὲ ταῦτα ἐν δευτέρᾳ
III. 105. III. iii. 892. περιόδῳ ἁ Νέμεσις συνδιέκρινε[y] σὺν[z] δαίμοσι παλαμναίοις[a] χθονίοις[b] τε, τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων, οἷς ὁ πάντων ἁγεμὼν θεὸς ἐπέτρεψε διοίκησιν κόσμω συμπεπληρωμένω ἐκ[c] θεῶν τε καὶ ἀνθρώπων τῶν τε ἄλλων ζώων, ὅσα δεδαμιούργαται[d] ποτ' εἰκόνα τὰν ἀρίσταν εἴδεος ἀγεννάτω[e] καὶ αἰωνίω καὶ νοατῶ.[f]

D, γυναῖκα C.—[r] ἐς om C.—[s] σωμάτων Cu.—[t] δὲ ὑῶν o.—[u] ἀεροπόλων M.—[v] κακῶν o.—[w] post ἀπράκτων lacuna in M: ἐσπράκτων o.—[x] δὲ CDu, om Φ.—[y] συνέκρινεν Cu.—[z] ἐν ΦC.—[a] παλαμνίοις C, παλαμναίοις τε Φ.—[b] χθονίοις om C.—[c] ἐκ...ἀνθρώπων] lacuna in C.—[d] δεδημιούργαται M: δεδαμιούργηται ς.—[e] ἀγεννήτω C: ἀγενάτω ς.—[f] καὶ νοατῶ add I et (qui νοητῶ scribunt) ΦCDMuo.

ΕΠΙΣΤΟΛΑΙ.

στελλόντων προσήκει καὶ[o] κελευόντων ἐκπλεῦσαι, τοσοῦτον
III. iii. 306. παρ' ὑμῖν διατρίψαντα[p] χρόνον. ἐγὼ μὲν οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι[q] τὸν λοιπὸν τρόπον ἀπανθρωπότερον, σὺ δὲ τοιοῦτος ὢν τύραννος οἰκήσεις μόνος. τὸ δὲ χρυσίον τὸ λαμπρόν, ὅ περ ἔδωκας εἰς ἀποστολήν, ἄγει σοι Βακχεῖος ὁ τὴν ἐπιστολὴν φέρων· οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γ' ἦν ἱκανὸν οὔτε πρὸς τὸν ἄλλον βίον ξυμφέρον, ἀδοξίαν δὲ[r] πλείστην μὲν[s] τῷ διδόντι[t] σοὶ παρασκευάζον,[u] οὐ πολλῷ δὲ ἐλάττω κἀμοὶ λαμβάνοντι,[v] διό περ οὐ λαμβάνω· σοὶ δ' οὐδὲν διαφέρει δῆλον ὅτι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον, ὥστε κομισάμενος ἄλλον τινὰ τῶν ἑταίρων θεράπευσον ὥς περ ἐμέ· κἀγὼ γὰρ ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. καί μοι τὸ τοῦ Εὐριπίδου κατὰ καιρόν ἐστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων

εὔξει[w] τοιοῦτον ἄνδρα σοι παρεστάναι.

ὑπομνῆσαι δέ σε[x] βούλομαι διότι καὶ τῶν ἄλλων τραγῳδοποιῶν[y] οἱ πλεῖστοι, ὅταν ὑπό τινος ἀποθνήσκοντα τύραννον εἰσάγωσιν,[z] ἀναβοῶντα ποιοῦσι

III. 310. φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι·

χρυσίου δὲ σπάνει ἀπολλύμενον οὐδεὶς πεποίηκε. κἀκεῖνο δὲ τὸ ποίημα τοῖς νοῦν ἔχουσιν οὐ κακῶς ἔχειν δοκεῖ

III. iii. 307. οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν[a] δυσελπίστῳ βίῳ,
οὐδ' ἀδάμας οὐδ' ἀργύρου[b] κλῖναι πρὸς ἄνθρωπον[c] δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις·[d]

[n] ἀπεπεμφθην ΞΖ.—[o] καὶ om dfh.—[p] διατρίψαντι n.—[q] συμβουλεύσομαι Z.—[r] δὲ om n.—[s] μὲν om pr ΑΩ.—[t] τῷ διδόντι τῶν διδόντων h, τῶν διδόντων d.—[u] παρεσκεύαζον d, παρεσκεύαζον (ε) h, παρεσκεύαζεν f.—[v] καμοὶ λαμβάνοντι ΑΩ: κἀμοὶ τῷ λαμβάνοντι *s.—[w] εὔξει (η) b.—[x] σε om o.—[y] τραγῳδοποιῶν no et pr f: τραγῳδιοποιῶν *s.—[z] εἰσαγάγωσιν Φ, εἰσαγάγωσοιν Z.—[a] ἐν θνατῷ dn, ἐν θνατοῖς e, ἔνθα τῷ fh.—

ἄλλων] Alia est lectio ἄλλως, quæ mibi magis placet. Steph. Ita nimirum legendum esse vidit Cornar. Bip.

σπανιώτατος ἐν θνατῶν] Lectio hæc debetur Cornar. quam tacite in textum admisit Stephanus. Jam Ficinus, *In misera mortalium vita.* Bip.

οὐδὲ γαίας[e] εὐρυπέδου γόνιμοι[f] βρίθοντες αὐτάρκεις
γύαι,[g]
ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων[h] νόησις.

ἔρρωσο, καὶ γίγνωσκε τοσοῦτον ἡμῶν διημαρτηκώς, ἵνα πρὸς τοὺς ἄλλους βέλτιον προσφέρῃ.

[b] ἀργυρίου Ἡε.—[c] ἀνθρώπων mg e.—[d] πρόσοψεις dfkn.—[e] γαίης f.—[f] γόνυ μοι Z.—[g] γυῖα Ἡ, γυῖαι plerique cum r.—[h] ὁμοφράδων n.

ΕΠΙΣΤΟΛΗ

Β.

Πλάτων Διονυσίῳ εὖ πράττειν.

III. iii. 398. Ἤκουσα Ἀρχεδήμου ὅτι σὺ ἡγεῖ[a] χρῆναι περὶ σοῦ μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν ἀλλὰ καὶ τοὺς ἐμοὺς[b] ἐπιτηδείους τοῦ φλαῦρόν τι ποιεῖν ἢ λέγειν περὶ σοῦ·[c] Δίωνα δὲ μόνον ἐξαίρετον ποιεῖ.[d] οὗτος δὲ ὁ λόγος σημαίνει, τὸ Δίωνα ἐξαίρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ γὰρ ἦρχον ἐγὼ οὕτω τῶν τε ἄλλων καὶ[e] σοῦ[f] καὶ[g] Δίωνος, πλείω ἂν ἦν[h] ὑμῖν[i] τε πᾶσιν ἀγαθὰ τοῖς τε ἄλλοις[k] Ἕλλησιν, ὡς ἐγώ φημι. νῦν δὲ μέγας ἐγώ εἰμι ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον. καὶ ταῦτα λέγω[l] ὡς οὐχ[m] ὑγιές τι Κρατιστόλου καὶ Πολυξένου πρὸς σὲ εἰρηκότων,
III. iii. 399. ὧν φασὶ λέγειν τὸν ἕτερον ὅτι ἀκούσαι[n] Ὀλυμπιάσι πολλῶν τινῶν τῶν μετ' ἐμοῦ σε κακηγορούντων.[o] ἴσως γὰρ ὀξύ-

CODICES QUATTUORDECIM,
ΑΞΦΩΖbdefghino.

ῇ σε σοῦ
[a] ἡγεῖ Z, ἡγεῖ b.—[b] ἐμοῦ n.—[c] σοῦ o, σε Ω, σὲ Z.—[d] ποιεῖ (ποιῇ in mg posito) e.—[e] καὶ om Zf.—[f] σου om f, in τοῦ mutat h.—[g] καὶ om h.—[h] ἦν ἂν Ξ.—[i] ἡμῖν ΑΞΦΩΖbeo.—[k] ἄλλης Ξ.—[l] λέγων Z.—[m] οὐχ ὡς in.—[n] ἀκούει o, ἀκούει ΑΦΩΖbe. (σαι)
—[o] κακηγορούντων Φeo, κατηγορούντων Ω: κατηγορούντων [a]s.—[p] ἐμοῦ ὀξύτερον (κ)

κατηγορούντων] Legitur etiam κακηγορούντων. STEPH. Ita BAS. 2. BIP.

τερον ἐμοῦ ἀκούει·[p] ἐγὼ μὲν γὰρ οὐκ[q] ἤκουσα. χρὴ δέ,
ὡς ἐμοὶ δοκεῖ, οὑτωσί σε[r] ποιεῖν τοῦ λοιποῦ, ὅταν τι[s] τοιοῦ-
τον λέγῃ τις περὶ ἡμῶν τινός, γράμματα πέμψαντα ἐμὲ[t]
ἐρέσθαι· ἐγὼ γὰρ τἀληθῆ λέγειν οὔτε ὀκνήσω οὔτε αἰσχυ-
νοῦμαι. ἐμοὶ δὲ δὴ καὶ σοὶ τὰ πρὸς ἀλλήλους οὑτωσὶ[u]
τυγχάνει ἔχοντα·[v] οὔτε[w] αὐτοὶ ἀγνῶτές[x] ἐσμεν οὐδενὶ
Ἑλλήνων ὡς ἔπος εἰπεῖν, οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται.
μὴ λανθανέτω δέ σε ὅτι οὐδ᾽ εἰς τὸν ἔπειτα χρόνον σιγηθή-
σεται· τοιοῦτοι οἱ παραδεδεγμένοι[y] εἰσὶν αὐτήν, ἅτε οὐκ
ὀλίγην γεγενημένην οὐδ᾽ ἠρέμα. τί οὖν δὴ λέγω; νυνὶ ἐρῶ
ἄνωθεν ἀρξάμενος. πέφυκε ξυνιέναι εἰς ταυτὸ φρόνησίς τε
καὶ δύναμις μεγάλη, καὶ ταῦτ᾽ ἄλληλ᾽ ἀεὶ διώκει καὶ
ζητεῖ καὶ ξυγγίνεται· ἔπειτα καὶ οἱ ἄνθρωποι χαίρουσι
περὶ τούτων αὐτοί τε διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες ἔν
τε ἰδίαις ξυνουσίαις[z] καὶ ἐν ταῖς ποιήσεσιν, οἷον καὶ περὶ III. 311.
Ἱέρωνος ὅταν διαλέγωνται ἄνθρωποι καὶ Παυσανίου τοῦ
Λακεδαιμονίου, χαίρουσι τὴν Σιμωνίδου ξυνουσίαν παρα-
φέροντες, ἅ τε ἔπραξε καὶ εἶπε πρὸς αὐτούς· καὶ Περίαν-
δρον τὸν Κορίνθιον καὶ Θαλῆν τὸν Μιλήσιον ὑμνεῖν εἰώθα-
σιν ἅμα, καὶ Περικλέα καὶ Ἀναξαγόραν, καὶ Κροῖσον αὖ[a] III. iii. 400.
καὶ Σόλωνα ὡς σοφοὺς[b] καὶ Κῦρον ὡς δυνάστην. καὶ δὴ
ταῦτα μιμούμενοι οἱ ποιηταὶ Κρέοντα[c] μὲν καὶ Τειρεσίαν
συνάγουσι, Πολύιδον[d] δὲ καὶ Μίνω, Ἀγαμέμνονα δὲ καὶ[e]

ἀκούσαι bn, ὀξύτερον ἐμοῦ ἀκούειν o, ἀκούει ὀξύτερον ἐμοῦ Φ.—[q] οὐκ om Z.—[r] τε r.—[s] τι om n.—[t] με f.—[u] οὕτω Φ.—[v] τυγχάνειν ἔχοντα e, συγχάνοντα Ξ.—[w] ὡς οὔτε Φ.—[x] ἂν γνῶτες Z, ἂν ἀγνῶτες ΑΞΩeo, Ω quidem in mg appositis his τὸ ἂν ἐν τῇ β τοῦ πατρ (χ above, ξ below) ὠβέλισται, Zo his ἀλλαχοῦ τὸ ἂν ὠβέλισται.—[y] παραδεδειγμένοι dfk.—[z] ξ. e, σ. o.—[a] ἂν o.—[b] σοφὸν n.—[c] ποιηταὶ καὶ κρέοντα dfk.—[d] πολύϊδον A, fortasse corr: πολύειδον *r.—[e] ἀγαμέμνονά τε καὶ Ξ.—[f] παλαμήδην ΦZbdfkn.—

ὡς σοφοὺς] Gravi vulnere hunc locum laborare existimo, cujus ratio continuo docet ineptum esse illud ὡς σοφοὺς, quippe quod ad rem, de qua agitur, prorsus non pertineat; multo magis etiam ineptum et vero iniquum, cum ceteri sapientem adjunctum sibi habeant, Cyrum unum prudenti quodam viro comite carere, cum id ipsum probandum sit, sapientium consuetudine principes in republica usos fuisse. Suspicor scriptum fuisse ἀνεπτυσσ: quod, cum in ὡς σοφοὺς abiisset, mox manu oscitantis Glossatoris et sapientibus potentem opponere cupientis, additum esse, καὶ Κῦρον ὡς δυνάστην: imo non mirer, si ipsam Crœsi post Periclem et Solonis post Anaxagoram commemorationem adnotatori debeamus. Groen van Prinsterer. Prosopograph. Platonic. p. 20.

ΕΠΙΣΤΟΛΗ

Β.

Πλάτων Διονυσίῳ εὖ πράττειν.

III. iii. 398. Ἤκουσα Ἀρχεδήμου ὅτι σὺ ἡγεῖ[a] χρῆναι περὶ σοῦ μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν ἀλλὰ καὶ τοὺς ἐμοὺς[b] ἐπιτηδείους τοῦ φλαῦρόν τι ποιεῖν ἢ λέγειν περὶ σοῦ·[c] Δίωνα δὲ μόνον ἐξαίρετον ποιεῖ.[d] οὗτος δὲ ὁ λόγος σημαίνει, τὸ Δίωνα ἐξαίρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ γὰρ ἦρχον ἐγὼ οὕτω τῶν τε ἄλλων καὶ[e] σοῦ[f] καὶ[g] Δίωνος, πλείω ἂν ἦν[h] ὑμῖν[i] τε πᾶσιν ἀγαθὰ τοῖς τε ἄλλοις[k] Ἕλλησιν, ὡς ἐγώ φημι. νῦν δὲ μέγας ἐγώ εἰμι ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον. καὶ ταῦτα λέγω[l] ὡς οὐχ[m] ὑγιές τι Κρατιστόλου καὶ Πολυξένου πρὸς σὲ εἰρηκότων,
III. iii. 399. ὧν φασὶ λέγειν τὸν ἕτερον ὅτι ἀκοῦσαι[n] Ὀλυμπιάσι πολλῶν τινῶν τῶν μετ' ἐμοῦ σε κακηγορούντων.[o] ἴσως γὰρ ὀξύ-

CODICES QUATTUORDECIM,
ΑΞΦΩΖ*bdefghino*.

[a] ἡγεῖ (ἧ supra) Z, ἡγεῖ b.—[b] ἐμοῦ κ.—[c] σοῦ (σε supra) o, σε Ω, σὲ (σοῦ supra) Z.—[d] ποιεῖ (ποιῇ in mg posito) e.—[e] καὶ om Z*f*.—[f] σου om *f*, in τοῦ mutat *h*.—[g] καὶ om *h*.—[h] ἦν ἂν Ξ.—[i] ἡμῖν ΑΞΦΩΖ*bco*.—[k] ἄλλης Ξ.—[l] λέγων Z.—[m] οὐχ ὡς in.—[n] ἀκούοι (σαι supra) o, ἀκοῦοι ΑΦΩΖ*be*.—[o] κακηγορούντων (κ supra) Φco, κατηγορούντων Ω: κατηγορούντων *r.—[p] ἐμοῦ ὀξύτερον

κατηγορούντων] Legitur etiam κακηγορούντων. STEPH. Ita BAS. 2. BIP.

τερον ἐμοῦ ἀκούει·[p] ἐγὼ μὲν γὰρ οὐκ[q] ἤκουσα. χρὴ δέ, ὡς ἐμοὶ δοκεῖ, οὑτωσί σε[r] ποιεῖν τοῦ λοιποῦ, ὅταν τι[s] τοιοῦτον λέγῃ τις περὶ ἡμῶν τινός, γράμματα πέμψαντα ἐμὲ[t] ἐρέσθαι· ἐγὼ γὰρ τἀληθῆ λέγειν οὔτε ὀκνήσω οὔτε αἰσχυνοῦμαι. ἐμοὶ δὲ δὴ καὶ σοὶ τὰ πρὸς ἀλλήλους οὑτωσὶ[u] τυγχάνει ἔχοντα·[v] οὔτε[w] αὐτοὶ ἀγνῶτές[x] ἐσμεν οὐδενὶ Ἑλλήνων ὡς ἔπος εἰπεῖν, οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται. μὴ λανθανέτω δέ σε ὅτι οὐδ' εἰς τὸν ἔπειτα χρόνον σιγηθήσεται· τοιοῦτοι οἱ παραδεδεγμένοι[y] εἰσὶν αὐτήν, ἅτε οὐκ ὀλίγην γεγενημένην οὐδ' ἠρέμα. τί οὖν δὴ λέγω; νυνὶ ἐρῶ ἄνωθεν ἀρξάμενος. πέφυκε ξυνιέναι εἰς ταυτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη, καὶ ταῦτ' ἄλληλ' ἀεὶ διώκει καὶ ζητεῖ καὶ ξυγγίνεται· ἔπειτα καὶ οἱ ἄνθρωποι χαίρουσι περὶ τούτων αὐτοί τε διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες ἔν τε ἰδίαις ξυνουσίαις[z] καὶ ἐν ταῖς ποιήσεσιν, οἷον καὶ περὶ III. 311.
Ἱέρωνος ὅταν διαλέγωνται ἄνθρωποι καὶ Παυσανίου τοῦ Λακεδαιμονίου, χαίρουσι τὴν Σιμωνίδου ξυνουσίαν παραφέροντες, ἅ τε ἔπραξε καὶ εἶπε πρὸς αὐτούς· καὶ Περίανδρον τὸν Κορίνθιον καὶ Θαλῆν τὸν Μιλήσιον ὑμνεῖν εἰώθασιν ἅμα, καὶ Περικλέα καὶ Ἀναξαγόραν, καὶ Κροῖσον αὖ[a] III. iii. 400.
καὶ Σόλωνα ὡς σοφοὺς[b] καὶ Κῦρον ὡς δυνάστην. καὶ δὴ ταῦτα μιμούμενοι οἱ ποιηταὶ Κρέοντα[c] μὲν καὶ Τειρεσίαν συνάγουσι, Πολύιδον[d] δὲ καὶ Μίνω, Ἀγαμέμνονα δὲ καὶ[e]

ἀκούει bn, ὀξύτερον ἐμοῦ ἀκούειν o, ἀκούει ὀξύτερον ἐμοῦ Φ.—[q] οὐκ om Z.—[r] τε s.—[s] τι om n.—[t] με f.—[u] οὕτω Φ.—[v] τυγχάνειν ἔχοντα e, συγχάνοντα Ξ.—[w] ὡς οὔτε Φ.—[x] ἂν γνῶτες Z, ἂν ἀγνῶτες ΑΞΩeo, Ω quidem in mg appositis his τὸ ἂν ἐν
χ
τῇ β τοῦ πατρ ὠβέλισται, Zo his ἀλλαχοῦ τὸ ἂν ὠβέλισται.—[y] παραδεδειγμένοι dfk.
ξ
—[z] ξ. e, σ. o.—[a] ἂν o.—[b] σοφὸν n.—[c] ποιηταὶ καὶ κρέοντα dfk.—[d] πολύϊδον A, fortasse corr: πολύειδον *s.—[e] ἀγαμέμνονά τε καὶ Ξ.—[f] παλαμήδην ΦZbdfkn.—

ὡς σοφοὺς] Gravi vulnere hunc locum laborare existimo, cujus ratio continuo docet ineptum esse illud *ὡς σοφούς*, quippe quod ad rem, de qua agitur, prorsus non pertineat; multo magis etiam ineptum et vero iniquum, cum cæteri sapientem adjunctum sibi habeant, Cyrum unum prudenti quodam viro comite carere, cum id ipsum probandum sit, sapientium consuetudine principes in republica usos fuisse. Suspicor scriptum fuisse *ἀκούοντες*: quod, cum in *ὡς σοφοὺς* abiisset, mox manu oscitantis Glossatoris et sapientibus potentem opponere cupientis, additum esse, *καὶ Κῦρον ὡς δυνάστην*: imo non mirer, si ipsam Crœsi post Periclem et Solonis post Anaxagoram commemorationem adnotatori debeamus. Groen van Prinsterer. Prosopograph. Platonic. p. 30.

Νέστορα καὶ Ὀδυσσέα καὶ Παλαμήδη.[f] ὡς δ' ἐμοὶ δοκεῖ, καὶ Προμηθέα Διὶ ταύτῃ πῃ συνῆγον οἱ πρῶτοι ἄνθρωποι. τούτων δὲ τοὺς μὲν εἰς διαφοράν,[g] τοὺς δ' εἰς φιλίαν ἀλλήλοις ἰόντας, τοὺς δὲ τοτὲ μὲν εἰς φιλίαν, τοτὲ δ' εἰς διαφοράν,[g] καὶ τὰ μὲν ὁμονοοῦντας,[h] τὰ δὲ διαφερομένους ᾄδουσι. πάντα δὴ ταῦτα λέγω τόδε βουλόμενος ἐνδείξασθαι, ὅτι οὐκ ἐπειδὰν ἡμεῖς τελευτήσωμεν καὶ[i] οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται, ὥστ' ἐπιμελητέον αὐτῶν ἐστίν. ἀνάγκη γάρ, ὡς ἔοικε, μέλειν ἡμῖν καὶ τοῦ ἔπειτα χρόνου, ἐπειδὴ καὶ τυγχάνουσι κατά τινα φύσιν οἱ μὲν ἀνδραποδωδέστατοι[k] οὐδὲν φροντίζοντες αὐτοῦ, οἱ δ' ἐπιεικέστατοι πᾶν ποιοῦντες ὅπως ἂν εἰς τὸν[l] ἔπειτα χρόνον εὖ ἀκούσωσιν.[m] ὃ δὴ καὶ ἐγὼ τεκμήριον ποιοῦμαι ὅτι ἔστι[n] τις αἴσθησις τοῖς τεθνεῶσι τῶν ἐνθάδε· αἱ γὰρ βέλτισται ψυχαὶ μαντεύονται ταῦτα οὕτως ἔχειν, αἱ δὲ μοχθηρόταται οὔ φασι, κυριώτερα δὲ τὰ τῶν θείων ἀν-
III. iii. 401. δρῶν μαντεύματα ἢ τὰ τῶν μή. οἶμαι δ' ἔγωγε τοῖς ἔμπροσθεν, περὶ ὧν λέγω, εἰ ἐξείη αὐτοῖς ἐπανορθώσασθαι τὰς[o] αὐτῶν συνουσίας, πάνυ ἂν σπουδάσαι ὥστε[p] βελτίω λέγεσθαι περὶ αὐτῶν ἢ νῦν. τοῦτο οὖν[q] ἡμῖν ἔτι σὺν θεῷ εἰπεῖν ἔξεστιν, εἴ τι ἄρα μὴ καλῶς πέπρακται κατὰ τὴν ἔμπροσθεν συνουσίαν, ἐπανορθώσασθαι καὶ ἔργῳ καὶ λόγῳ·[r] περὶ γὰρ φιλοσοφίαν φημὶ ἐγὼ τὴν ἀληθινὴν δόξαν ἔσεσθαι ἡμῶν[s] μὲν ὄντων ἐπιεικῶν βελτίω, φαύλων δὲ τοὐναντίον. καί τοι περὶ τούτου[t] ἡμεῖς ἐπιμελούμενοι οὐδὲν ἂν εὐσεβέστερον πράττοιμεν, οὐδ' ἀμελοῦντες ἀσεβέστερον. ὡς δὴ δεῖ γίγνεσθαι, καὶ τὸ δίκαιον ᾗ ἔχει, ἐγὼ φράσω. ἦλθον ἐγὼ εἰς Σικελίαν δόξαν ἔχων πολὺ τῶν[u] ἐν φιλοσοφίᾳ διαφέρειν, βουλόμενος δὲ ἐλθὼν[v] εἰς Συρακούσας[w] συμ-

[g] διαφθορὰν Φb.—[h] ὁμονοοῦντες Ω.—[i] οἱ post λόχοι om *df* et pr Ω.—[k] ἀνδραποδέστατοι *ev*.—[l] εἰς καὶ τὸν Z.—[m] ἀκούσωσιν ΑΞΦZ*bdfhno* et (adscripto ἀκούωσιν) Ω.—[n] ἔστι om *dfh*.—[o] τὰς...ἔσεσθαι om *e*, τὰς...τοὐναντίον in mg ponunt ΑΞΩZ*df hno* (præmissis A quidem his, ἐν ἄλλῳ οὕτως εὗρον, οἶμαι δ' ὅτι καὶ κρεῖττον τοῦτο, Ω vero his ἐν ἄλλῳ οὕτως εὗρον, Z denique, οὕτως ἐν ἄλλοις εὕρηται, ὃ καὶ βέλτιον): iidem hæc τὰς...ἐπανορθώσασθαι etiam post ἔσεσθαι ponunt.—[p] ὡς τὰ ΑΞΩZ*dfhno*.—[q] τοῦτο δ' οὖν ΑΞΩZ*hno*.—[r] καὶ ἔργῳ καὶ λόγῳ Z.—[s] καὶ λόγον ἡμῶν ΑΞ*en*, καὶ λόγων ἡμῶν Ω*dfho*, καὶ λόγων ἡμᾶς Z.—[t] τοῦτο *dfhn*.—[u] τῶν om Φb.—[v] ἐλθὼν ΑΞΦΩZ*bco*: ἐλθεῖν *s.—[w] συρρακούσας Φ*bdhno*, συρακούσσας corr Ω.—

μάρτυρα λαβεῖν σέ, ἵνα δή[x] μοι[y] τιμῷτο[z] φιλοσοφία καὶ III. 312.
παρὰ τῷ πλήθει. τοῦτο δ' οὐκ εὐαγές μοι ἀπέβη. τὸ δ' αἴτιον οὐ λέγω ὅ περ ἂν πολλοὶ εἴποιεν, ἀλλ' ὅτι ἐφαίνου οὐ πάνυ ἐμοὶ πιστεύειν[a] σύ, ἀλλ' ἐμὲ μέν πως ἀποπέμψασθαι ἐθέλειν,[b] ἑτέρους δὲ μεταπέμψασθαι, καὶ ζητεῖν III. iii. 402.
τὸ πρᾶγμα τί τὸ ἐμόν ἐστιν, ἀπιστῶν, ὡς ἐμοὶ δοκεῖ. καὶ οἱ ἐπὶ τούτοις βοῶντες πολλοὶ ἦσαν, λέγοντες ὡς σὺ ἐμοῦ μὲν καταπεφρόνηκας, ἄλλα δὲ ἐσπούδακας. ταῦτα δὴ διαβεβόηται. ὃ δὲ[c] μετὰ ταῦτα δίκαιόν ἐστι ποιεῖν, ἄκουε, ἵνα σοι καὶ ἀποκρίνωμαι[d] ὃ σὺ[e] ἐρωτᾷς, πῶς χρὴ ἔχειν ἐμὲ καὶ σὲ[f] πρὸς ἀλλήλους. εἰ μὲν ὅλως φιλοσοφίας[g] καταπεφρόνηκας,[h] ἐᾶν[i] χαίρειν· εἰ δὲ παρ' ἑτέρου ἀκήκοας ἢ αὐτὸς βελτίονα[k] εὕρηκας[l] τῶν[m] παρ' ἐμοί, ἐκεῖνα[n] τίμα. εἰ δ' ἄρα τὰ παρ' ἡμῶν σοι ἀρέσκει, τιμητέον[o] καὶ ἐμὲ μάλιστα. νῦν οὖν, ὥς περ[p] καὶ[q] ἐξ ἀρχῆς, σὺ[r] καθηγοῦ,[s] ἕψομαι δὲ ἐγώ· τιμώμενος μὲν[t] γὰρ ὑπὸ σοῦ τιμήσω σέ, μὴ[u] τιμώμενος δὲ ἡσυχίαν ἄξω.[v] ἔτι δὲ σὺ μὲν ἐμὲ τιμῶν καὶ τούτου καθηγούμενος φιλοσοφίαν δόξεις τιμᾶν,[w] καὶ αὐτὸ τοῦτο ὅ τι[x] διεσκόπεις καὶ ἄλλως,[y] πρὸς πολλῶν εὐδοξίαν σοι[z] οἴσει[a] ὡς φιλοσόφῳ ὄντι· ἐγὼ δὲ σὲ τιμῶν μὴ τιμῶντα πλοῦτον[b] δόξω θαυμάζειν τε καὶ διώκειν, τοῦτο δ' ἴσμεν ὅτι παρὰ πᾶσιν ὄνομα οὐ καλὸν ἔχει. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, σοῦ μὲν τιμῶντος ἀμφοτέροις κόσμος, ἐμοῦ δὲ ὄνειδος ἀμφοῖν. περὶ μὲν οὖν[c] τούτων ταῦτα.

Τὸ δὲ σφαιρίον[d] οὐκ ὀρθῶς ἔχει· δηλώσει δέ σοι Ἀρχέ-

ὰ
[x] δὴ om Adfkn et pr Ω.—[y] μὴ n.—[z] τιμᾶτο d, τιμᾶντο n.—[a] πιστεύων Φ.—[b] ἐθέλειν...μεταπέμψασθαι in mg ΑΩ.—[c] δὴ ΑΦΩΖbfkno.—[d] ἀποκρινοῦμαι e.—[e] σὺ om n.—[f] ἐμὲ καὶ σὲ ἔχειν i et in excerptis fh.—[g] φιλοσοφίαν fh.—[h] κατεφρόνησας fh
αν κ
in excerptis, κατεφρόνησας n.—[i] ἔα g et corr n.—[k] βέλτιον Φb.—[l] ἢ αὐτὸς βελτίονα εὕρηκας om g.—[m] εὑρηκώς τι τῶν Φ.—[n] ἐκεῖνο Φ.—[o] τίμα τε g.—[p] περ om i et in excerptis d.—[q] καὶ om gi et in excerptis dfh.—[r] σὺ μὲν g.—[s] καθοδηγοῦ dfh καθ' ἡμᾶς i et in excerptis d.—[t] μὲν om Adfi, pr Ω, in excerptis h.—[u] μὴ om g.—
ξ ά
[v] ἄξω ΞΦbeig et in excerptis fh, ἄξω o, ἕξω Ω: ἕξω *r.—[w] σοφίαν f in excerptis.—[x] ὅτι...πολλῶν om i et in excerptis d.—[y] ἄλλους ΑΩΖg.—[z] σοι om n.—[a] οἴσειν g.—[b] τὸν πλοῦτον g.—[c] οὖν om d et pr ΑΩ.—[d] κεφάλαιον e.—[e] καὶ μὴν e et (ad-

σφαιρίον] Quid sit σφαιρίον, et an haec vox recte hoc loco legatur, apud me ambiguum est. Si enim pilam, sive pilulam significat, ut pilae ludum non recte

III. iii. 403. δημος, ἐπειδὰν ἔλθῃ. καὶ δὴ καὶ[e] περὶ τοῦδε, ὃ τούτου[f]
τιμιώτερόν τ'[g] ἐστὶ καὶ θειότερον, καὶ μάλα σφόδρ' αὐτῷ
δηλωτέον, ὑπὲρ οὗ σὺ πέπομφας ἀπορούμενος. φῂς γὰρ δὴ
κατὰ τὸν ἐκείνου λόγον οὐχ ἱκανῶς ἀποδεδεῖχθαί σοι περὶ
τῆς τοῦ πρώτου φύσεως. φραστέον δή[h] σοι δι' αἰνιγμῶν,[i] ἵν'
ἄν τι ἡ[k] δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀνα-
γνοὺς μὴ γνῷ. ὧδε γὰρ ἔχει. περὶ[l] τὸν πάντων βασιλέα
πάντ'[m] ἐστὶ καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο αἴτιον
ἁπάντων τῶν καλῶν. δεύτερον[n] δὲ περὶ τὰ δεύτερα, καὶ
τρίτον περὶ τὰ τρίτα. ἡ οὖν ἀνθρωπίνη ψυχὴ περὶ αὐτὰ
ὀρέγεται μαθεῖν ποῖ' ἄττα ἐστί, βλέπουσα εἰς τὰ[o] αὑτῆς
III. 818. συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. τοῦ δὴ βασιλέως πέρι καὶ
ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτον.[p] τὸ δὴ[q] μετὰ τοῦτο ἡ ψυχή
φησιν. ἀλλὰ ποῖόν τι μὴν τοῦτ' ἐστίν, ὦ παῖ Διονυσίου
καὶ[r] Δωρίδος, τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν;[s]
μᾶλλον δὲ ἡ περὶ τούτου[t] ὠδὶς ἐν τῇ ψυχῇ ἐγγιγνομένη,
ἣν εἰ μή τις ἐξαιρεθήσεται, τῆς ἀληθείας ὄντως[u] οὐ μή[v]
ποτε τύχῃ.[w] σὺ δὲ τοῦτο πρὸς ἐμὲ ἐν τῷ κήπῳ ὑπὸ ταῖς
δάφναις αὐτὸς ἔφησθα ἐννενοηκέναι καὶ εἶναι σὸν εὕρημα.
III. iii. 404. καὶ ἐγὼ εἶπον ὅτι τοῦτο εἰ φαίνοιτό σοι οὕτως ἔχειν, πολ-
λῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς. οὐ μὴν ἄλλῳ γέ ποτ'
ἔφην ἐντετυχηκέναι τοῦθ' εὑρηκότι, ἀλλὰ ἡ πολλή μοι
πραγματεία περὶ τοῦτ' εἴη. σὺ δὲ ἴσως μὲν ἀκούσας του,

scripta vulgata) ΑΩΖο.—[f] τούτου δ' τοῦδε e et (adscripta vulgata) ΑΩΖο, o quidem addito δὴ post δ.—[g] τ' om Φ*f*ekn.—[h] δέ n.—[i] αἰνιγμένων Ζ.—[k] ἡ om pr Ω.—[l] περὶ...77, 13. τε om *f*.—[m] πάντ' ἐκεῖν' Φ.—[n] δεύτερα e, δεύτερα(ον) n.—[o] αὐτὰ Ζ.—[p] τοιοῦτον ΦZdekno: τοιοῦτο *ς.—[q] δὲ dh.—[r] τε καὶ Φ.—[s] ἐστι τῶν κακῶν pr *f*.—[t] τούτων Ξ.—[u] οὕτως o, om Ξ.—[v] μή om A et pr Ω.—[w] τύχῃ(η) bd*f*n, τύχοι e:

a Dionysio exerceri accipiamus, satis leviter attigit rem, quæ in multo usu apud ipsum erat, ut etiam in Epist. xiii. τοὺς συσφαιριστὰς, i. e. *pilæ collusores*, salutare jubeatur Dionysius. Si vero σφαιρίον significat *lignum* teres, qualia de theatris in populum spargebantur inscripta rebus, quas, qui illa excepisset, a distributoribus petebat ac ferebat, etiam sic obscuram et ab Archedemo declarandam rem relinquit. Et sane non multum refert, ignorari rem, quam etiam ipse Plato occultam esse nobis voluit, sicut etiam eam, quam deinceps per ænigmata proponit. CORNAR. Mox idem corr. ἐν τύχαις pro ἐν πτυχαῖς. male. BIP.

τούτου] Legitur etiam τούτων. In sequenti autem versu vel ἐξαιρήσεται legit Fic. vel male et ipse significationem activam illi futuro tribuit: dictum enim fuerit, ἣν εἰ μή τις ἐξαιρεθήσεται pro ἣ εἰ μὴ ἐξαιρεθήσεται ἀπό τινος: ut si dicerem, εἴ τις τὸν χρυσὸν ἀποστερηθήσεται. STEPH. τούτων Bas. 2. BIP.

εἴη] Non habet εἴη unde pendere dici

τάχα δ' ἂν θείᾳ μοίρᾳ κατὰ τοῦθ' ὁρμήσας,[x] ἔπειτα αὐτοῦ τὰς ἀποδείξεις ὡς ἔχων βεβαίως[y] οὐ κατέδησας, ἀλλ' ἄττεις[z] τοτὲ μὲν οὕτω, τοτὲ δὲ ἄλλως περὶ τὸ φανταζόμενον, τὸ[a] δὲ οὐδέν ἐστι τοιοῦτον. καὶ τοῦτο οὐ σοὶ μόνῳ[b] γέγονεν, ἀλλ' εὖ ἴσθι μηδένα πώποτέ μου τὸ[c] πρῶτον ἀκούσαντα ἔχειν ἄλλως πως ἢ οὕτως[d] κατ' ἀρχάς, καὶ ὁ μὲν πλείω ἔχων πράγματα, ὁ δὲ ἐλάττω μόγις[e] ἀπαλλάττονται, σχεδὸν δὲ οὐδεὶς ὀλίγα. τούτων δὴ γεγονότων καὶ ἐχόντων οὕτω σχεδὸν κατὰ τὴν ἐμὴν δόξαν εὑρήκαμεν ὃ σὺ ἐπέστειλας, ὅπως δεῖ πρὸς ἀλλήλους ἡμᾶς ἔχειν. ἐπεὶ γὰρ βασανίζεις αὐτὰ ξυγγιγνόμενός τε ἄλλοις καὶ παραθεώμενος παρὰ τὰ[f] τῶν ἄλλων καὶ αὐτὰ καθ' αὑτά, νῦν σοι ταῦτά τε, εἰ ἀληθὴς ἡ βάσανος, προσφύσεται, καὶ οἰκεῖος τούτοις τε καὶ ἡμῖν ἔσει.[g] πῶς οὖν οὐ[h] ταῦτ'[i] ἔσται καὶ πάντα ἃ εἰρήκαμεν; τὸν Ἀρχέδημον νῦν τε ὀρθῶς ἐποίησας πέμψας, καὶ τὸ λοιπόν, ἐπειδὰν ἔλθῃ πρός[k] σε καὶ ἀπαγγείλῃ τὰ παρ' ἐμοῦ, μετὰ ταῦτα ἴσως ἄλλαι σε[l] ἀπορίαι[m] λήψονται. πέμψεις οὖν αὖθις, ἂν ὀρθῶς βουλεύῃ, III. iii. 405.
παρ' ἐμὲ τὸν Ἀρχέδημον, ὁ δ' ἐμπορευσάμενος ἥξει[n]

τύχῃ *ς.—[x] ὁρμήσας d/h, ὁρμήκας Ξ : ὁρμησας *ς.—[y] βεβαίους Φ, βεβαίας Ξ.— [z] ἄττει d, ἅττει σοι Aho, ἅττης σοι Ζ, αἴττι σοι Ω, ἅττεσι e, ἅττα σοι n, ὅτι σοι Φb.—[a] τοῦ Ao et pr ΩΖ.—[b] μόνον Ξ.—[c] τὸ om e.—[d] οὕτω Ξeo : οὕτως *ς.—[e] μόλις n.—[f] τὰ om Zdn.—[g] ἔσει b.—[h] οὐ om d/h.—[i] γρ αὐτόν Ωe.—[k] παρὰ dn.

possit: praecessit enim infinitivi modi verbum ἐντετυχηκέναι quod pendet ab ἔφην: nam si, quemadmodum dixit, οὐ μὴν ἄλλῳ γε πωτ' ἔφην ἐντετυχηκέναι τοῦθ' εὑρηκότι, subjunxisset, ἀλλὰ τὴν πολλήν μοι πραγματείαν περὶ τοῦτ' εἶναι, tunc εἶναι penderet itidem ab ἔφην ex praecedentibus subaudiendo: sed eum mutata orationis forma nominativis usum esse et ὅτι εἴη pro εἶναι dixisse puto: sive ante περὶ sive ante ἡ πολλὴ positam fuisse illam particulam ὅτι credendum sit: ut legatur, ἀλλ' ἡ πολλή μοι πραγματεία περὶ τοῦτ' εἴη: vel, ἀλλὰ ἡ πολλή μοι πραγματεία ὅτι περὶ τοῦτ' εἴη. Caeterum hanc vocem πραγματεία (ut hoc addam obiter) non lubenter de investigatione intellexerim, ut Fic. quoque intellexit: verum de eo quod modo dixit, πολλῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς: perinde ac si dixisset, οὐ μὴν ἄλλῳ ἐντετυχηκέναι τοῦθ' εὑρηκότι, ἀλλὰ τοὺς πολλοὺς λόγους περὶ τούτου ἐμοὶ πρὸς πάντας τοὺς ἄλλους γεγονέναι. Illi porro generi loquendi quo eum modo usum esse dixi, πολλῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς, plane simile est istud in Hippia Maj. p. 291. ἀπαλλάξεις αὐτὸν τῶν πολλῶν λόγων. Steph.

τάχα δ' ἂν] Malim, τάχα δ' αὖ θείᾳ μοίρᾳ. Steph.

βεβαίως] Legitur etiam βεβαίας. Pro κατέδησας autem videndum an scribi debeat κατέθηκας. Steph. Bas. 2. et Ficin. βεβαίας. Bip.

παραθεώμενος] Ficin. cum aliorum opinionibus comparaveris. Corrigendum παραθέμενος. Fabric.

πάλιν· καὶ τοῦτο ἐὰν δὶς ἢ τρὶς ποιήσῃς καὶ βασανίσῃς τὰ παρ' ἐμοῦ πεμφθέντα ἱκανῶς, θαυμάζοιμ' ἂν εἰ μὴ τὰ πρὶν[o] ἀπορούμενα πολύ σοι διοίσει ἢ τὰ[p] νῦν.[q] θαῤῥοῦντες[r] οὖν ποιεῖτε οὕτως· οὐ μὴ γάρ ποτε τῆς ἐμπορίας ταύτης οὔτε σὺ στείλῃς[s] οὔτε Ἀρχέδημος ἐμπορεύσεται[t] καλλίω
III. 314 καὶ θεοφιλεστέραν. εὐλαβοῦ μέντοι μή ποτε ἐκπέσῃ[u] ταῦτα εἰς ἀνθρώπους ἀπαιδεύτους· σχεδὸν γάρ, ὡς ἐμοὶ δοκεῖ, οὐκ ἔστι[v] τούτων[w] πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα, οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμαστότερά τε[x] καὶ ἐνθουσιαστικώτερα. πολλάκις δὲ[y] λεγόμενα καὶ ἀεὶ ἀκουόμενα[z] καὶ πολλὰ ἔτη μόγις,[a] ὥς περ χρυσός, ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας. ὃ δὲ θαυμαστὸν αὐτοῦ[b] γέγονεν, ἄκουσον. εἰσὶ γὰρ ἄνθρωποι ταῦτα ἀκηκοότες καὶ πλείους, δυνατοὶ μὲν μαθεῖν, δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασανίσαντες[c] πάντῃ πάντως κρῖναι, γέροντες ἤδη καὶ οὐκ[d] ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες, οἳ νῦν ἄρτι σφίσι φασὶ τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι νῦν
III. iii. 406. πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι, ἃ δὲ τότε πιστότατα, νῦν τοὐναντίον. πρὸς ταῦτ' οὖν σκοπῶν εὐλαβοῦ μή ποτέ σοι μεταμελήσῃ τῶν νῦν ἀναξίως ἐκπεσόντων. μεγίστη δὲ φυλακὴ τὸ μὴ γράφειν ἀλλ' ἐκμανθάνειν· οὐ γάρ ἐστι τὰ γραφέντα μὴ οὐκ[e] ἐκπεσεῖν. διὰ ταῦτα οὐδὲν[f] πώποτ' ἐγὼ περὶ τούτων[g] γέγραφα, οὐδ' ἔστι σύγγραμμα Πλάτωνος[h] οὐδὲν οὐδ' ἔσται, τὰ δὲ νῦν[i] λεγόμενα Σωκράτους ἐστὶ καλοῦ καὶ[k] νέου γεγονότος. ἔρρωσο καὶ πείθου, καὶ τὴν ἐπιστολὴν ταύτην νῦν πρῶτον πολλάκις ἀναγνοὺς κατάκαυσον.

Ταῦτα μὲν ταύτῃ. περὶ δὲ Πολυξένου ἐθαύμασας ὅτι οὐ[l] πέμψαιμί σοι. ἐγὼ δὲ καὶ περὶ Λυκόφρονος καὶ τῶν

—[l] σε ἄλλα n.—[m] εὐπορίαν Z.—[n] ἄξια Z.—[o] νῦν BΠΞhkno et pr e.—[p] τὰ om pr AΩ.—[q] lacuna in Φ.—[r] θαρροῦντες AΩ. θαρροῦντας ΠΞλ.—[s] σὺ στείλῃς AZdfkno et rc e, σὺ οὔτε στείλῃς in litura Ω, στεολῃς γρ Ω: ceteri cum s verbum om.—[t] ἐμπορεύσεται a.—[u] ἐκπέσοι n, ἐκπέσοι fh, φ[illegible]έσῃ Ξ.—[v] ἔτι Z.—[w] τοῦτο d.—[x] τε om dh.—[y] τε f.—[z] καὶ ἀεὶ ἀκουόμενα in mg AΩ.—[a] μόλις n.—[b] αὐτοῦ om Φ.—[c] βασανίσαντες e.—[d] οὐκ om dfh.—[e] οὐκ om g.—[f] οὐδὲ efghn.—[g] τῶν ἂν βούλομαι g, τούτων ἂν βούλομαι fh in excerptis.—[h] πλάτωνος σύγγραμμα i et in excerptis efh.—[i] νῦν δὲ o. τοῦ g.—[k] καὶ om Z.—[l] οὐ om A et pr Ω.—[m] τῇ om Z.—[n] διαφέροις

ἄλλων τῶν παρὰ σοὶ ὄντων λέγω καὶ πάλαι καὶ νῦν τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ διαλεχθῆναι καὶ φύσει καὶ τῇ[m] μεθόδῳ τῶν λόγων πάμπολυ διαφέρεις[n] αὐτῶν, καὶ οὐδεὶς αὐτῶν ἑκὼν ἐξελέγχεται, ὥς τινες ὑπολαμβάνουσιν,[o] ἀλλ' ἄκοντες. καὶ δοκεῖς[p] μέντοι πάνυ[q] μετρίως κεχρῆσθαί τε αὐτοῖς καὶ δεδωρῆσθαι. ταῦτα μὲν περὶ τούτων, πολλὰ ὡς περὶ τοιούτων· Φιλιστίωνι[r] δέ, εἰ μὲν αὐτὸς χρῇ, σφόδρα χρῶ, εἰ δὲ οἷόν τε, Σπευσίππῳ[s] χρῆσον καὶ ἀπόπεμψον. δεῖται δὲ σοῦ καὶ Σπεύσιππος·[t] ὑπέσχετο δέ μοι καὶ Φι- III. iii. 407.
λιστίων, εἰ[u] σὺ ἀφίης[v] αὐτόν, ἥξειν προθύμως Ἀθήναζε. Τὸν ἐκ τῶν λιθοτομιῶν[w] εὖ ἐποίησας ἀφείς, ἐλαφρὰ δὲ[x] ἡ δέησις καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ καὶ περὶ Ἡγησίππου τοῦ Ἀρίστωνος· ἐπέστειλας γάρ μοι, ἄν τις ἀδικῇ ἢ τοῦτον ἢ ἐκείνους καὶ σὺ αἴσθῃ, μὴ ἐπιτρέψειν.[y] Καὶ περὶ Λυσικλείδου[z] τἀληθὲς εἰπεῖν ἄξιον· μόνος γὰρ τῶν ἐκ Σι- III. 315.
κελίας[a] Ἀθήναζε ἀφικομένων οὐδὲν μετεβάλετο[b] περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας, ἀλλ' ἀεί τι[c] ἀγαθὸν καὶ ἐπὶ τὰ[d] βελτίω λέγων περὶ τῶν γεγονότων διατελεῖ.

An et pr Ω.—[o] ὥς τινες ὑπολαμβάνουσιν om *dfk*.—[p] δοκεῖ· ὁ A: δοκεῖς cum *ς corr Ω.—[q] πάντη Φb.—[r] φιλιστίωνα o.—[s] πευσίππῳ Φdfko.—[t] πεύσιππος Φdfko.—[u] ἦν Φ.—[v] ἀφίης Adfkn et pr Ω, ἀφήσεις Zeo et corr Ω: εἰ σὺ ἀφίης εἰ σὺ ἀφῇς ὃ καὶ κρεῖττον γρ ΩZ.—[w] λιθοτομιῶν ΞΦbdfn et (adscripto λατομιῶν) AΩZko.—[x] δὲ om Ξ.—[y] ἐπιστρέψειν Z.—[z] εὐκλείδου pr n.—[a] ἐν σικελίᾳ *dfk*.—[b] μετεβάλλετο o.—[c] ἀλλ' ἀεί τι AΩZen: ἀλλ' εἴτι *ς.—[d] ἔπειτα AΩeo.

λατομιῶν] Legitur etiam λιθοτομιῶν. STEPH. qui sic in Not. 'Suspicor post τὸν deesse nomen proprium, nomen videlicet ejus qui dimissus fuerat. Non video enim cur pro lapidario dicturus fuerit τὸν ἐκ τῶν λατομιῶν, sive λιθοτομιῶν: quum enim ita loquuntur Græci solent aliquod participium subaudire: cujusmodi fuerit ἐλθόντα hoc in loco, cum istis verbis, τὸν ἐκ τῶν λατομιῶν. Atque hoc (ut opinor) Ficinum in errorem impulit quod nullum participium additum esse aut subaudiri posse videret: et ita vertit τὸν ἐκ τῶν λιθοτομιῶν (nam ita legit) ac si nomen loci esset, et illud ita dixisset ut si diceremus τὸν ἐκ τῶν Ἀθηνῶν, pro Atheniensi: vertit enim, *Lithotomiensem illum*: quod depravarunt postea in *Lithoteniensem*. Quod si de Philoxeno hic loqueretur (ut quidam augurantur) apte scriberetur, τὸν Φιλόξενον ἐκ τῶν λατομιῶν εὖ ἐποίησας ἀφείς, id est, *Recte fecisti quod Philoxenum ex lapicidinis dimiseris*: cur enim unius (quicunque sit) nomen potius quam aliorum tacuisse illum putemus? Si tamen hic nomen non fuisse positum credamus neque hujus neque alius, at certe vocabulum aliquod posuisse significans munus quo apud Dionysium ille (quisquis fuerit) fungebatur.'

ΕΠΙΣΤΟΛΗ

Γ.

III. iii. 408. Πλάτων[a] Διονυσίῳ[b] χαίρειν ἐπιστείλας ἆρ' ὀρθῶς ἂν τυγχάνοιμι τῆς βελτίστης προσρήσεως; ἢ μᾶλλον κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν, ὥς περ εἴωθα ἐν

CODICES COLLATI NOVEM,

ΑΞΦΩΖbcna.

[a] πλάτων...χαίρειν om b.—[b] πλάτων διονυσίῳ εὖ πράττειν Ξ.—[c] γὰρ om c.—

ΔΙΟΝΥΣΙΩι] Post Διονυσίῳ legitur etiam εὖ πράττειν: sed ex initio epistolæ conjici potest additum non fuisse infinitivum. Mox lectio alia affertur τυγχάνοις: quæ non videtur posse locum hic habere. Steph. qui sic in Not. 'In edit. illa Bas. ponitur post χαίρειν stigme τελεία, ut hæc Πλάτων Διονυσίῳ χαίρειν, sint titulus epistolæ, sive ἐπιγραφή: initium autem Ἐπιστείλας. Sed præterquam quod ἀπέστειλας scribendum esset, non ἐπιστείλας (alioqui suspensa maneret oratio) illa disjunctiva ἢ quem usum haberet, nisi τοῦ χαίρειν prius mentio quam τοῦ εὖ πράττειν fieret? Ficinus autem ita videtur legisse, Πλάτων Διονυσίῳ. Χαίρειν ἀπέστειλας ἆρ' ὀρθῶς ἂν τυγχάνοι τῆς βελτίστης προσρήσεως, et quæ proxime sequuntur, aut hoc aut simili modo scripta invenisse, aut scribenda censuisse, ἢ μᾶλλον τὸ κατὰ τὴν ἐμὴν συνήθειαν γράφειν εὖ πράττειν. ut cum τὸ γράφειν, subaudiatur illud, τυγχάνοι τῆς βελτίστης προσρήσεως. Ita enim principium hoc interpretatur, (alioqui etiam non expressa vi quarundam verborum) Plato Dionysio. *Petis an rectius ponatur in salutationibus Gaudere: an quemadmodum ego solitus sum scribere ad amicos, Bene agere.* Sed enim et tertia lectio affertur, τυγχάνοις. At ego libenter lectionem illam nostram retineo, quæ et τυγχάνοιμι habet, et χαίρειν cum ἐπιστείλας jungit: ut hic sit sensus, 'Si ego Plato Dionysium in fronte meæ epistolæ gaudere jusserim, utrum quod salutationi convenientissimum est assequutus fuero? an potius, si more meo scribam Bene agere?' Dico autem *gaudere jusserim*, ut dicebant Latini *jubeo te salvere.* Illa porro lectio nostra extat in utraque Aldina editione harum epistolarum: id est, non solum ea quæ cætera Platonis scripta habet, sed etiam ea quæ variarum epistolarum volumen exhibet. Steph.

ταῖς ἐπιστολαῖς τοὺς φίλους προσαγορεύειν; σὺ μὲν γὰρ[c] δὴ[d] καὶ τὸν θεόν, ὡς ἤγγειλαν οἱ τότε θεωροῦντες, προσεῖπες[e] ἐν Δελφοῖς αὐτῷ τούτῳ θωπεύσας[f] τῷ ῥήματι, καὶ γέγραφας,[g] ὡς φασί,

χαῖρε καὶ ἡδόμενον βίοτον[h] διάσωζε τυράννου·

ἐγὼ δὲ οὐδὲ ἀνθρώπῳ κλήσει,[i] μὴ ὅτι δὴ[k] θεῷ,[l] παρακελευσαίμην ἂν δρᾷν τοῦτο, θεῷ μὲν ὅτι παρὰ φύσιν προστάττοιμ' ἄν, πόρρω γὰρ ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον, ἀνθρώπῳ δὲ ὅτι τὰ πολλὰ βλάβην ἡδονὴ καὶ λύπη γεννᾷ,[m] δυσμαθίαν καὶ λήθην[n] καὶ[o] ἀφροσύνην καὶ ὕβριν[p] τίκτουσα III. iii. 409.
ἐν τῇ[q] ψυχῇ. καὶ ταῦτα μὲν οὕτως εἰρήσθω παρ' ἐμοῦ περὶ τῆς προσρήσεως· σὺ δ' ἀναγνοὺς αὐτά, ὅπῃ βούλει δέξασθαι, ταύτῃ[r] δέχου.

Φασὶ δ' οὐκ ὀλίγοι λέγειν σε πρός τινας τῶν παρὰ σὲ πρεσβευόντων, ὡς ἄρα σοῦ ποτὲ λέγοντος ἀκούσας ἐγὼ μέλλοντος[s] τάς τε Ἑλληνίδας[t] πόλεις ἐν Σικελίᾳ οἰκίζειν καὶ Συρακουσίους[u] ἐπικουφίσαι, τὴν ἀρχὴν ἀντὶ τυραννίδος εἰς βασιλείαν μεταστήσαντα, ταῦτ' ἄρα σὲ μὲν τότε διεκώλυσα, ὡς σὺ[v] φής, σοῦ σφόδρα προθυμουμένου, νῦν δὲ Δίωνα διδάσκοιμι[w] δρᾷν αὐτὰ ταῦτα, καὶ τοῖς διανοήμασι τοῖς σοῖς[x] τὴν σὴν[y] ἀρχὴν ἀφαιρούμεθά σε. σὺ δ' εἰ μέν τι διὰ τοὺς λόγους τούτους ὠφελεῖ, γιγνώσκεις αὐτός, ἀδικεῖς δ' οὖν[z] ἐμὲ τἀναντία τῶν γενομένων λέγων. ἅδην[a] γὰρ ὑπὸ Φιλιστίδου[b] καὶ ἄλλων πολλῶν πρὸς τοὺς μισθοφόρους καὶ εἰς[c] τὸ Συρακουσίων[d] πλῆθος διεβλήθην διὰ τὸ μένειν

[d] δὴ om n.—[e] προσεῖπας n.—[f] θεραπεύσας Ξ.—[g] τὸ γράψας n.—[h] βίον n.—[i] κλήσει om n.—[k] οὔτι ΑΩΖbo, οὔτι δὴ e: om Φ.—[l] θεῷ om Φ.—[m] τίκτουσι Ζ.—[n] λήθην Ω, λήθην o, λύπην be.—[o] καὶ om Φn.—[p] ὕβριν om Φ.—[q] τῇ om Φ.—[r] πάντα n.—[s] μέλλοντάς τε, omisso τὰς, Ζ.—[t] ἑλληνίνας b.—[u] συρακουσίους ΑΖeno, συρακουσσίους Ω, συρρακουσίοις Φ: Συρακουσίοις r.—[v] σοῦ om o.—[w] γρ. διασκευωρεῖν b.—[x] σοῖς ἰδίᾳ Φb, σοῖς ἰδίοις e et γρ ΩΖ, ἰδίοις n.—[y] σὴν om Ζ.—[z] δ' οὖν n et γρ ΑΩΖ beo: δ' οὐδὲν °r.—[a] ἄδην ΑΞΩeo, ἄδδην Φb, ἄτην Ζ: ἅδην °r.—[b] φιλιστείδου e.—

θωπεύσας] Legitur etiam θεραπεύσας. Sed lectionem illam potius quam hanc sequutus esse videtur Fic. Steph.

λύπη] Lege λύπην. Faehse.

ἀδικεῖς οὐδὲν] Fic. οὐδὲν in hac sua interpretatione non agnoscit, *Injuria certe me afficis, quum contraria dicas quam veritas sit.* Atque illi vocem hanc non agnoscenti lubenter assentior. Steph.

ἐν ἀκροπόλει. τοὺς δ'[c] ἔξωθεν, εἴ τι γεγονὸς ἁμάρτημα, πάντα εἰς ἐμὲ τρέπειν, σὲ φάσκοντας πάντα[d] ἐμοὶ πείθεσθαι[e]. σὺ δ' αὐτὸς σαφέστατα οἶσθα τῶν πολιτικῶν ἐμὲ σοι κοινῇ συμπεπραγματευκέναι ἑκόντα ὀλίγα δὲ κατ' ἀρχάς, ὅτε πλέον τι ᾤμην ποιήσειν, ἄλλα τε βραχέα ἄττα καὶ περὶ τὰ τῶν νόμων προοίμια σπουδάσαντα μετρίως, χωρὶς ἃ σὺ προσέγραψας ἢ τις[h] ἕτερος· ἀκούω γὰρ ὕστερον καί τινας αὐτὰ διασκευωρεῖν,[m] δῆλα μὴν[n] ἑκάτερα ἔσται τοῖς τὸ ἐμὸν ἦθος δυναμένοις κρίνειν. ἀλλ' οὖν, ὅπερ[o] ἀρτίως εἶπον, οὐ διαβολῆς προσδέομαι πρός τε[p] Συρακουσίους[q] καὶ εἰ δή τινας ἑτέρους πείθεις λέγων αὐτά, ἀλλὰ πολὺ μᾶλλον ἀπολογίας πρός τε τὴν προτέραν γενομένην διαβολὴν καὶ τὴν νῦν μετ' ἐκείνην μείζω φυομένην καὶ σφοδροτέραν. περὶ δύο δή μοι διττὰς ἀναγκαῖον ποιήσασθαι τὰς ἀπολογίας, πρῶτον[r] μὲν ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ[s] τῆς πόλεως πράγματα, τὸ δὲ δεύτερον ὡς οὐκ ἐμὴν ταύτην εἴρηκας συμβουλὴν οὐδὲ διακώλυσιν,[t] μέλλοντί σοι κατοι-

[a] [illegible] — [b] συρρακουσίων Φ, συρακουσίων Ω.— [c] δ' om Z.— [d] φάσκοντας πάντα [illegible], τινας φάσκοντας πάντα Φ: φάσκοντάς τινας πάντας °ς.— [e] πείθεσθαι [illegible]. πείθεσθαι °ς.— [f] ὅτη ΛΩΦZbo: ὅτε τι °ς.— [g] τὰ ante περὶ ponunt A [illegible].— [h] ἔτι Z.— [i] ὑμῖν z.— [m] διασκευωρίαν ΦZbco et (adscripto διασκευωρεῖν) [illegible].— [n] μὴν [illegible].— [o] ὥσπερ Z.— [p] τε om z.— [q] συρρακουσίους ba.— [r] πρῶτα Φ.— [s] τὰ om [illegible].— [t] οὐδὲ διακώλυσιν Φ et γρ Ω, οὐδὲ διακωλύσειν ΛΞΩZc et γρ o (qui [illegible] ἀλλὰ ἐμποδὼν ἐμὲ γεγονῆσθαί σοι κατοικίζειν Ἑλληνίδας πόλεις [illegible], τὴν οὖν...), οὐδὲ διδασκαλίαν z. ceteri cum ς solum ha-

τοὺς δ' ἔξωθεν] Ut quæ sunt post verbum διεβλήθην, jungantur sequentibus, particula δὲ quæ est ante ἔξωθεν, ponenda fuerit ante τῷ: ut legatur, διὰ δὲ τὸ μόνον ἐν ἀκροπόλει, τοὺς ἔξωθεν, εἴ τι γέγονεν etc. Jungit certe et Fic. illa sequentibus: quod si præcedentibus jungi non displiceat, servando nostram illam lectionem, videtur scribendum, τοὺς γὰρ ἔξωθεν etc. Sed credibile est, illum, quum dixit, ἤδη γὰρ διεβλήθην, nequaquam hanc unam διαβολῆς causam afferre voluisse. Cujus διαβολῆς meminit mox scribens, Ἀλλ' οὖν, ὅπερ ἀρτίως εἶπον, οὐ διαβολῆς προσδέομαι πρός τε Συρακουσίους, etc. Steph.

τρέπειν] Unde infinitivum τρέπειν pendere dicemus? Fortasse ab illis superioribus verbis φασὶ δ' οὐκ ὀλίγοι pendere dici potest. Steph.

τινὰς] Nomine τινὰς locus hic non videtur opus habere, quum præcedat τοὺς ἔξωθεν. A Ficino certe minime agnoscitur, qui et πείθεσθαι legit, non πείσεσθαι. Steph.

ἑκόντα] In præced. edit. post ἑκόντα posita stigme separantur a præcedentibus ista, ὀλίγα δὲ κατ' ἀρχάς. Verum ut separari possent, legendum existimarem τὰ σαφέστατα: quanquam ne sic quidem legendo, commode disjunctum iri videntur. Steph.

ἄλλα] Ante ἄλλα scriptam fuisse præpositionem περὶ credibile est: minus certe ante τὰ quam hic esse necessaria videtur. Steph.

οὐδὲ μέλλοντι] Invenitur etiam vox διακωλύσει inter οὐδὲ et μέλλοντι. Steph. qui sic in Not. 'Videtur recta ἀκολουθία orationis postulasse ut diceretur, ἐμπο-

κίζειν Ἑλληνίδας πόλεις ἐμποδὼν ἐμὲ γεγενῆσθαι. τὴν οὖν ἀρχὴν ὧν εἶπον περὶ προτέρων ἄκουε πρότερον.

Ἦλθον καλούμενος εἰς Συρακούσας ὑπό τε σοῦ καὶ
Δίωνος, τοῦ μὲν δεδοκιμασμένου παρ' ἐμοὶ[u] καὶ ξένου πά-
λαι γεγονότος, ἐν ἡλικίᾳ δὲ ὄντος μέσῃ τε καὶ[v] καθεστη-
κυίᾳ, ὧν δὴ παντάπασι χρεία τοῖς νοῦν καὶ σμικρὸν κε-
κτημένοις μέλλουσι περὶ τοσούτων[w] ὅσα ἦν τότε τὰ σὰ βου-
λεύεσθαι, σοῦ δὲ ὄντος μὲν σφόδρα νέου, πολλῆς δὲ ἀπει- III. iii. 411.
ρίας οὔσης περί σε τούτων ὧν ἔμπειρον ἔδει γεγονέναι, καὶ
σφόδρα ἀγνῶτος ἐμοί. τὸ μετὰ τοῦτο εἴτ' ἄνθρωπος εἴτε
θεὸς εἴτε τύχη τις μετὰ σοῦ Δίωνα ἐξέβαλε, καὶ[x] ἐλείφθης
μόνος. ἆρ' οὖν οἴει μοι[y] τότε πολιτικῶν εἶναι κοινωνίαν πρὸς
σέ, τὸν μὲν ἔμφρονα[z] κοινωνὸν ἀπολωλεκότι,[a] τὸν δὲ ἄφρονα
ὁρῶντι[b] μετὰ πονηρῶν καὶ πολλῶν ἀνθρώπων καταλελειμ-
μένον, οὐκ ἄρχοντα, οἰόμενον δ' ἄρχειν, ὑπὸ δὲ τοιούτων ἀν-
θρώπων ἀρχόμενον; ἐν οἷς τί χρῆν[c] ποιεῖν ἐμέ; μῶν[d] οὐχ
ὅ περ ἐποίουν,[e] ἀναγκαῖον ἐκ τῶν λοιπῶν, τὰ μὲν πολιτικὰ
χαίρειν ἐᾶν, εὐλαβούμενον τὰς ἐκ τῶν φθόνων διαβολάς,
ὑμᾶς δὲ πάντως,[f] καί περ ἀλλήλων χωρὶς γεγονότας καὶ
διαφόρους ὄντας, πειρᾶσθαι φίλους ἀλλήλοις ὅτι μάλιστα
ποιεῖν; τούτων[g] δὴ καὶ σὺ μάρτυς, ὅτι τοῦτο αὐτὸ ξυντεί-
νων οὐκ ἀνῆκα πώποτε· καὶ μόγις μέν, ὅμως δ' ὡμολογή-
θη[h] νῷν[i] πλεῦσαι μὲν οἴκαδε ἐμέ, ἐπειδὴ πόλεμος ὑμᾶς III. 317.
κατεῖχεν, εἰρήνης δ' αὖ γενομένης ἐλθεῖν ἐμέ τε καὶ Δίωνα
εἰς Συρακούσας,[k] σὲ δὲ καλεῖν ἡμᾶς. Καὶ ταῦτα μὲν
οὕτως ἐγένετο τῆς ἐμῆς εἰς Συρακούσας ἀποδημίας πέρι[l]

bent οὐδέ.—[u] παρ' ἐμοὶ [ἃ σοὶ] ΩZο, παρὰ σοὶ [ἐμ] A, παρὰ σοὶ Φbn.—[v] καὶ om n.—[w] τούτων Φb.—[x] καὶ om n.—[y] με b.—[z] εὔφρονα c.—[a] ἀπολωλεκότα Φb.—[b] ὁρῶντα Ωc, ὁρῶντα AΦb.—[c] χρὴ ΦZ.—[d] ἡμῶν Z.—[e] ποιοῦν A et pr Ω.—[f] πάντας n.—[g] τούτου n.—[h] ὡμολογήθην Z.—[i] ἂν Zο.—[k] συρακούσσας AΞZ, qui ita solent, et corr Ω:

ὧν ἐγὼ γέγονα. Quod si pro διακωλῦσαι legeretur διακώλυσιν, et τὸ, hoc modo, ὡς οὐκ ἐμὴν ταύτην εἴρηκας συμβουλὴν οὐδὲ διακώλυσιν, τὸ μέλλοντί σοι (etc.) tolerari posset infinitivus: sed videndum an satis apte hæc dicerentur, οὐκ ἐμὴν διακώλυσιν (nam subaudiendum esset ἐμὴν ex præcedentibus) τὸ ἐμποδὼν ἐμὲ γεγενῆσθαι. Usus est alioqui et paulo ante verbo διεκώλυσα, hac ipsa de re loquens.'

εἶναι κοινωνίαν] Fortasse scribendum est, εἶναι δεῖν κοινωνίαν. Steph.

τῆς πρώτης καὶ τῆς πάλιν οἴκαδε σωτηρίας· τὸ δὲ[m] δεύτερον
III. iii. 412. εἰρήνης γενομένης ἐκάλεις με οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες,[n] Δίωνα δ' εἰσαῦθις[o] ἔφησθα μεταπέμψεσθαι.[p] διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ Δίωνι τότ'[q] ἀπηχθόμην· ᾤετο[r] γὰρ εἶναι βέλτιον ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ μετὰ ταῦτα ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ, τῶν[s] δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν ὡς ἂν ἀφίκωμαι τὰ Δίωνός μοι γενήσοιτο πράγματα πάντα κατὰ νοῦν τὸν ἐμόν, μὴ ἀφικομένου δὲ[t] τἀναντία. αἰσχύνομαι δὴ λέγειν ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ καὶ παρ' ἄλλων ἦλθον διά σε ἐξ Ἰταλίας καὶ Σικελίας, καὶ παρ' ὅσους τῶν ἐμῶν[u] οἰκείων καὶ τῶν γνωρίμων, καὶ πᾶσαι διακελευόμεναί μοι[v] ἰέναι καὶ δεόμεναι[w] σοὶ[x] πάντως ἐμὲ πείθεσθαι. ἐδόκει δὴ[y] πᾶσιν, ἀρξαμένοις ἀπὸ Δίωνος, δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι. καί τοι τήν θ' ἡλικίαν αὐτοῖς προὐτεινόμην καὶ περὶ σοῦ διισχυριζόμην ὡς οὐχ οἷός τ' ἔσοιο ἀνταρκέσαι[z] τοῖς διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν· ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν, ὅσῳ περ ἂν μείζους ὦσι,
III. iii. 413. τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς[a] ἄλλης

συρρακοῦσσας o.—[l] τε Z.—[m] δὲ om Z.—[n] ἐπέστειλας A, ἐπέστειλας Ωο, ἐπέστειλας Ze.—[o] εἰσαῦθις Ξο.—[p] μεταπέμψασθαι ΛΩΖbeno.—[q] τότ' Z.—[r] οὔτε n.—[s] τοῦ Z.—[t] δὲ n.—[u] ἐμῶν om Ξ.—[v] με Ω, με Λeo.—[w] δέομαι Z.—[x] σου A et fortasse pr Ω.—[y] δὲ o.—[z] αὐταρκέσαι Ξθδ.—[a] ἢ τις pr A.—[b] αὖ e.—[c] ταῦτα πάντα Z.—[d] δὴ σύμ-

διαβάλλοντας] Aliud fortasse quam διαβάλλοντας legit Ficinus: alioqui mirum est eum interpretari *insidiatores*. Quinetiam ea quæ sequuntur, ne ipse quidem intellexit: ita enim vertit, *Et turpium noxiarumque voluptatum machinatores nutrire.* Atqui de adulatoribus dici constat πρὸς ἡδονὴν ὁμιλεῖν: ita ut illa verba πρὸς ἡδονὴν ὁμιλοῦντας idem valeant quod τὰ πρὸς ἡδονὴν καὶ λέγοντας καὶ πράττοντας: id est, *qui suis et dictis et factis gratiam aucupari student.* Sic autem et Latini *ad voluptatem* loqui dicunt, et quidem inter illos ipse etiam Cicero: sed quædam exemplaria habent, *ad voluntatem*, ubi legitur in aliis *ad voluptatem*, ut in Lælio, 'Ad voluptatem loquentium omnia, nihil ad veritatem:' quum in aliis legatur 'Ad voluntatem.' Sed πρὸς ἡδονὴν ὁμιλεῖν ad facta etiam refertur, eoque comprehenditur quod dicit p. 331. μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα, ἃς etc. STEPH.

ἐξουσίας δύναμις. ὅμως δ' οὖν[b] πάντα ταῦτα[c] χαίρειν
ἐάσας ἦλθον, διανοηθεὶς ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ
αἰτιᾶσθαι ὡς διὰ τὴν ἐμὴν ῥαθυμίαν τὰ σφέτερα πάντα
ἐξὸν μὴ ἀπολέσθαι διώλετο· ἐλθὼν δέ, οἶσθα γὰρ δὴ σὺ
πάντα[d] τἀντεῦθεν[e] ἤδη γενόμενα, ἐγὼ μὲν ἠξίουν[f] δή που
κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν κατάγειν
Δίωνα οἰκειωσάμενον, φράζων[g] τὴν οἰκειότητα, ἣν εἰ[h] ἐμοὶ
τότε ἐπείθου, τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε καὶ
σοὶ καὶ Συρακούσαις καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἡ ἐμὴ
δόξα μαντεύεται· ἔπειτα τὰ Δίωνος τοὺς οἰκείους[i] ἔχειν[k]
ἠξίουν[l] καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, οὓς οἶσ- III. 318.
θα σύ· πρὸς δὲ τούτοις ᾤμην δεῖν τὰ[m] κατ' ἐνιαυτὸν ἕκα-
στον εἰωθότα αὐτῷ κομίζεσθαι καὶ[n] μᾶλλον ἔτι[o] καὶ οὐχ
ἧττον ἐμοῦ παραγενομένου[p] πέμπεσθαι. τούτων οὐδενὸς
τυγχάνων ἠξίουν ἀπιέναι. τὸ μετὰ ταῦτα ἔπειθές με μεῖ-
ναι τὸν ἐνιαυτόν, φάσκων τὴν Δίωνος ἀποδόμενος οὐσίαν πᾶ-
σαν τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς Κόρινθον, τὰ δ' ἄλλα III. iii. 414.
τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰπεῖν, ὧν ὑπο-
σχόμενος οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐτῶν συντέμνω.
τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος, οὐ πείσας Δίωνα,
φάσκων οὐ πωλήσειν ἄνευ τοῦ πείθειν,[q] τὸν κολοφῶνα, ὦ
θαυμάσιε, ταῖς ὑποσχέσεσιν[r] ἁπάσαις[s] νεανικώτατον[t] ἐπέ-
θηκας· μηχανὴν γὰρ οὔτε καλὴν οὔτε κομψὴν οὔτε δι-
καίαν οὔτε ξυμφέρουσαν εὗρες,[u] ἐμὲ ἐκφοβεῖν, ὡς ἀγνοοῦν-
τα τὰ τότε γιγνόμενα, ἵνα μηδὲ ἐγὼ ζητοίην τὰ χρήματα
ἀποπέμπεσθαι. ἡνίκα γὰρ Ἡρακλείδην ἐξέβαλες, οὔτε

ταῦτα Αφbn et pr Ω.—[e] τά τ' ἐντεῦθεν Zo.—[f] μὲν ἠξίουν ΑΦΩZbeno: μὲν οὖν ἠξίουν °r.—[g] φράζειν A: φράζων cum °r corr Ω.—[h] εἰ om n.—[i] ἐμοὺς Ξ.—[k] ἔχειν om n.—[l] ἠξίου n.—[m] τὰ o et mg e, om A et pr Ω: τὸν °r.—[n] καὶ om ΦΩb, in mg ponit o.—[o] ἐγὼ ἔτι eo et rc Ω.—[p] κομίζεσθαι μᾶλλον ἐγὼ ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενόμενον, adscriptis vulg. Z.—[q] πάθειν Ξ.—[r] τῶν ὑποσχέσεων n.—[s] ἁπάσαις ante ταῖς ponit Φ.—[t] νεανικώτερον n.—[u] ἐφεῦρες n.—[v] συρακοσίοις A, συρακοσίοις

ἐλθὼν δὲ] Post ἐλθὼν δὲ nihil desiderari puto, sed Plat. hæc interjeciase, οἶσθα γὰρ etc. non habita ratione illius participii: aut quasi sequeretur ἠξίουν, non præfixis illis voculis, ἐγὼ μὲν οὖν: et illa οἶσθα γὰρ etc. per parenthesin posita essent: hoc modo, ἐλθὼν δὲ (οἶσθα γὰρ δὴ σὺ πάντα τἀντεῦθεν ἤδη γενόμενα) ἠξίουν δή που etc. STEPH.

ἕκαστον] In vulgatis ἕκαστον habetur pro ἔρανον. Est autem ἔρανος *pecuniæ summa*, et collatio ex bonis alicujus facta. CORNAR.

τῆς πρώτης καὶ τῆς πάλιν οἴκαδε σωτηρίας· τὸ δὲ[m] δεύτερον
III. iii. 412. εἰρήνης γενομένης ἐκάλεις με οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες,[n] Δίωνα δ' εἰσαῦθις[o] ἔφησθα μεταπέμψεσθαι.[p] διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ Δίωνι τότ'[q] ἀπηχθόμην· ᾤετο[r] γὰρ εἶναι βέλτιον ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ μετὰ ταῦτα ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ, τῶν[s] δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν ὡς ἂν ἀφίκωμαι τὰ Δίωνός μοι γενήσοιτο πράγματα πάντα κατὰ νοῦν τὸν ἐμόν, μὴ ἀφικομένου δὲ[t] τἀναντία. αἰσχύνομαι δὴ λέγειν ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ καὶ παρ' ἄλλων ἦλθον διά σε ἐξ Ἰταλίας καὶ Σικελίας, καὶ παρ' ὅσους τῶν ἐμῶν[u] οἰκείων καὶ τῶν γνωρίμων, καὶ πᾶσαι διακελευόμεναί μοι[v] ἰέναι καὶ δεόμεναι[w] σοὶ[x] πάντως ἐμὲ πείθεσθαι. ἐδόκει δὴ[y] πᾶσιν, ἀρξαμένοις ἀπὸ Δίωνος, δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι. καί τοι τήν θ' ἡλικίαν αὐτοῖς προὐτεινόμην καὶ περὶ σοῦ διισχυριζόμην ὡς οὐχ οἷός τ' ἔσοιο ἀνταρκέσαι[z] τοῖς διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν· ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν, ὅσῳ περ ἂν μείζους ὦσι,
III. iii. 413. τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμιλοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς[a] ἄλλης

συρρακοῦσσας o.—[l] τε Z.—[m] δὲ om Z.—[n] ἐπέστειλας A, ἐπέστειλας Ωo, ἐπέστειλας Ze.—[o] εἰσαῦθις Ξo.—[p] μεταπέμψασθαι ΑΩZbeno.—[q] τότ' Z.—[r] οὔτε n.—[s] τοῦ Z.—[t] δὲ n.—[u] ἐμῶν om Ξ.—[v] με Ω, με Aeo.—[w] δέομαι Z.—[x] σου A et fortasse pr Ω.—[y] δὲ o.—[z] αὐταρκέσαι ΞΦb.—[a] ἤ τις pr A.—[b] αὖ e.—[c] ταῦτα πάντα Z.—[d] δὴ σύμ-

διαβάλλοντας] Aliud fortasse quam διαβάλλοντας legit Ficinus: alioqui mirum est eum interpretari *insidiatores*. Quinetiam ea quæ sequuntur, ne ipse quidem intellexit: ita enim vertit, *Et turpium noxiarumque voluptatum machinatores nutrire.* Atqui de adulatoribus dici constat πρὸς ἡδονὴν ὁμιλεῖν: ita ut illa verba πρὸς ἡδονὴν ὁμιλοῦντας idem valeant quod τὰ πρὸς ἡδονὴν καὶ λέγοντας καὶ πράττοντας: id est, *qui suis et dictis et factis gratiam aucupari student.* Sic autem et Latini *ad voluptatem* loqui dicunt, et quidem inter illos ipse etiam Cicero: sed quædam exemplaria habent, *ad voluntatem*, ubi legitur in aliis *ad voluptatem*, ut in Lælio, 'Ad voluptatem loquentium omnia, nihil ad veritatem:' quum in aliis legatur 'Ad voluntatem.' Sed πρὸς ἡδονὴν ὁμιλεῖν ad facta etiam refertur, eoque comprehenditur quod dicit p. 331. μήτε δὴ κολακεύοντά γε ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα, ἃς etc. STEPH.

ἐξουσίας δύναμις. ὅμως δ' οὖν[b] πάντα ταῦτα[c] χαίρειν
ἐάσας ἦλθον, διανοηθεὶς ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ
αἰτιᾶσθαι ὡς διὰ τὴν ἐμὴν ῥᾳθυμίαν τὰ σφέτερα πάντα
ἐξὸν μὴ ἀπολέσθαι διώλετο· ἐλθὼν δέ, οἶσθα γὰρ δὴ σὺ
πάντα[d] τἀντεῦθεν[e] ἤδη γενόμενα, ἐγὼ μὲν ἠξίουν[f] δή που
κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν κατάγειν
Δίωνα οἰκειωσάμενον, φράζων[g] τὴν οἰκειότητα, ἣν εἰ[h] ἐμοὶ
τότε ἐπείθου, τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε καὶ
σοὶ καὶ Συρακούσαις καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἡ ἐμὴ
δόξα μαντεύεται· ἔπειτα τὰ Δίωνος τοὺς οἰκείους[i] ἔχειν[k]
ἠξίουν[l] καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, οὓς οἶσ- III. 318.
θα σύ· πρὸς δὲ τούτοις ᾤμην δεῖν τὰ[m] κατ' ἐνιαυτὸν ἕκα-
στον εἰωθότα αὐτῷ κομίζεσθαι καὶ[n] μᾶλλον ἔτι[o] καὶ οὐχ
ἧττον ἐμοῦ παραγενομένου[p] πέμπεσθαι. τούτων οὐδενὸς
τυγχάνων ἠξίουν ἀπιέναι. τὸ μετὰ ταῦτα ἔπειθές με μεῖ-
ναι τὸν ἐνιαυτόν, φάσκων τὴν Δίωνος ἀποδόμενος οὐσίαν πᾶ-
σαν τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς Κόρινθον, τὰ δ' ἄλλα III. iii. 414.
τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰπεῖν, ὧν ὑπο-
σχόμενος οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐτῶν συντέμνω.
τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος, οὐ πείσας Δίωνα,
φάσκων οὐ πωλήσειν ἄνευ τοῦ πείθειν,[q] τὸν κολοφῶνα, ὦ
θαυμάσιε, ταῖς ὑποσχέσεσιν[r] ἁπάσαις[s] νεανικώτατον[t] ἐπέ-
θηκας· μηχανὴν γὰρ οὔτε καλὴν οὔτε κομψὴν οὔτε δι-
καίαν οὔτε ξυμφέρουσαν εὗρες,[u] ἐμὲ ἐκφοβεῖν, ὡς ἀγνοοῦν-
τα τὰ τότε γιγνόμενα, ἵνα μηδὲ ἐγὼ ζητοίην τὰ χρήματα
ἀποπέμπεσθαι. ἡνίκα γὰρ Ἡρακλείδην ἐξέβαλες, οὔτε

πάντα Δθbn et pr Ω.—[e] τά τ' ἐντεῦθεν Ζο.—[f] μὲν ἠξίουν ΑΦΩΖbcno: μὲν οὖν ἠξίουν °ς.—[g] φράζειν A: φράζων cum °ς corr Ω.—[h] εἰ om π.—[i] ἐμοὺς Ξ.—[k] ἔχειν om π.—[l] ἠξίου π.—[m] τὰ ο et mg ε, om A et pr Ω: τὸν °ς.—[n] καὶ om ΦΩb, in mg ponit ο.—[o] ἐγὼ ἔτι εο et rc Ω.—[p] κομίζεσθαι μᾶλλον ἐγὼ ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενόμενον, adscriptis vulg. Ζ.—[q] πάθειν Ξ.—[r] τῶν ὑποσχέσεων π.—[s] ἁπάσαις (σ ante ταῖς ponit Φ.—[t] νεανικώτερον π.—[u] ἐφεῦρες π.—[v] συρακοσίοις A, συρακουσίοις

ἐλθὼν δὲ] Post ἐλθὼν δὲ nihil desiderari puto, sed Plat. hæc interjecisse, οἶσθα γὰρ etc. non habita ratione illius participii: aut quasi sequeretur ἠξίουν, non præfixis illis voculis, ἐγὼ μὲν οὖν: et illa οἶσθα γὰρ etc. per parenthesin posita essent: hoc modo, ἐλθὼν δὲ (οἶσθα γὰρ δὴ σὺ πάντα τἀντεῦθεν ἤδη γενόμενα) ἠξίουν δή που etc. STEPH.

ἕκαστον] In vulgatis ἕκαστον habetur pro ἔρανον. Est autem ἔρανος *pecuniæ summa*, et collatio ex bonis alicujus facta. CORNAR.

Συρακοσίοις[v] δοκοῦν δικαίως οὔτ' ἐμοί, διότι μετὰ Θεοδότου[w] καὶ Εὐρυβίου συνεδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκανὴν πρόφασιν εἶπες ὅτι καὶ πάλαι σοι δῆλος[x] εἴην σοῦ μὲν οὐδὲν φροντίζων, Δίωνος δὲ καὶ τῶν Δίωνος φίλων καὶ[y] οἰκείων, καὶ ἐπειδὴ νῦν Θεοδότης καὶ Ἡρακλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι Δίωνος ὄντες, πᾶν μηχανῴμην ὅπως[z] οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πολιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς· καὶ εἴ τινα ἑτέραν ἀλλοτριότητα ἐνεῖδες ἐν ἐμοὶ πρὸς σέ, εἰκό-
III. iii. 415. τως οἴει ταύτῃ[a] πάντα ταῦτα[b] γεγονέναι. καὶ μὴ θαύμαζε· κακὸς γὰρ ἂν ἔχοντί γε νοῦν ἀνδρὶ φαινοίμην[c] ἐνδίκως πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς τὸν μὲν παλαιὸν φίλον καὶ ξένον, κακῶς πράττοντα[d] διὰ σέ, μηδὲν σοῦ χείρω,[e] ἵνα οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι, σὲ δὲ τὸν ἀδικοῦντα ἑλέσθαι καὶ πᾶν δρᾶν ὅπῃ σὺ προσέταττες, ἕνεκα χρημάτων δῆλον ὅτι·[f] οὐδὲν[g] γὰρ ἂν ἕτερον ἔφησεν αἴτιόν τις εἶναι τῆς ἐμῆς μεταβολῆς, εἰ μετεβαλόμην.[h] ἀλλὰ ταῦτα μὲν ταύτῃ γενόμενα τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν[i] διὰ σὲ ἀπειργάσατο.

Σχεδὸν δ' εἰς λόγον ὁ λόγος[k] ἥκει μοι ξυνεχὴς[l] τῷ[m] νῦν
III. 319. δὴ[n] γενομένῳ,[o] περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκόπει δὴ καὶ πρόσεχε πάντως,[p] ἄν τί σοι ψεύδεσθαι δόξω καὶ μὴ τἀληθῆ λέγειν. φημὶ γάρ σε Ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ Ἀριστοκρίτου, σχεδὸν ἡμέραις πρότερον εἴκοσι τῆς ἐμῆς ἐκ[q] Συρακουσῶν οἴκαδ' ἀποδημίας, ἃ

Ω, συρακουσσίοις ΞΖ.—[w] θεοδότου Ζ et pr Α, θεοδωτου Ω, qui sic et infra.—[x] δῆλός σοι πάλαι Ξ.—[y] καὶ ante οἰκείων om *e*.—[z] ὅτι ὡς Α: ὅπως cum *[s] corr Ω.—[a] ταύτῃ post πάντα ponit *e*.—[b] ταῦτα ante πάντα ponit Ζ, om *e*.—[c] φανοίμην *e*.—[d] κακῶς δὴ πράττοντα *o*.—[e] χείρω Ξ et mg *e*: χείρων *[s].—[f] ὅτι om ΑΞΦΩΖ*bo* et pr *e*.—[g] οὐδὲν ΑΩΖ*beno*: οὐδὲ *[s].—[h] μεταβαλλόμην Ζ.—[i] κοινωνίαν pr Ω.—[k] λόγος Ζ.—[l] ξυνεχεῖς Ζ.—[m] τῶν Ω, τῶν Α*o*.—[n] δὴ νῦν Ζ.—[o] γενόμενος Ω*o*, γενόμενος *n*.—[p] καὶ πάντως ΦΖ*beo* et rc Ω: οὐκ ἔστιν ὃ καὶ παρὰ τοῖς ἀντιγράφοις, κα-

δῆλος] In præced. edit. male δῆλον scriptum est, etiam posita stigme post εἴην. Steph.

χείρων] Non dubito quin scribendum sit χείρω: quam scripturam et Fic. vel invenit, vel ex conjectura in locum illius substituit. Steph.

εἰς λόγον] Non εἰς λόγον sed εἰς καλὸν aut εἰς καιρὸν legisse videtur Ficinus: vertit enim, *Verum mihi opportune jam sermo in eam transit partem, de qua secundo mihi loco dicendum proposui.* Sed ξυνεχὴς sonat *qui cum eo cohæret*, et velut contiguus ei est. Steph.

νῦν δὴ[r] λέγεις ἐμοὶ μεμφόμενον,[s] ὡς Ἡρακλείδου τέ μοι καὶ τῶν ἄλλων πάντων μᾶλλον ἢ σοῦ μέλοι. καί με τούτων ἐναντίον[t] διηρώτησας εἰ μνημονεύω, κατ' ἀρχὰς ὅτ' ἦλθον, κελεύων σε τὰς πόλεις τὰς Ἑλληνίδας κατοικίζειν·[u] ἐγὼ δὲ συνεχώρουν μεμνῆσθαι καὶ ἔτι[v] νῦν μοι δοκεῖν[w] ταῦτ' εἶναι βέλτιστα. ῥητέον δέ, ὦ Διονύσιε, καὶ τοὐπὶ III. iii. 416.
τούτῳ τότε[x] λεχθέν. ἠρόμην γάρ δή σε πότερον αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι[y] μόνον ἤ τι καὶ ἄλλο πρὸς τούτῳ· σὺ δὲ καὶ μάλα ἀπεκρίνω[z] μεμηνιμένως[a] καὶ ὑβριστικῶς εἰς ἐμέ,[b] ὡς ᾤου[c]—διὸ τὸ τότε σοι ὕβρισμα νῦν ὕπαρ ἀντ' ὀνείρατος γέγονεν—, εἶπες δὲ καὶ μάλ' ἀπλάστως[d] γελῶν, εἰ μέμνημαι, ὡς Παιδευθέντα με[e] ἐκέλευες ποιεῖν πάντα[f] ταῦτα ἢ μὴ ποιεῖν. Ἔφην ἐγὼ κάλλιστα μνημονεῦσαί σε. Οὐκοῦν παιδευθέντα, ἔφησθα, γεωμετρεῖν; ἢ πῶς; Κἀγὼ τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι εἰπεῖν οὐκ εἶπον, φοβούμενος μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν προσεδόκων, μή μοι στενὸς γίγνοιτο[g] ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα πάντ' εἴρηται, ταῦτ'[h] ἐστί· μή με διάβαλλε[i] λέγων ὡς οὐκ εἴων ἐγώ σε πόλεις Ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων οἰκίζειν, οὐδὲ Συρακουσίους ἐπικουφίσαι βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὔθ'[k] ἧττον ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύσασθαι, πρὸς δὲ τούτοις ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἄν, εἴ τις ἱκανή[l] που[m] φαίνοιτο κρίσις, ὡς ἐγὼ μὲν ἐκέλευον, σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά· καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα καὶ III. iii. 417.

λῶς mg Ω.—[q] ἐκ om pr Ω.—[r] δὴ νῦν ΦZb, νῦν δή μοι Ξ.—[s] μεμφόμενος ΑΞΦΩZbeno.—[t] ἐναντίων [ο] Ω.—[u] κατοικίζειν [σαι] n.—[v] ἐπεὶ A et pr, ut videtur, Ωo.—[w] δοκεῖ ben.—[x] τότε om Z.—[y] ξυμβουλεῦσαι μοι Ξ.—[z] ἀπεκρίνου Φ.—[a] μεμηνημένως Ξbeo, μεμηνυμένως [η] γρ Z, μεμνημένως ΩZ, μεμνημένως A.—[b] εἰς ἐμὲ om Φ.—[c] ὡς σὺ ᾤου Φ.—[d] . μάλα πλαστῶς γρ Ω.—[e] ἐμὲ Ξ.—[f] πάντα om Φ, post ταῦτα ponunt ΞZ.—[g] γένοιτο n.—[h] καὶ ταῦτ' ΑΦΩb.—[i] διάβαλε Zbo et pr e.—[k] οὔθ' Ae, οὔθ' [χ] Ω: οὐχ

μεμφόμενον] Invenitur etiam scriptum μεμφόμενος: at hic non nominativo sed accusativo est locus: cum quo tamen desiderari videtur verbum infinitivi modi. Steph. Bas. 2. μεμφόμενος. Bip.

Συρακοσίοις[v] δοκοῦν δικαίως οὔτ' ἐμοί, διότι μετὰ Θεοδότου[w] καὶ Εὐρυβίου συνεδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκανὴν πρόφασιν εἶπες ὅτι καὶ πάλαι σοι δῆλος[x] εἴην σοῦ μὲν οὐδὲν φροντίζων, Δίωνος δὲ καὶ τῶν Δίωνος φίλων καὶ[y] οἰκείων, καὶ ἐπειδὴ νῦν Θεοδότης καὶ Ἡρακλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι Δίωνος ὄντες, πᾶν μηχανῴμην ὅπως[z] οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πολιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς· καὶ εἴ τινα ἑτέραν ἀλλοτριότητα ἐνεῖδες ἐν ἐμοὶ πρὸς σέ, εἰκό-
III. iii. 415. τως οἴει ταύτῃ[a] πάντα ταῦτα[b] γεγονέναι. καὶ μὴ θαύμαζε· κακὸς γὰρ ἂν ἔχοντί γε νοῦν ἀνδρὶ φαινοίμην[c] ἐνδίκως πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς τὸν μὲν παλαιὸν φίλον καὶ ξένον, κακῶς πράττοντα[d] διὰ σέ, μηδὲν σοῦ χείρω,[e] ἵνα οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι, σὲ δὲ τὸν ἀδικοῦντα ἑλέσθαι καὶ πᾶν δρᾶν ὅπῃ σὺ προσέταττες, ἕνεκα χρημάτων δῆλον ὅτι·[f] οὐδὲν[g] γὰρ ἂν ἕτερον ἔφησεν αἴτιόν τις εἶναι τῆς ἐμῆς μεταβολῆς, εἰ μετεβαλόμην.[h] ἀλλὰ ταῦτα μὲν ταύτῃ γενόμενα τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν[i] διὰ σὲ ἀπειργάσατο.

Σχεδὸν δ' εἰς λόγον ὁ λόγος[k] ἥκει μοι ξυνεχὴς[l] τῷ[m] νῦν
III. 319. δὴ[n] γενομένῳ,[o] περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκόπει δὴ καὶ πρόσεχε πάντως,[p] ἄν τί σοι ψεύδεσθαι δόξω καὶ μὴ τἀληθῆ λέγειν. φημὶ γάρ σε Ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ Ἀριστοκρίτου, σχεδὸν ἡμέραις πρότερον εἴκοσι τῆς ἐμῆς ἐκ[q] Συρακουσῶν οἴκαδ' ἀποδημίας, ἃ

Ω, συρακουσσίοις ΞΖ.—[w] θεοδότου Z et pr A, θεοδωτου (ο supra) Ω, qui sic et infra.—[x] δῆλός σοι πάλαι Ξ.—[y] καὶ ante οἰκείων om e.—[z] ὅτι ὡς A : ὅπως cum *ς corr Ω.—[a] ταύτῃ post πάντα ponit e.—[b] ταῦτα ante πάντα ponit Z, om e.—[c] φανοίμην e.—[d] κακῶς δὴ πράττοντα o.—[e] χείρω Ξ et mg e : χείρων *ς.—[f] ὅτι om ΛΞΦΩZbo et pr e.—[g] οὐδὲν ΛΩZbeno : οὐδὲ *ς.—[h] μεταβαλλόμην Z.—[i] κοινωνίαν pr Ω.—[k] λόγος Z.—[l] ξυνεχεῖς (αὶ supra) Z.—[m] των Ω, τῶν Ao.—[n] δὴ νῦν Z.—[o] γενόμένος (ω supra) Ωo, γενόμενος n.—[p] καὶ πάντως ΦZbeo et rc Ω : οὐκ ἔστιν ὃ καὶ παρὰ τοῖς ἀντιγράφοις, κα-

δῆλος] In præced. edit. male δῆλον scriptum est, etiam posita stigme post εἴην. Steph.

χείρων] Non dubito quin scribendum sit χείρω : quam scripturam et Fic. vel invenit, vel ex conjectura in locum illius substituit. Steph.

εἰς λόγον] Non εἰς λόγον sed εἰς καλὸν aut εἰς καιρὸν legisse videtur Ficinus : vertit enim, *Verum mihi opportune jam sermo in eam transit partem, de qua secundo mihi loco dicendum proposui.* Sed ξυνεχὴς sonat *qui cum eo cohæret*, et velut contiguus ei est. Steph.

νῦν δὴ[r] λέγεις ἐμοὶ μεμφόμενον,[s] ὡς Ἡρακλείδου τέ μοι
καὶ τῶν ἄλλων πάντων μᾶλλον ἢ σοῦ μέλοι. καί με τού-
των ἐναντίον[t] διηρώτησας εἰ μνημονεύω, κατ' ἀρχὰς ὅτ' ἦλ-
θον, κελεύων σε τὰς πόλεις τὰς Ἑλληνίδας κατοικίζειν·[u]
ἐγὼ δὲ συνεχώρουν μεμνῆσθαι καὶ ἔτι[v] νῦν μοι δοκεῖν[w]
ταῦτ' εἶναι βέλτιστα. ῥητέον δέ, ὦ Διονύσιε, καὶ τοὐπὶ III. iii. 416.
τούτῳ τότε[x] λεχθέν. ἠρόμην γὰρ δή σε πότερον αὐτὸ τοῦτό
σοι ξυμβουλεύσαιμι[y] μόνον ἤ τι καὶ ἄλλο πρὸς τούτῳ· σὺ
δὲ καὶ μάλα ἀπεκρίνω[z] μεμηνιμένως[a] καὶ ὑβριστικῶς εἰς
ἐμέ,[b] ὡς ᾤου[c]—διὸ τὸ τότε σοι ὕβρισμα νῦν ὕπαρ ἀντ'
ὀνείρατος γέγονεν—, εἶπες δὲ καὶ μάλ' ἀπλάστως[d] γελῶν,
εἰ μέμνημαι, ὡς Παιδευθέντα με[e] ἐκέλευες ποιεῖν πάντα[f]
ταῦτα ἢ μὴ ποιεῖν. Ἔφην ἐγὼ κάλλιστα μνημονεῦσαί σε.
Οὐκοῦν παιδευθέντα, ἔφησθα, γεωμετρεῖν; ἢ πῶς; Κἀγὼ
τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι εἰπεῖν οὐκ εἶπον, φοβούμενος
μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν προσεδόκων, μή
μοι στενὸς γίγνοιτο[g] ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα
πάντ' εἴρηται, ταῦτ'[h] ἐστί· μή με διάβαλλε[i] λέγων ὡς
οὐκ εἴων ἐγώ σε πόλεις Ἑλληνίδας ἐῤῥούσας ὑπὸ βαρβά-
ρων οἰκίζειν, οὐδὲ Συρακουσίους ἐπικουφίσαι βασιλείαν ἀν-
τὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὔθ'[k] ἧττον ἐμοὶ
πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύσασθαι, πρὸς
δὲ τούτοις ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ
δοίην ἄν, εἴ τις ἱκανὴ[l] που[m] φαίνοιτο κρίσις, ὡς ἐγὼ μὲν
ἐκέλευον, σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά· καὶ μὴν οὐ χα- III. iii. 417.
λεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα καὶ

λῶς mg Ω.—[q] ἐκ om pr Ω.—[r] δὴ νῦν ΦZb, νῦν δή μοι Ξ.—[s] μεμφόμενος ΑΞΦΩZbe
ο σαι
no.—[t] ἐναντίων Ω.—[u] κατοικίζειν n.—[v] ἐπεὶ A et pr, ut videtur, Ωo.—[w] δοκεῖ ben.
—[x] τότε om Z.—[y] ξυμβουλεῦσαι μοι Ξ.—[z] ἀπεκρίνου Φ.—[a] μεμηνημένως Ξbeo,
η
μεμηνυμένως γρ Z, μεμνημένως ΩZ, μεμνημένως A.—[b] εἰς ἐμὲ om Φ.—[c] ὡς σὺ ᾤου
Φ.—[d] . μάλα πλαστῶς γρ Ω.—[e] ἐμὲ Ξ.—[f] πάντα om Φ, post ταῦτα ponunt ΞZ.—
χ
[g] γένοιτο n.—[h] καὶ ταῦτ' ΑΦΩb.—[i] διάβαλε Zbo et pr e.—[k] οὔθ' Ae, οὔθ' Ω: οὐχ

μεμφόμενον] Invenitur etiam scriptum μεμφόμενος: at hic non nominativo sed accusativo est locus: cum quo tamen desiderari videtur verbum infinitivi modi. Steph. Bas. 2. μεμφόμενος. Bip.

σοὶ καὶ Συρακοσίοις[n] *καὶ Σικελιώταις πᾶσιν. ἀλλ' ὦ τάν,*[o] *εἰ μὲν*[p] *μὴ φῇς*[q] *εἰρηκέναι εἰρηκὼς ταῦτα, ἔχω τὴν δίκην· εἰ δ' ὁμολογεῖς, τὸ μετὰ τοῦτο*[r] *ἡγησάμενος εἶναι σοφὸν τὸν Στησίχορον, τὴν παλινῳδίαν αὐτοῦ μιμησάμενος, ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσει.*[s]

*s.—[l] ἱκανὴν e.—[m] εἴπου τις Ω.—[n] συρακοσίοις (σ above) Ω: συρακουσίοις *s.—[o] ὦ τᾶν corr Ω.—[p] μὲν om e.—[q] μὴ φῇς Ae, φῇς ΞΦΩZbn et (qui in margine habet μὴ) o; φῇς μὴ (ἴσῃ above) s.—[r] τοῦτο n.—[s] μεταστήσει AΩZ, μετάστηθι o: μετάστηθι *s.

ΕΠΙΣΤΟΛΗ

Δ.

Πλάτων Δίωνι Συρακοσίῳ εὖ πράττειν.

Οἶμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν περὶ τὰς συμβεβηκυίας πράξεις, καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτῶν σπουδὴν εἰς τὸ ξυμπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας· νομίζω γὰρ δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα τυγχάνειν δόξης[a] τῆς προσηκούσης. τὰ μὲν οὖν εἰς τὸ παρὸν σὺν θεῷ εἰπεῖν, ἔχει καλῶς, τὰ δὲ περὶ τῶν μελλόντων ὁ μέγιστός ἐστιν ἀγών. ἀνδρείᾳ μὲν γὰρ καὶ τάχει καὶ ῥώμῃ διενεγκεῖν δόξειεν ἂν καὶ ἑτέρων εἶναί τινων, ἀληθείᾳ δὲ καὶ δικαιοσύνῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ πάντα ταῦτα[b] εὐσχημοσύνῃ, ξυμφαίη τις ἂν τοὺς[c] ἀντιποιουμένους τὰ τοιαῦτα τιμᾶν εἰκότως τῶν ἄλλων διαφέρειν. νῦν οὖν δῆλον μὲν[d] ἐστιν ὃ[d] λέγω, ἀναμιμνήσκειν δὲ ὅμως δεῖ ἡμᾶς αὐτοὺς[e] ὅτι προσήκει[f] πλέον ἢ παίδων τῶν ἄλλων ἀνθρώπων[g] διαφέρειν τοὺς[h]

III. iii. 418. III. 320. III. iii. 419.

CODICES DUODECIM,
ΑΞΦΩZ b d e f h n o.

[a] δόξης τυγχάνειν Φb.—[b] ταῦτα πάντα dfn.—[c] ἂν τοὺς om pr ΑΩ.—[d] μὲν...ἡμᾶς om d.—[e] αὐτοὺς om pr e.—[f] προσήκει om b.—[g] ἀνθρώπων om Z.—[h] οὓς Φb, om f.

οἶσθα δή που. φανεροὺς οὖν δεῖ ἡμᾶς γενέσθαι ὅτι ἐσμὲν τοιοῦτοι οἷοί περ φαμέν, ἄλλως τε καὶ ἐπειδὴ σὺν θεῷ εἰπεῖν[i] ῥᾴδιον ἔσται. τοῖς μὲν γὰρ ἄλλοις συμβέβηκεν ἀναγκαῖον εἶναι πλανηθῆναι πολὺν τόπον, εἰ μέλλουσι γνωσθῆναι· τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦτόν ἐστιν ὥστε[k] τοὺς ἐξ ἁπάσης τῆς οἰκουμένης, εἰ καὶ νεανικώτερόν ἐστιν εἰπεῖν, εἰς ἕνα τόπον ἀποβλέπειν, καὶ[l] ἐν τούτῳ[m] μάλιστα πρὸς σέ. ὡς οὖν[n] ὑπὸ πάντων ὁρώμενος παρασκευάζου τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον[o] ἀποδείξων καὶ τὸν Κῦρον καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει[p] καὶ πολιτείᾳ διενεγκεῖν, ἄλλως τε καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅπαντες οἱ τῇδε λέγουσιν ὡς πολλή ἐστιν ἐλπὶς ἀναιρεθέντος Διονυσίου διαφθαρῆναι τὰ πράγματα διὰ τὴν σήν τε καὶ Ἡρακλείδου καὶ Θεοδότου[q] καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν. μάλιστα μὲν οὖν μηδεὶς εἴη[r] τοιοῦτος· ἐὰν δ' ἄρα καὶ γίγνηταί τις,[s] σὺ φαίνου ἰατρεύων, καὶ πρὸς τὸ βέλτιστον
III. 321. III. iii. 420. ἔλθοιτ' ἄν. ταῦτα δὲ ἴσως γελοῖόν σοι φαίνεται εἶναι[t] τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς· ἐγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παίδων παροξυνομένους, μή τι δὴ ὑπό γε τῶν φίλων, οὓς ἄν τις οἴηται μετὰ σπουδῆς κατ'[u] εὔνοιαν παρακελεύεσθαι. νῦν οὖν αὐτοί τε ἀγωνίζεσθε καὶ ἡμῖν εἴ του δεῖ ἐπιστέλλετε. τὰ δ' ἐνθάδε παραπλησίως ἔχει καθά περ καὶ ὑμῶν παρόντων. ἐπιστέλλετε δὲ καὶ ὅ τι πέπρακται ὑμῖν[v] ἢ πράττοντες τυγχάνετε, ὡς ἡμεῖς πολλὰ ἀκούοντες οὐδὲν ἴσμεν. καὶ νῦν ἐπιστολαὶ παρὰ μὲν Θεοδότου καὶ Ἡρακλείδου ἥκουσιν εἰς[w] Λακεδαίμονα καὶ Αἴγιναν, ἡμεῖς δέ, καθά[x] περ εἴρηται,[y]

—[i] εἰπεῖν om Z.—[k] ὡς AZhn et pr Ω.—[l] καὶ om f.—[m] ἐν τῷ τούτου dfh.—[n] οὖν om Φb.—[o] ἀρχαίων b.—[p] ἔδοξεν ἤθει πώποτε Φb.—[q] θεοδώτου Z et pr A, θεοδώτου Ω.—[r] εἴη om dfh.—[s] γίγνοιτο μοί τις Z.—[t] εἶναι om Ξ.—[u] μετ' d.—[v] ἡμῖν A et pr,

τοὺς οἶσθα] Pro vocula *τοὺς* (quæ nullum hic locum habere potest) videtur Fic. legisse *ὡς*. Steph. qui sic in Not. 'Pro *τοὺς* (quod nullo defendi modo potest) videtur ita legisse Fic. vertit enim, *ut te non latet*. Sed idem præcedentia verba ita interpretatur quasi legerit *πλέον ἢ ἄνδρας παίδων* etc. Qua de re disserui quadam in p. 279. annotatione, ubi hoc ipso loquendi genere Plato utitur.'

αὐτοί τε—καὶ] Non ita hæc legit Fic. ut opinor, ut hæ particulæ *τε* et *καὶ* sibi responderent: alioqui mirum fuerit illum quoque vertisse *ἀγωνίζεσθε* *certatis* potius quam *certate*. Steph.

πολλὰ ἀκούοντες περὶ τῶν τῆδε[z] οὐδὲν ἴσμεν. ἐνθυμοῦ δὲ καὶ ὅτι δοκεῖς τισὶν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι· μὴ οὖν λανθανέτω σε ὅτι διὰ τοῦ[a] ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστίν, ἡ δ' αὐθάδεια[b] ἐρημίᾳ ξύνοικος. Εὐτύχει.[c]

ut videtur, Ω.—[w] οἱ d.—[x] καθῶς b.—[y] ἔφημεν Φb.—[z] περὶ τῶν τῆδε om Φbdſh.—[a] τὸ Z.—[b] αὐθαδία Ξ.—[c] εὐτύχει om pr Ω.

ΕΠΙΣΤΟΛΗ

Ε.

Πλάτων Περδίκκᾳ εὖ πράττειν.

III. iii. 421. Εὐφραίῳ μὲν συνεβούλευσα,[a] καθά περ ἐπέστελλες,[b] τῶν σῶν ἐπιμελούμενον περὶ ταῦτα διατρίβειν· δίκαιος δ' εἰμὶ καὶ σοὶ[c] ξενικὴν καὶ ἱερὰν ξυμβουλὴν λεγομένην[d] ξυμβουλεύειν[e] περί τε τῶν ἄλλων ὧν ἂν φράζῃς[f] καὶ ὡς Εὐφραίῳ δεῖ τὰ νῦν χρῆσθαι. πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρήσιμος, μέγιστον δὲ οὗ καὶ σὺ νῦν[g] ἐνδεὴς εἶ διά τε τὴν ἡλικίαν καὶ διὰ τὸ μὴ[h] πολλοὺς αὐτοῦ πέρι ξυμβούλους[i] εἶναι τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης καθαπερεί τινων ζώων, ἄλλη μὲν δημοκρατίας, ἄλλη δ'

CODICES TREDECIM,
ΑΞΦΩΖ*bcdefhno*.

[a] συνεβούλευσας *fk*.—[b] ἐπέστελλε Ω, ἐπέστελλε Α, ἐπέστελλον *c*.—[c] σοὶ add ΑΞΦΩΖ*bcdefho*.—[d] λεγομένων *c*, καὶ λεγομένην ΞΩ*e*.—[e] ξ. Ζ*c*.—[f] φράζῃς ἂν Ξ.—[g] νῦν in mg ΑΩ.—[h] μὴ om *c*.—[i] ξυμβόλους Ξ.—[k] ἢ δ' αὖ μοναρχίας om Φ.—[l] φαῖ-

ΠΛΑΤΩΝ] Legitur etiam Δίων. Steph. qui sic in Not. 'Lectionem Δίων pro Πλάτων, sequitur Ficinus: Cicero tamen quæ sumit ex hac epistola, Platoni adscribit: quum alioqui verba illa quæ sunt in fine, ταυτὸν δὴ οἶμαι δρᾶσαι etc. permittere non videantur ut id credamus. Ac responderi posset fortasse, Platoni a Cicerone adscribi, quatenus in Platonis persona dicuntur: id est, ab eo qui Platonem ipsius Platonis verbis excusat.'

ὀλιγαρχίας, ἡ δ' αὖ μοναρχίας.[k] ταύτας φαῖεν[l] μὲν[m] ἂν
ἐπίστασθαι πάμπολλοι, πλεῖστον[n] δ' ἀπολείπονται τοῦ κα- III. iii. 422.
τανοεῖν αὐτάς[o]· πλὴν ὀλίγων δή τινων. ἣ τις μὲν ἂν οὖν τῶν
πολιτειῶν τὴν αὑτῆς φθέγγηται φωνὴν πρός τε θεοὺς καὶ
πρὸς ἀνθρώπους, καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδι-
δῷ, θάλλει τε αἰεὶ καὶ σώζεται, μιμουμένη δ' ἄλλην φθεί-
ρεται.[p] πρὸς ταῦτ' οὖν Εὐφραῖός σοι γίγνοιτ' οὐχ ἥκιστα
ἂν χρήσιμος, καί[q] περ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος· τοὺς
γὰρ τῆς μοναρχίας λόγους οὐχ ἥκιστ' αὐτὸν ἐλπίζω[r] ξυν- III. 322.
εξευρήσειν[s] τῶν περὶ τὴν[t] σὴν διατριβὴν ὄντων. εἰς ταῦτ'
οὖν[u] αὐτῷ χρώμενος ὀνήσει[v] τε αὐτὸς καὶ ἐκεῖνον πλεῖστα
ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, Πλάτων,[w] ὡς
ἔοικε, προσποιεῖται μὲν τὰ δημοκρατίᾳ ξυμφέροντα εἰδέναι,
ἐξὸν δ' ἐν τῷ δήμῳ λέγειν καὶ συμβουλεύειν[x] αὐτῷ τὰ
βέλτιστα[y] οὐ[z] πώποτε ἀναστὰς ἐφθέγξατο, πρὸς ταῦτ'
εἰπεῖν ἔστιν[a] ὅτι Πλάτων ὀψὲ ἐν[b] τῇ πατρίδι γέγονε καὶ
τὸν δῆμον κατέλαβεν ἤδη[c] πρεσβύτερον καὶ εἰθισμένον ὑπὸ
τῶν ἔμπροσθεν πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου ξυμβουλῇ
πράττειν, ἐπεὶ πάντων ἂν ἥδιστα καθά περ πατρὶ συνεβού-

μεν Adfkn et pr Ω.—[m] *μὲν* om AΦbdfh et pr Ω.—[n] *πλείστων* *d*.—[o] *αὐτὰς* om Φ.—[p] *φθείρεται* Abdfkno et pr Ω : *τὰ πλείω ἀντίγραφα δίχα τῆς διά* mg ΩZc : *διαφθείρεται* *s.—[q] *καὶ* post *καίπερ* om Ξs.—[r] *ἐλπίζων* AΦΩZbc, *μᾶλλον* *bfh*.—[s] ξ. AΦΩZ *bcdfn*.—[t] in *τὴν* desinit *c*.—[u] *ταὐτὸν* A et pr Ω.—[v] *ὀνήσει* Z.—[w] *πλάττων* Z.—[x] ξ. *defkn*.—[y] *μέγιστα*, adscripto *βέλτιστα*, Z.—[z] *οὐδὲ* *dh*.—[a] *ἐστιν* om ΞΦbdfo.—[b] *ἐν* om *df*, quorum *f* post *πατρίδι* addit hæc *ἐν τῇ πατρίδι*.—[c] *ἤδη κατέλαβεν* *e*.

εἰπεῖν ἐστιν ὅτι] Ald. Bas. 1. 2. *εἰπεῖν ὅτι*, omisso *ἐστίν*: quod addendum primus vidit Cornar. Ficinus, *Ad hæc respondebitur*. Bip.

ἐν τῇ πατρίδι] Si hic locus is est ex quo Cicero sumit quæ scribit epistola libri primi nona (earum quæ scriptæ sunt ad familiares) aut plura quam habeamus hic legit, aut quædam partim a se partim ex alio loco (quod potius credo) addidit. Ejus verba hæc sunt, 'Id enim jubet idem ille Plato quem ego autorem vehementer sequor, Tantum contendere in republ. quantum probare tuis civibus possis: vim neque parenti neque patriæ afferre oportere. Atque hanc quidem ille causam sibi ait non attingendæ reipubl. fuisse, quod quum offendisset populum Atheniensem prope jam desipientem senectute, quumque eum nec persuadendo nec cogendo regi posse vidisset, quum persuaderi posse diffideret, cogi fas esse non arbitraretur.' Ex his certe alia dicuntur a Platone, (aut saltem in persona Platonis, ut docui in annot. quæ proximam præcedit) alia ex iis quæ dicit colligi possunt: ex iis, inquam, quæ dicit, partim hic, partim epistola septima: et quidem potissimum p. 330. et 331. Sed quod ad verba hæc attinet, *quum offendisset populum Atheniensem prope jam desipientem senectute*, paulo hic liberior est Ciceronis interpretatio, si in illa non ad alia verba respexit quam ista, *καὶ τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον*. Vide et annot. in quendam locum p. 331. Steph.

λευεν[d] αὐτῷ, εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο, πλέον δ' III. iii. 423. οὐδὲν ποιήσειν. ταὐτὸν δὴ[e] οἶμαι δρᾶσαι ἂν καὶ τὴν ἐμὴν ξυμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν, πολλὰ ἂν χαίρειν ἡμῖν εἰπὼν ἐκτὸς ἂν γίγνοιτο τῆς περὶ ἐμὲ καὶ τὰ ἐμὰ ξυμβουλῆς. Εὐτύχει.[f]

—[d] *συνεβούλευον d.*—[e] δ' *n*, δεῖ *e*.—[f] Εὐτύχει add ΑΞΦΩΖ*bdefkno*.

καὶ τὴν ἐμὴν] Scribendum puto *καὶ περὶ τὴν ἐμὴν ξυμβουλήν*: et sensum esse, *Idem illum facturum fuisse puto quod attinet ad dandum mihi consilium.* Tunc enim apte sequetur, *Si enim insanabiles videremur, etc.* Hic autem locus (quemadmodum antea dixi) permittere non videtur ut Platonis hanc esse epistolam credamus. Steph. Ficin. *idem quoque circa consilium.* Bip.

ΕΠΙΣΤΟΛΗ

ϛ.

Πλάτων Ἑρμείᾳ καὶ Ἐράστῳ καὶ Κορίσκῳ[a] εὖ πράττειν.[b]

Ἐμοὶ φαίνεται θεῶν τις ὑμῖν τύχην[c] ἀγαθήν, ἂν εὖ[d] δέξησθε, εὐμενῶς καὶ ἱκανῶς παρασκευάζειν· οἰκεῖτε γὰρ δὴ III. iii. 424.
γείτονές τε[e] ὑμῖν αὐτοῖς καὶ χρείαν ἔχοντες ὥστε ἀλλήλους εἰς τὰ μέγιστα ὠφελεῖν. Ἑρμείᾳ μὲν γὰρ οὔτε ἵππων πλῆθος οὔτε ἄλλης πολεμικῆς συμμαχίας οὐδ' αὖ χρυσοῦ προσγενομένου γένοιτ' ἂν μείζων εἰς τὰ πάντα δύναμις, ἢ φίλων βεβαίων τε καὶ ἦθος ἐχόντων ὑγιές· Ἐράστῳ δὲ καὶ Κορίσκῳ, πρὸς τῇ τῶν εἰδῶν σοφίᾳ τῇ καλῇ ταύτῃ[f] φήμ' ἐγώ, καί περ γέρων ὤν, προσδεῖν σοφίας τῆς[g] περὶ τοὺς πονηροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως· ἄπειροι γάρ εἰσι διὰ τὸ μεθ' ἡμῶν[h] μετρίων ὄντων καὶ οὐ κακῶν[i] συχνὸν διατετριφέναι τοῦ βίου. III. iii. 425.
διὸ δὴ τούτων προσδεῖν[k] εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς ἀληθινῆς[l] μὲν[m] ἀμελεῖν σοφίας, τῆς δὲ ἀνθρωπίνης τε καὶ

CODICES NOVEM,
ΑΞΦΩΖbeno.

[a] διοσκόρῳ o.—[b] εὖ πράττειν om Φ.—[c] ψυχὴν A et pr, ut videtur, Ω.—[d] εὖ om n.—[e] τε om Z.—[f] ταύτῃ τῇ καλῇ e.—[g] ταῖς s.—[h] ὑμῶν n.—[i] καλῶν n.—[k] τούτων προσδεῖν in mg ponunt ΑΩ.—[l] ἀληθοῦς n.—[m] μὲν om A et pr Ω.—[n] ᾗ A et pr

ἀναγκαίας ἐπιμελεῖσθαι μειζόνως ἣ[n] δεῖ. ταύτην δ' αὖ τὴν δύναμιν Ἑρμείας μοι φαίνεται φύσει τε, ὅσα μήπω
III. 323. ξυγγεγονότι, καὶ τέχνῃ δι' ἐμπειρίας εἰληφέναι. τί οὖν δὴ λέγω; σοὶ μέν, Ἑρμεία, πεπειραμένος[o] Ἐράστου καὶ Κορίσκου πλέονα ἢ σύ, φημὶ καὶ μηνύω καὶ μαρτυρῶ μὴ ῥᾳδίως εὑρήσειν σε ἀξιοπιστότερα ἤθη τούτων τῶν γειτόνων· ἔχεσθαι δὴ παντὶ ξυμβουλεύω δικαίῳ τρόπῳ τούτων τῶν ἀνδρῶν, μὴ πάρεργον ἡγουμένῳ· Κορίσκῳ δὲ καὶ Ἐράστῳ πάλιν Ἑρμείου ἀντέχεσθαι ξύμβουλός[p] εἰμι καὶ πειρᾶσθαι ταῖς ἀνθέξεσιν ἀλλήλων εἰς μίαν ἀφικέσθαι φιλίας ξυμπλοκήν. ἂν δέ τις ὑμῶν ἄρα ταύτην πῃ λύειν δοκῇ, τὸ γὰρ ἀνθρώπινον οὐ παντάπασι[q] βέβαιον, δεῦρο παρ' ἐμὲ καὶ τοὺς ἐμοὺς[r] πέμπετε μομφῆς κατήγορον ἐπιστολήν· οἶμαι γὰρ δίκῃ τε καὶ αἰδοῖ τοὺς παρ' ἡμῶν[s] ἐντεῦθεν ἐλθόντας λόγους, εἰ μή τι τὸ[t] λυθὲν μέγα τύχοι[u] γενόμενον, ἐπῳδῆς ἡστινοσοῦν μᾶλλον ἂν συμφῦσαι[v] καὶ συνδῆσαι πά-
III. iii. 426. λιν εἰς τὴν προϋπάρχουσαν φιλότητά τε καὶ κοινωνίαν, ἣν[w] ὅταν[x] μὲν φιλοσοφῶμεν ἅπαντες ἡμεῖς τε καὶ ὑμεῖς, ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ, κύρια τὰ νῦν κεχρησμῳδημένα ἔσται·[y] τὸ[z] δὲ ἂν μὴ δρῶμεν ταῦτα οὐκ ἐρῶ· φήμην γὰρ ἀγαθὴν μαντεύομαι, καὶ φημὶ δὴ[a] ταῦθ' ἡμᾶς[b] πάντ' ἀγαθὰ ποιήσειν, ἂν θεὸς ἐθέλῃ.

Ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας ἀναγνῶναι χρή, μάλιστα μὲν ἀθρόους, εἰ δὲ μή, κατὰ δύο κοινῇ[c] κατὰ δύναμιν ὡς[d] οἷόν τ' ἐστὶ πλειστάκις,[e] καὶ χρῆσθαι συνθήκῃ καὶ νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιον, ἐπομνύντας σπουδῇ τε ἅμα[f] μὴ ἀμούσῳ καὶ τῇ[g] τῆς σπουδῆς ἀδελφῇ παιδιᾷ,[h] καὶ τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ἐπομνύντας,[i] ὅν, ἂν ὄντως φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.[k]

Ω.—[o] πεπειρασμένος (οι) e.—[p] ξύμβολος (συ) o.—[q] πᾶσι π.—[r] ἐμῆς Ζ.—[s] ὑμῶν e.—[t] τοι Φ.—[u] τύχῃ π, τύχῃ Ξ.—[v] ἐμφῦσαι ΑΩο, ἐμφῦσαι ΦΖb.—[w] ἣ e et γρ Ω.—[x] ἂν e et γρ ΑΩο.—[y] εἶναι Ξ.—[z] τοῦτο Φ.—[a] δὴ om π.—[b] ὑμᾶς mg e.—[c] κατὰ δύο κοινῇ om ϛ.—[d] ὡς om π.—[e] πολλάκις Φ.—[f] μάλα ΞΖ et (adscripto ἅμα) ΑΩο.—[g] τῇ om pr ΑΩ.—[h] libri παιδείᾳ.—[i] ἐπομνύντας om π.—[k] εὐδαιμονίαν Φ.

ΕΠΙΣΤΟΛΗ

Ζ.

Πλάτων τοῖς[a] Δίωνος οἰκείοις τε καὶ ἑταίροις[b] εὖ πράττειν.[c]

Ἐπεστείλατέ[d] μοι νομίζειν δεῖν τὴν διάνοιαν ὑμῶν[e] εἶναι III. iii. 427
τὴν αὐτὴν ἣν εἶχε[f] καὶ Δίων, καὶ δὴ καὶ κοινωνεῖν διεκε-
λεύεσθέ[g] μοι, καθ' ὅσον οἷός τ' εἰμὶ ἔργῳ καὶ λόγῳ.[h] ἐγὼ III. 324.
δέ, εἰ μὲν δόξαν καὶ ἐπιθυμίαν τὴν αὐτὴν ἔχετε[i] ἐκείνῳ,
ξύμφημι κοινωνήσειν, εἰ δὲ μή, βουλεύσεσθαι[k] πολλάκις.
τίς δ' ἦν ἡ ἐκείνου διάνοια καὶ ἐπιθυμία, σχεδὸν οὐκ εἰκά-
ζων[l] ἀλλ' ὡς εἰδὼς σαφῶς εἴποιμ' ἄν. ὅτε[m] γὰρ[n] κατ' ἀρ-
χὰς εἰς Συρακούσας[o] ἐγὼ[p] ἀφικόμην σχεδὸν ἔτη τετταρά-
κοντα γεγονώς, Δίων εἶχε τὴν ἡλικίαν ἣν τὰ νῦν Ἱππαρῖ-
νος γέγονε, καὶ ἣν[q] ἔσχε τότε δόξαν, ταύτην καὶ διετέλεσεν III. iii. 428.
ἔχων, Συρακοσίους[r] οἴεσθαι δεῖν ἐλευθέρους εἶναι, κατὰ νό-

CODICES NOVEM,

ΑΞΦΩbdeio.

[a] τῆς Ξ.—[b] ἑτέροις Ξi.—[c] εὖ πράττειν om Φbi.—[d] ἀπεστείλατέ b.—[e] ἡμῶν i.—[f] ἔχει i.—[g] διακελεύεσθέ Ξ.—[h] λόγοις ΑΩ, λόγοις di.—[i] εἴχετε i.—[k] βουλεύεσθαι Ω, βουλεύεσθαι ΑΦ, βουλεύεσθαι i, βουλεύεσθε bo, βούλεσθε d.—[l] εἰκάζειν i.—[m] ἔτι di.—[n] γὰρ om di.—[o] συρρακούσας d.—[p] ἐγὼ ante κατ' ponunt di.—[q] ἣν δὲ di.—[r] συρακουσίους (ut solet) Α, συρακοσίους Ω, συρακουσσίους Ξ, συρρακουσίους b.

μους τοὺς ἀρίστους οἰκοῦντας· ὥστε[s] οὐδὲν θαυμαστὸν εἴ τις θεῶν καὶ τοῦτον εἰς τὴν αὐτὴν[t] δόξαν περὶ πολιτείας ἐκείνῳ γενέσθαι[u] σύμφρονα[v] ποιήσειε. τίς δ' ἦν ὁ τρόπος τῆς γενέσεως αὐτῆς; οὐκ ἀπάξιον ἀκοῦσαι νέῳ καὶ μὴ νέῳ, πειράσομαι δὲ ἐξ ἀρχῆς αὐτὴν ἐγὼ πρὸς ὑμᾶς διεξελθεῖν· ἔχει γὰρ καιρὸν τὰ νῦν.

Νέος ἐγώ ποτε ὢν πολλοῖς δὴ ταὐτὸν ἔπαθον· ᾠήθην, εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι. καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως πραγμάτων τοιαίδε παρέπεσον. ὑπὸ πολλῶν γὰρ τῆς τότε πολιτείας λοιδορουμένης μεταβολὴ γίγνεται, καὶ τῆς μεταβολῆς εἷς καὶ πεντήκοντά τινες ἄνδρες προὔστησαν ἄρχοντες, ἕνδεκα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ, περί τε ἀγορὰν ἑκάτεροι τούτων ὅσα τ' ἐν τοῖς ἄστεσι διοικεῖν ἔδει, τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. τούτων δή τινες οἰκεῖοί τε ὄντες καὶ γνώριμοι ἐτύγχανον ἐμοί, καὶ δὴ καὶ[w] παρεκάλουν εὐθὺς ὡς ἐπὶ προσήκοντα πράγματά με.
III. iii. 429. καὶ ἐγὼ θαυμαστὸν οὐδὲν ἔπαθον ὑπὸ νεότητος· ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου βίου ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν, ὥστε αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξοιεν.[x] καὶ ὁρῶν δή που τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσὸν[y] ἀποδείξαντας τὴν ἔμπροσθεν πολιτείαν, τά τε ἄλλα καὶ φίλον ἄνδρα ἐμοὶ πρεσβύτερον Σωκράτη, ὃν ἐγὼ σχεδὸν οὐκ ἂν αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε, ἐπί τινα τῶν πολιτῶν μεθ'[a] ἑτέρων ἔπεμπον, βίᾳ
III. 325. ἄξοντα ὡς ἀποθανούμενον, ἵνα δὴ[z] μετέχοι τῶν πραγμάτων αὐτοῖς, εἴτε βούλοιτο εἴτε μή· ὁ δ' οὐκ ἐπείθετο, πᾶν δὲ

—[s] ὥς γε A et (ut videtur) pr Ω.—[t] αὐτῶν ΑΩco, αὐτὴν mg Ω.—[u] ἐκείνῳ γενέσθαι Φb.—[v] σύμφρονα ΑΞΦΩbe: σύμφωνα *ς.—[w] καὶ om ΑΦb et pr Ω.—[x] πράξειεν (οι) e, πράξειεν Φbo.—[y] χρυσὸν A et pr Ω: χρυσῆν *ς.—[z] μὴ δὲ Ξ.—[a] ἔτι γρ ΑΩ.—

σύμφωνα] Non dubito quin scribendum sit *σύμφωνον*. Steph. qui sic in Not. 'Lectionem *σύμφωνον*, plane ἀνεξέλεγκτον esse puto. Intelligo autem *τοῦτον* de Hipparino.' Ficin. *hunc consentientem*. Bip.

ὁρῶν] Legendum censeo *ὁρῶ*: et post *πολιτείαν* ponendam stigmen *τελείαν*: deinde post *τά τε* ponendam particulam *γάρ*: ut scribatur, *τά τε γὰρ ἄλλα καὶ* etc. Recte autem *ἄξοντα*, quum ad solum Socratem referatur: quod quamvis missus esset *μεθ' ἑτέρων* sicut dixit, ei tamen præcipue adducendi illius provincia data esset. Steph. Ficin. *Verum animadverti—nam et alia*. Bip.

παρεκινδύνευσε παθεῖν πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός· ἃ δὴ πάντα καθορῶν καὶ εἴ τιν'[a] ἄλλα τοιαῦτα οὐ σμικρά, ἐδυσχέρανά τε καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν. χρόνῳ δὲ οὐ πολλῷ μετέπεσε[b] τὰ τῶν τριάκοντά τε καὶ[c] πᾶσα ἡ τότε[d] πολιτεία. πάλιν δὲ βραδύτερον[e] μέν, εἷλκε δέ με ὅμως ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία. ἦν οὖν καὶ ἐν ἐκείνοις, ἅτε τεταραγμένοις, πολλὰ γιγνόμενα ἅ τις ἂν δυσχεράνειεν, καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίγνεσθαί τινάς τισι μείζους ἐν μεταβολαῖς· καί τοι πολλῇ[f] γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. κατὰ δέ τινα τύχην III. iii. 480.
αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες εἰσάγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβάλλοντες[g] καὶ πάντων ἥκιστα Σωκράτει προσήκουσαν· ὡς ἀσεβῆ γὰρ[h] οἱ μὲν εἰσήγαγον, οἱ δὲ κατεψηφίσαντο καὶ ἀπέκτειναν[i] τὸν τότε τῆς ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μετασχεῖν περὶ ἕνα τῶν τότε φευγόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί. σκοποῦντι δή μοι ταῦτά τε καὶ τοὺς ἀνθρώπους τοὺς[j] πράττοντας τὰ πολιτικά, καὶ τοὺς νόμους γε[k] καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε[l] εἰς τὸ πρόσθε[m] προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς εἶναί μοι τὰ πολιτικὰ διοικεῖν. οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ ἑταίρων πιστῶν οἷόν τ' εἶναι πράττειν,[n] οὓς οὔθ' ὑπάρχοντας[o] ἦν εὑρεῖν εὐπετές, οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ ἐπιτηδεύμασιν ἡ πόλις ἡμῶν διῳκεῖτο, καινούς τε ἄλλους ἀδύνατον ἦν κτᾶσθαι μετά τινος ῥᾳστώνης, τά τε τῶν νόμων γράμματα καὶ ἔθη διεφθείρετο καὶ ἐπεδίδου θαυμαστὸν ὅσον, ὥς τέ με,[p] τὸ πρῶτον πολλῆς μεστὸν

[b] μετέπεσεν Ξ.—[c] καὶ om Φb.—[d] τότε ἡ πᾶσα A et pr Ω, ἡ πᾶσα τότε Ξ, πᾶσά τε ἡ τότε Φ et rc b.—[e] βαρύτερον pr ΑΩ.—[f] πολλῷ e.—[g] ἐπιβαλόντες A et pr Ω.—
[h] lacuna in Ξ.—[i] κατέκτειναν Φb.—[j] τοὺς post ἀνθρώπους om Ξ.—[k] γε Ω, τε Φb.—[l] τε καὶ b.—[m] πρόσθε ΑΩ : πρόσθεν *s.—[n] οἷόν τ' εἶναι πράττειν om o.—[o] ἔχοντ-

φευγόντων] Legitur etiam φυγόντων. Suspectus autem mendi locus hic esse possit, et quidem propter illa potissimum verba, περὶ ἕνα. Ad ἀνόσιον certe ἀγωγὴν quod attinet, intelligenda hæc puto de eo quod dixit in fine pag. præcedentis, Socratem missum fuisse cum aliis, ad quendam ex civibus, βίᾳ ἄξοντα ὡς ἀποθανούμενον. Steph.

ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινά, βλέποντα εἰς ταῦτα
III. iii. 431. καὶ φερόμενα ὁρῶντα πάντῃ πάντως, τελευτῶντα ἰλιγγιᾷν,
καὶ τοῦ μὲν σκοπεῖν μὴ[q] ἀποστῆναι πῇ ποτὲ ἄμεινον ἂν[r]
γίγνοιτο περί τε αὐτὰ ταῦτα[s] καὶ δὴ καὶ περὶ τὴν πᾶσαν
III. 326. πολιτείαν, τοῦ δὲ πράττειν αὖ[t] περιμένειν αἰεὶ καιρούς, τελευτῶντα δὲ νοῆσαι περὶ πασῶν τῶν νῦν πόλεων[u] ὅτι κακῶς ξύμπασαι πολιτεύονται· τὰ γὰρ τῶν νόμων αὐταῖς σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν ἄνευ παρασκευῆς θαυμαστῆς τινὸς μετὰ τύχης. λέγειν τε ἠναγκάσθην, ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ἐκ[v] ταύτης ἔστι τά τε πολιτικὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα κατιδεῖν· κακῶν οὖν οὐ λήξειν τὰ ἀνθρώπινα γένη, πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε[w] καὶ ἀληθῶς γένος εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς ἢ τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν ἔκ τινος μοίρας θείας ὄντως φιλοσοφήσῃ.

Ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σικελίαν[x] ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλιωτικῶν τε καὶ Συρακουσίων τραπεζῶν[y] πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε, δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον[z] ζῆν καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτῳ[a] ἐπιτηδεύματα ξυνέπεται τῷ βίῳ·
III. iii. 432. ἐκ γὰρ τούτων τῶν ἐθῶν οὔτ᾽ ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, οὐχ[b] οὕτω[c] θαυμαστῇ φύσει κραθήσεται,[d] σώφρων δὲ οὐδ᾽ ἂν μελλήσαι[e] ποτὲ γενέσθαι, καὶ δὴ καὶ περὶ τῆς ἄλλης ἀρετῆς ὁ αὐτὸς λόγος ἂν εἴη. πόλις τε οὐδεμία ἂν ἠρεμήσαι[f] κατὰ νόμους οὐδ᾽ οὑστινασοῦν ἀνδρῶν οἰομένων

τας (in mg positis οὓς οὐθ᾽ ὑπάρχοντας) ο.—[p] γε ο.—[q] πηποτε (adscripto μήποτε) A, μήπηποτε Φb (μή supra), πῆι ποτε Ω, μηποτε ο (πῆ supra): μήποτε *s.—[r] ἂν ἄμεινον ο.—[s] τὰ αὐτὰ A et pr Ω.—[t] εὖ e.—[u] πόλεων τῶν νῦν Φ.—[v] ἐκ om Φb.—[w] γε Ω, τε ΞΦe (τ supra).—[x] εἰς σικελίαν Ωbo.—[y] τραπεζῶν om Φ.—[z] ἐμπιμπλάμενον AΩ (θ᾽ supra).—[a] τούτῳ...τῷ βίῳ] libri τούτων...τῶν βίων.—[b] οὐχ A, οὐχ Ω (χ supra): πάντα τὰ ἀντίγραφα καὶ τὸ τοῦ πατρ διὰ τοῦ χ mg Ω: οὐθ᾽ *s.—[c] οὕτω Φ: οὕτως s.—[d] κρατηθήσεται Ξ.—[e] μελλῆσαί A et pr

τούτων] Scribendum est *τούτῳ*, et paulo post *τῷ βίῳ*: nam et Cic. locum hunc ita vertit, *quæ comitantur huic vitæ*: et præcedit ὁ βίος. Steph. Eandem lectionem habet et Ficini versio. Bip.

ἀναλίσκειν μὲν δεῖν πάντα ἐς ὑπερβολάς, ἀργῶν δὲ εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γίγνεσθαι πλὴν εἰς[g] εὐωχίας καὶ πότους καὶ ἀφροδισίων σπουδὰς διαπονουμένας·[h] ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς πόλεις τυραννίδας[i] τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας μηδέποτε λήγειν, δικαίου δὲ καὶ ἰσονόμου πολιτείας τοὺς ἐν αὐταῖς δυναστεύοντας μηδ' ὄνομα[k] ἀκούοντας ἀνέχεσθαι. ταῦτα δὴ πρὸς τοῖς πρόσθε[l] διανοούμενος εἰς Συρακούσας διεπορεύθην, ἴσως μὲν κατὰ τύχην, ἔοικε μὴν τότε μηχανωμένῳ τινὶ τῶν κρειττόνων ἀρχὴν βαλέσθαι[m] τῶν νῦν γεγονότων πραγμάτων περὶ Δίωνα καὶ τῶν περὶ Συρακούσας· δέος δὲ μὴ καὶ πλειόνων ἔτι,[n] ἐὰν μὴ νῦν ὑμεῖς ἐμοὶ πείθησθε τὸ δεύτερον συμβουλεύοντι.[o] πῶς οὖν δὴ λέγω πάντων ἀρχὴν γεγονέναι τῶν[p] τότε τὴν[q] εἰς Σικελίαν ἐμὴν ἄφιξιν; ἐγὼ συγγε- III. 327. III. iii. 433.
νόμενος Δίωνι τότε νέῳ κινδυνεύω, τὰ δοκοῦντα ἐμοὶ βέλτιστα ἀνθρώποις εἶναι μηνύων διὰ λόγων καὶ πράττειν αὐτὰ ξυμβουλεύων, ἀγνοεῖν ὅτι τυραννίδος τινὰ τρόπον κατάλυσιν ἐσομένην μηχανώμενος ἐλάνθανον ἐμαυτόν. Δίων μὲν γὰρ δὴ μάλ' εὐμαθὴς ὢν πρός τε τἆλλα καὶ πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λεγομένους[r] οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα, ὡς οὐδεὶς πώποτε ὧν ἐγὼ προσέτυχον νέων, καὶ τὸν ἐπίλοιπον βίον ζῆν ἠθέλησε διαφερόντως τῶν πολλῶν Ἰταλιωτῶν τε καὶ Σικελιωτῶν, ἀρετὴν περὶ πλείονος ἡδονῆς τῆς τε ἄλλης τρυφῆς ἠγαπηκώς. ὅθεν ἐπαχθέστερον τοῖς περὶ τὰ τυραννικὰ νόμιμα ζῶσιν ἐβίω[s] μέχρι τοῦ θανάτου τοῦ περὶ Διονύσιον γενομένου. μετὰ δὲ τοῦτο διενοήθη μὴ

Ω, μελῆσαί ΞΦ, μέλῆσαι b, μελῆσαι o.—[f] ἠρεμῆσαι Ab et pr Ω, ἠρεμίσαι e, ἠρεμῆ/σαι
ων
o, πότε ἠρεμῆσαι Φ.—[g] ἐς A: εἰς ς.—[h] διαπονουμένας ΑΞΦΩbo, διαπονουμένας e: διαπονουμένων *ς.—[i] πόλεις τυραννίδας pr ΑΩ: πόλεις εἰς τυραννίδας *ς.—[k] μηδ' ὄνομα om Ξ.—[l] πρόσθεν Φo.—[m] βάλλεσθαι, ut videtur, pr A.—[n] ἔτι om pr ΑΩ.—
η
[o] συμβουλεύοντι τὸ δεύτερον Φ.—[p] τῶν ΑΩ.—[q] τὴν om pr ΑΩ.—[r] λεγομένους λό-
με
γους Φ, λόγους γενομένους A et pr (ut videtur) Ω.—[s] ἐν βίῳ e.—[t] μὲν mg e, δὲ Ω.

ἔοικε] Invenitur et alia lectio, videlicet ἔοικα, et τὶ pro τινί: sed cum ἔοικα videri posset scribendum etiam esse μηχανώμενος pro μηχανωμένῳ. At Fic. ita vertit quasi sic legeretur, ἔοικε μὴν τότε μηχανῇ τινὸς τῶν κρειττόνων ἀρχὴν βαλέσθαι etc. hæc enim sunt ejus verba, *Videtur autem alicujus eorum opera qui supra nos sunt principium tunc fuisse datum omnibus quæ etc.* Steph. Alia illa lectio est e conjectura Cornarii. Bip.

μόνον ἐν αὐτῷ ποτ' ἂν γενέσθαι ταύτην τὴν διάνοιαν, ἣν αὐτὸς ὑπὸ τῶν ὀρθῶν λόγων ἔσχεν, ἐγγιγνομένην δ'[t] αὐτὴν καὶ ἐν ἄλλοις ὁρῶν κατενόει, πολλοῖς μὲν οὔ, γιγνομένην δ' οὖν ἔν τισιν, ὧν καὶ Διονύσιον ἡγήσατο ἕνα γενέσθαι τάχ' ἂν ξυλλαμβανόντων θεῶν, γενομένου δ' αὖ τοῦ τοιούτου τόν τε αὐτοῦ βίον καὶ τὸν τῶν ἄλλων Συρακουσίων ἀμήχανον ἂν[u] μακαριότητι ξυμβῆναι γενόμενον. πρὸς δὴ τούτοις
III. iii. 434. ᾠήθη δεῖν ἐκ παντὸς τρόπου εἰς Συρακούσας ὅτι τάχιστα ἐλθεῖν ἐμὲ κοινωνὸν τούτων, μεμνημένος τήν τε αὐτοῦ καὶ ἐμὴν συνουσίαν,[v] ὡς εὐπετῶς ἐξειργάσατο εἰς ἐπιθυμίαν ἐλθεῖν αὐτὸν τοῦ καλλίστου τε καὶ ἀρίστου βίου· ὃ δὴ καὶ νῦν εἰ[w] διαπράξαιτο ἐν Διονυσίῳ ὡς ἐπεχείρησε, μεγάλας ἐλπίδας εἶχεν ἄνευ σφαγῶν καὶ θανάτων καὶ τῶν νῦν γεγονότων κακῶν βίον ἂν εὐδαίμονα καὶ ἀληθινὸν ἐν πάσῃ τῇ χώρᾳ κατασκευάσαι. ταῦτα Δίων ὀρθῶς διανοηθεὶς ἔπεισε μεταπέμπεσθαι Διονύσιον ἐμέ, καὶ αὐτὸς ἐδεῖτο πέμπων ἥκειν ὅτι τάχιστα ἐκ παντὸς τρόπου, πρίν τινας ἄλλους ἐντυχόντας Διονυσίῳ ἐπ' ἄλλον βίον αὐτὸν τοῦ βελτίστου παρατρέψαι. λέγων δὲ τάδε ἐδεῖτο, εἰ[x] καὶ μακρότερα εἰπεῖν. τίνας γὰρ[y] καιρούς, ἔφη, μείζους περιμενοῦμεν τῶν νῦν παραγεγονότων θείᾳ τινὶ τύχῃ; καταλέγων δὲ τήν τε ἀρχὴν τῆς Ἰταλίας καὶ Σικελίας καὶ τὴν
III. 328. αὐτοῦ δύναμιν ἐν αὐτῇ, καὶ τὴν νεότητα καὶ τὴν ἐπιθυμίαν τὴν Διονυσίου, φιλοσοφίας[z] τε καὶ παιδείας ὡς ἔχοι[a] σφόδρα, λέγων, τούς τε αὐτοῦ ἀδελφιδοῦς καὶ τοὺς οἰκείους ὡς εὐπαράκλητοι[b] εἶεν πρὸς τὸν ὑπ' ἐμοῦ λεγόμενον αἰεὶ λόγον
III. iii. 435. καὶ βίον,[c] ἱκανώτατοί τε Διονύσιον συμπαρακαλεῖν,[d] ὥστε, εἴ πέρ ποτε, καὶ νῦν ἐλπὶς πᾶσα ἀποτελεσθήσεται τοῦ τοὺς[e]

—[u] ἂν om pr ΑΩ.—[v] ξ. Φ.—[w] νυνὶ Α et pr Ω.—[x] εἰ om pr *e*.—[y] γὰρ om pr Ω, qui in mg τὸ γάρ ἔν τισιν οὐ φέρεται.—[z] φιλοσοφίαν *o*.—[a] ἔχει Φ*b*.—[b] ἀπαράκλητοι *e*.—[c] βίον καὶ λόγον *b*.—[d] παρακαλεῖν Φ*b*.—[e] τούτους ΑΞΦ*beo* et pr Ω.—[f] πα-

ἐγγιγνομένην δ'—γιγνομένην δ'] Verba quæ interjecta sunt inter particulam δὲ priore loco positam et inter posteriorem, non extant in præced. edit. sed tamen ea Fic. quoque agnoscit. Steph. At ea habet Bas. 2. Bip.

ἐδεῖτο, εἰ καὶ] Fortasse scribendum est ἐδεῖτο ἃ καὶ μακρότερα εἰπεῖν. Hoc sensu, *His dictis addebat preces, quas longum esset commemorare*. Quæ tamen subjungit, non sunt precantis, sed potius rationem reddentis cur precetur. Steph.

ἀποτελεσθήσεται] Lectionem hanc non puto posse ferri, sed mutandam in

αὐτοὺς φιλοσόφους τε καὶ πόλεων ἄρχοντας μεγάλων ξυμβῆναι γενομένους. τὰ μὲν δὴ παρακελεύματα[f] ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα πάμπολλα, τὴν δ' ἐμὴν δόξαν, τὸ μὲν περὶ τῶν νέων ὅπῃ ποτὲ γενήσοιτο, εἶχε φόβος—αἱ γὰρ ἐπιθυμίαι τῶν τοιούτων ταχεῖαι καὶ πολλάκις ἑαυταῖς ἐναντίαι φερόμεναι—, τὸ δὲ Δίωνος ἠπιστάμην[g] τῆς ψυχῆς πέρι φύσει τε ἐμβριθὲς ὂν ἡλικίας τε ἤδη μετρίως ἔχον. ὅθεν μοι σκοπουμένῳ καὶ διστάζοντι πότερον εἴη πορευτέον ἢ[h] πῶς, ὅμως ἔρρεψε δεῖν, εἴ ποτέ τις τὰ διανοηθέντα περὶ νόμων τε καὶ πολιτείας ἀποτελεῖν ἐγχειρήσοι. καὶ νῦν πειρατέον εἶναι· πείσας γὰρ ἕνα μόνον ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην ἀγαθά. ταύτῃ μὲν δὴ τῇ διανοίᾳ τε καὶ τόλμῃ ἀπῆρα οἴκοθεν, οὐχ ᾗ τινὲς ἐδόξαζον, ἀλλ' αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον, μὴ δόξαιμί ποτε ἐμαυτῷ παντάπασι λόγος[r] μόνον ἀτεχνῶς εἶναί τις, ἔργου δὲ οὐδενὸς ἄν ποτε ἑκὼν ἀνθάψασθαι, κινδυνεύσειν δὲ προδοῦναι πρῶτον μὲν[k] τὴν Δίωνος ξενίαν τε καὶ ἑταιρείαν[l] ἐν κινδύνοις ὄντως[m] γεγονότος οὐ σμικροῖς. εἴτ'[n] οὖν πάθοι τι, εἴτ' ἐκπεσὼν ὑπὸ Διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν ἔλθοι παρ' III. iii. 436.
ἡμᾶς[o] φεύγων καὶ ἀνέροιτο εἰπὼν Ὦ Πλάτων, ἥκω σοι φυγὰς οὐχ ὁπλιτῶν δεόμενος οὐδὲ ἱππέων ἐνδεὴς γενόμενος τοῦ ἀμύνασθαι[p] τοὺς ἐχθρούς, ἀλλὰ λόγων καὶ πειθοῦς, ᾗ σὲ μάλιστα ἠπιστάμην ἐγὼ δυνάμενον ἀνθρώπους νέους ἐπὶ τἀγαθὰ[q] καὶ τὰ δίκαια προτρέποντα εἰς φιλίαν τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι ἑκάστοτε· ὧν ἐνδείᾳ κατὰ τὸ σὸν μέρος νῦν ἐγὼ καταλιπὼν Συρακούσας ἐνθάδε πάρειμι. καὶ τὸ μὲν ἐμὸν ἔλαττον ὄνειδός σοι φέρει· φιλοσοφία δέ, ἣν ἐγκωμιάζεις ἀεὶ[r] καὶ ἀτίμως φῂς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδοται τὰ νῦν μετ' ἐμοῦ

[σ] ρακελεύματα A, παρακελεύσματα ΞΦε.—[g] δίωνος ἠπιστάμην pr AΩ: δίωνος ἦθος ἠπιστάμην °s.—[h] πότερον εἴη πορευτέον ἢ pr AΩ: πότερον ἂν εἴη πορευτέον καὶ ὑπακουστέον ἢ °s.—[i] λόγῳ ΞΦs.—[k] μὴ e.—[l] ἑταιρείαν Ω, ἑταιρίαν ΞΦbeo, sic et inf. 25.—[m] οὕτως e.—[n] εἴη τ' s.—[o] ὑμᾶς os.—[p] ἀμύνεσθαι Ξ.—[q] τἀγαθὰ Ξ

ἀποτελεσθήσεσθαι τὸ τοὺς αὐτοὺς φιλ. Steph.

ἔρρεψε] Vel deesse vel subaudiendum relinqui puto γνώμη cum ἔρρεψε: quod loquendi genus imitatus est Mar. Steph.

III. 329. μέρος ὅσον ἐπὶ σοὶ γέγονε; καὶ Μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δή που ἄν[s] μοι βοηθὸς ἐφ' ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος οἴει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε; πολλοῦ γε[t] καὶ δεήσει. Λεχθέντων δὲ[u] τούτων τίς ἂν[v] ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον ἐν δίκῃ τε, ὡς οἷόν τε ἄνθρω-
III. iii. 437. πον[w] μάλιστα, διὰ τὰ[x] τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ διατριβάς, οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα δοκοῦσαν οὐ πρέπειν τοῖς ἐμοῖς λόγοις[y] οὐδὲ ἐμοί· ἐλθών τε[z] ἐμαυτὸν ἠλευθέρωσα[a] Διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον,[b] ἐπονειδίστου γενομένης ἂν εἴ τι καταμαλθακισθεὶς καὶ ἀποδειλιῶν[c] αἰσχύνης μετέσχον κακῆς. ἐλθὼν δέ, οὐ γὰρ δεῖ μηκύνειν, εὗρον στάσεως τὰ[d] περὶ Διονύσιον μεστὰ ξύμπαντα καὶ διαβολῶν πρὸς τὴν[e] τυραννίδα Δίωνος πέρι. ἤμυνον μὲν οὖν καθ' ὅσον ἠδυνάμην, σμικρὰ δ' οἷός τ' ἦ,[f] μηνὶ δὲ σχεδὸν ἴσως τετάρτῳ Δίωνα Διονύσιος αἰτιώμενος ἐπιβουλεύειν τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας, ἐξέβαλεν ἀτίμως. οἱ δὴ[g] Δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι ἐφοβούμεθα μή τινα ἐπαιτιώμενος τιμωροῖτο ὡς συναίτιον τῆς Δίωνος ἐπιβουλῆς· περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος τις ἐν Συρακούσαις, ὡς τεθνεὼς εἴην[h] ὑπὸ Διονυσίου ὡς[i] δὴ[k] τούτων ἁπάντων[l] τῶν τότε γεγονότων[m] αἴτιος. ὁ δὲ αἰσθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβούμενος μὴ μεῖζον ἐκ τῶν φόβων γένοιτό τι, φιλοφρόνως πάντας ἀνελάμβανε, καὶ δὴ καὶ τὸν[n] ἐμὲ παρεμυθεῖτό τε
III. iii. 438. καὶ θαρρεῖν διεκελεύετο καὶ ἐδεῖτο πάντως μένειν· ἐγίγνετο γάρ οἱ τὸ μὲν ἐμὲ φυγεῖν ἀπ' αὐτοῦ καλὸν οὐδέν, τὸ δὲ μέ-

Φ: τὰ ἀγαθὰ °ς.—[t] ἀεὶ Φb.—[u] ἂν δήπου Φ.—[s] γε om A et pr Ω.—[u] δὴ b.—[v] ἂν om b.—[w] ἄνθρωπον Ω, ἀνθρώπων eo, ἀνθρώπῳ ΞΦb.—[x] τε ΑΩ.—[y] λόγοις in mg ponunt ΑΩ.—[z] τε Ω, δὲ Φbo, om Ξ.—[a] omisi καὶ cum ΑΞΦΩbeo.—[b] μοίρας ἀνέγκλητον παρασχὼν Φ.—[c] ἀποδειλιάσας Φ.—[d] τὰ om pr ΑΩ.—[e] τὴν om e.—[f] ἦε Ω: ἦν °ς.—[g] οἱ δὲ e, ὡς δ' οἱ Φ.—[h] εἴην om Ξ.—[i] ὡς post τούτων ponunt ΑΩ.—[k] δὴ om ΑΞΦΩbeo.—[l] πάντων ΑΞΦb.—[m] γεγονὼς Φb.—[n] τὸν pr ΑΩ: αὐτὸν °ς.—

νειν, διὸ δὴ καὶ σφόδρα προσεποιεῖτο δεῖσθαι. τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν, ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν. ὃ δὴ μηχανώμενος διεκώλυέ μου τὸν ἔκπλουν, εἰς ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας ὅθεν οὐδ' ἂν εἷς ἔτι με ναύκληρος μὴ ὅτι[o] κωλύοντος ἐξήγαγε Διονυσίου, ἀλλ' οὐδ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν ἐπέστελλεν, οὔτ' ἂν ἔμπορος οὔτε τῶν ἐν ταῖς τῆς χώρας ἐξόδοις ἀρχόντων[p] οὐδ' ἂν εἷς περιεῖδέ με μόνον ἐκπορευόμενον, ὃς[q] οὐκ ἂν συλλαβὼν εὐθέως παρὰ Διονύσιον πάλιν ἀπήγαγεν, ἄλλως τε καὶ διηγγελμένον[r] ἤδη ποτὲ τοὐναντίον ἢ τὸ πρότερον III. 330.
πάλιν, ὡς Πλάτωνα Διονύσιος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὴ πῶς; τὸ γὰρ ἀληθὲς δεῖ φράζειν. ἠσπάζετο μὲν[s] αἰεὶ προϊόντος τοῦ χρόνου μᾶλλον κατὰ τὴν τοῦ[t] τρόπου τε καὶ ἤθους συνουσίαν, ἑαυτὸν δὲ ἐπαινεῖν μᾶλλον ἢ Δίωνα ἐβούλετό με καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον ἢ ἐκεῖνον,[u] καὶ θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. ᾗ δ' ἂν οὕτως ἐγένετο,[v] εἴ περ ἐγίγνετο, κάλλιστα, ὤκνει ὡς[w] δὴ μανθάνων καὶ ἀκούων τῶν περὶ φιλοσοφίαν[x] λόγων οἰκειοῦσθαι καὶ ἐμοὶ συγγίγνεσθαι, φοβούμενος τοὺς III. iii. 439.
τῶν διαβαλλόντων λόγους, μή πῃ[y] παραποδισθείη καὶ Δίων δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώτην διάνοιαν φυλάττων ᾗ περ[z] ἀφικόμην, εἴ πως εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσόφου ζωῆς· ὁ δ' ἐνίκησεν[a] ἀντιτείνων.

Καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς Σικελίαν ἐμῆς ἐπιδημήσεώς[b] τε καὶ διατριβῆς διὰ πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο ἀπεδήμησά τε καὶ πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου Διονυσίου· ὧν δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια, ὑμῖν πρῶτον μὲν[c] ξυμβουλεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον τὰ περὶ ταῦτα διέξειμι, τῶν ἐπανερωτώντων ἕνεκα τί δὴ

—[o] ἔτι b.—[p] ἀνθρώπων Φb.—[q] ὡς A et pr Ω.—[r] διηγγελμένου bo.—[s] μὲν om pr Ω.—[t] τοῦ om o.—[u] ἐκεῖνον Ξo : 'κεῖνον *s.—[v] ἐγίγνετο Φb.—[w] ἴσως ΞΦbo et γρ A et corr Ω et adscripto ὡς e. adscriptum ὡς etiam in Ω, sed in altera ejus γραφῇ omissum.—[x] φιλοσοφίας Φb.—[y] τη Ξ.—[z] εἴπερ b.—[a] ἐνίκησεν (in ι corr) A.—[b] ἐπιθυμίας ΞΦbeo et (adscripto ἐπιδημήσεως) Ω.—[c] μὲν om Φb, ἐν τισιν ὠβέλισται

III. 329. μέρος ὅσον ἐπὶ σοὶ γέγονε; καὶ Μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δή που ἄν[s] μοι βοηθὸς ἐφ' ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος οἴει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε; πολλοῦ γε[t] καὶ δεήσει. Λεχθέντων δὲ[u] τούτων τίς ἄν[v] ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον ἐν δίκῃ τε, ὡς οἷόν τε ἄνθρω-
III. iii. 437. πον[w] μάλιστα, διὰ τὰ[x] τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ διατριβάς, οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα δοκοῦσαν οὐ πρέπειν τοῖς ἐμοῖς λόγοις[y] οὐδὲ ἐμοί· ἐλθών τε[z] ἐμαυτὸν ἠλευθέρωσα[a] Διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον,[b] ἐπονειδίστου γενομένης ἂν εἴ τι καταμαλθακισθεὶς καὶ ἀποδειλιῶν[c] αἰσχύνης μετέσχον κακῆς. ἐλθὼν δέ, οὐ γὰρ δεῖ μηκύνειν, εὗρον στάσεως τὰ[d] περὶ Διονύσιον μεστὰ ξύμπαντα καὶ διαβολῶν πρὸς τὴν[e] τυραννίδα Δίωνος πέρι. ἤμυνον μὲν οὖν καθ' ὅσον ἠδυνάμην, σμικρὰ δ' οἷός τ' ἦ,[f] μηνὶ δὲ σχεδὸν ἴσως τετάρτῳ Δίωνα Διονύσιος αἰτιώμενος ἐπιβουλεύειν τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας, ἐξέβαλεν ἀτίμως. οἱ δὴ[g] Δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι ἐφοβούμεθα μή τινα ἐπαιτιώμενος τιμωροῖτο ὡς συναίτιον τῆς Δίωνος ἐπιβουλῆς· περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος τις ἐν Συρακούσαις, ὡς τεθνεὼς εἴην[h] ὑπὸ Διονυσίου ὡς[i] δὴ[k] τούτων ἁπάντων[l] τῶν τότε γεγονότων[m] αἴτιος. ὁ δὲ αἰσθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβούμενος μὴ μεῖζον ἐκ τῶν φόβων γένοιτό τι, φιλοφρόνως πάντας ἀνελάμβανε, καὶ δὴ καὶ τὸν[n] ἐμὲ παρεμυθεῖτό τε
III. iii. 438. καὶ θαῤῥεῖν διεκελεύετο καὶ ἐδεῖτο πάντως μένειν· ἐγίγνετο γάρ οἱ τὸ μὲν ἐμὲ φυγεῖν ἀπ' αὐτοῦ καλὸν οὐδέν, τὸ δὲ μέ-

Φ: τὰ ἀγαθὰ [a]ς.—[s] ἀεὶ Φb.—[s] ἂν δήπου Φ.—[t] γε om A et pr Ω.—[u] δὴ b.—[v] ἂν om b.—[w] ἄνθρωπον Ω, ἀνθρώπων eo, ἀνθρώπῳ ΞΦb.—[x] τε ΑΩ.—[y] λόγοις in mg ponunt ΑΩ.—[z] τε Ω, δὲ Φbo, om Ξ.—[a] omisi καὶ cum ΑΞΦΩbeo.—[b] μοίρας ἀνέγκλητον παρασχὼν Φ.—[c] ἀποδειλιάσας Φ.—[d] τὰ om pr ΑΩ.—[e] τὴν om e.—[f] ἦε Ω: ἦν [a]ς.—[g] οἱ δὲ e, ὃς δ' οἱ Φ.—[h] εἴην om Ξ.—[i] ὡς post τούτων ponunt ΑΩ.—[k] δὴ om ΑΞΦΩbeo.—[l] πάντων ΑΞΦb.—[m] γεγονὼς Φb.—[n] τὸν pr ΑΩ: αὐτὸν [a]ς.—

νειν, διὸ δὴ καὶ σφόδρα προσεποιεῖτο δεῖσθαι. τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν, ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν. ὁ δὴ μηχανώμενος διεκώλυέ μου τὸν ἔκπλουν, εἰς ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας ὅθεν οὐδ' ἂν εἷς ἔτι με ναύκληρος μὴ ὅτι[o] κωλύοντος ἐξήγαγε Διονυσίου, ἀλλ' οὐδ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν ἐπέστελλεν, οὔτ' ἂν ἔμπορος οὔτε τῶν ἐν ταῖς τῆς χώρας ἐξόδοις ἀρχόντων[p] οὐδ' ἂν εἷς περιεῖδέ με μόνον ἐκπορευόμενον, ὅς[q] οὐκ ἂν συλλαβὼν εὐθέως παρὰ Διονύσιον πάλιν ἀπήγαγεν, ἄλλως τε καὶ διηγγελμένον[r] ἤδη ποτὲ τοὐναντίον ἢ τὸ πρότερον III. 330. πάλιν, ὡς Πλάτωνα Διονύσιος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὴ πῶς; τὸ γὰρ ἀληθὲς δεῖ φράζειν. ἠσπάζετο μὲν[s] αἰεὶ προϊόντος τοῦ χρόνου μᾶλλον κατὰ τὴν τοῦ[t] τρόπου τε καὶ ἤθους συνουσίαν, ἑαυτὸν δὲ ἐπαινεῖν μᾶλλον ἢ Δίωνα ἐβούλετό με καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον ἢ ἐκεῖνον,[u] καὶ θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. ᾗ δ' ἂν οὕτως ἐγένετο,[v] εἴ περ ἐγίγνετο, κάλλιστα, ὤκνει ὡς[w] δὴ μανθάνων καὶ ἀκούων τῶν περὶ φιλοσοφίαν[x] λόγων οἰκειοῦσθαι καὶ ἐμοὶ συγγίγνεσθαι, φοβούμενος τοὺς III. iii. 439. τῶν διαβαλλόντων λόγους, μή πῃ[y] παραποδισθείη καὶ Δίων δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώτην διάνοιαν φυλάττων ᾗ περ[z] ἀφικόμην, εἴ πως εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσόφου ζωῆς· ὁ δ' ἐνίκησεν[a] ἀντιτείνων.

Καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς Σικελίαν ἐμῆς ἐπιδημήσεώς[b] τε καὶ διατριβῆς διὰ πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο ἀπεδήμησά τε καὶ πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου Διονυσίου· ὧν δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια, ὑμῖν πρῶτον μὲν[c] ξυμβουλεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον τὰ περὶ ταῦτα διέξειμι, τῶν ἐπανερωτώντων ἕνεκα τί δὴ

—[o] ἔτι b.—[p] ἀνθρώπων Φb.—[q] ὡς A et pr Ω.—[r] διηγγελμένου bo.—[s] μὲν om pr Ω.—[t] τοῦ om o.—[u] ἐκεῖνον Ξo: 'κεῖνον *r.—[v] ἐγίγνετο Φb.—[w] ἴσως ΞΦbo et γρ A et corr Ω et adscripto ὡς e. adscriptum ὡς etiam in Ω, sed in altera ejus γραφῇ omissum.—[x] φιλοσοφίας Φb.—[y] τη Ξ.—[z] εἴπερ b.—[a] ἐνίκησεν (in ι corr) A.—[b] ἐπιθυμίας ΞΦbeo et (adscripto ἐπιδημήσεως) Ω.—[c] μὲν om Φb, ἐν τισιν ὠβέλισται

βουλόμενος ἦλθον τὸ δεύτερον, ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα
μοι ξυμβαίνῃ λεγόμενα. λέγω δὴ τάδε.[d]
Ἐγὼ τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι καὶ δίαιταν
διαιτωμένῳ μοχθηρὰν[e] *πρὸς ὑγίειαν ἄλλο τι χρὴ πρῶτον*
μὲν αὐτὸν[f] *μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι μὲν πεί-*
III. iii. 440. *θεσθαι καὶ τἄλλα ἤδη παραινεῖν· μὴ ἐθέλοντι δέ, φεύγοντα*
ἀπὸ τῆς τοῦ[g] *τοιούτου ξυμβουλῆς, ἄνδρα τε ἡγοίμην ἂν*
καὶ ἰατρικόν,[h] *τὸν δὲ ὑπομένοντα τοὐναντίον ἄνανδρόν τε καὶ*
ἄτεχνον.[i] *ταὐτὸν δὴ καὶ πόλει, εἴτε αὐτῆς εἷς εἴη κύριος*[k]
εἴτε καὶ πλείους, εἰ μὲν κατὰ τρόπον ὀρθῇ πορευομένης[l]
ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι τῶν προσφόρων, νοῦν
ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβουλεύειν· τοῖς δ' ἔξω τὸ
παράπαν βαίνουσι τῆς ὀρθῆς πολιτείας καὶ μηδαμῇ ἐθέ-
λουσιν αὐτῆς[m] *εἰς ἴχνος ἰέναι, προαγορεύουσι*[n] *δὲ τῷ ξυμ-*
III. 331. *βούλῳ τὴν μὲν πολιτείαν ἐᾷν καὶ μὴ κινεῖν, ὡς ἀποθανου-*
μένῳ ἐὰν κινῇ, ταῖς δὲ βουλήσεσι καὶ ἐπιθυμίαις αὐτῶν
ὑπηρετοῦντα[o] *ξυμβουλεύειν κελεύουσι*[p] *τίνα τρόπον γίγ-*
νοιτ' ἂν ῥᾷστά τε[q] *καὶ τάχιστα εἰς τὸν αἰεὶ χρόνον, τὸν*
μὲν ὑπομένοντα ξυμβουλὰς τοιαύτας ἡγοίμην ἂν ἄναν-
δρον, τὸν δ' οὐχ ὑπομένοντα ἄνδρα.[r] *ταύτην δὴ τὴν διά-*
νοιαν ἐγὼ κεκτημένος, ὅταν τίς μοι ξυμβουλεύηται περί τινος

mg Ω.—[d] *τόδε* Ξ.—[e] *πονηρὰν* Φ et (adscripto *μοχθηρὰν*) *b*.—[f] *αὐτὸν* om A et pr *ἂν* Ω.—[g] *τοῦ* om *e*.—[h] *ἰατρικὸν* Ω, *ἰατρὸν* *be*.—[i] *ἄτυχον* *b*.—[k] *εἴη κύριος εἷς* Φ.—[l] *πορευόμενος* A et pr Ω.—[m] *αὐτοῖς* *o*.—[n] *προσαγορεύουσι* Ξ.—[o] *ὑπηρετοῦντας* ΑΩ.—[p] *κελεύοιεν* ΑΞΦΩ*bo* et (adscripto *κελεύουσι*) *e*.—[q] *τε* om Φ*b*.—[r] *ἐν ἄλλῳ οὕτως· τὸν μὲν μὴ ὑπομένοντα ξυμβουλὰς τοιαύτας ἡγοίμην ἂν ἄνανδρον, τὸν δ' ὑπο-*

ἄλλό τι] For. scribendum est *ἄλλῃ τινὶ*, ut subaud. *διαίτῃ*. Steph. qui sic in Not. 'Mendosum esse hunc locum manifestum est: ideo scripsi, legendum esse fortassis *ἄλλῃ τινὶ*, ut subaudiatur *διαίτῃ*: simul autem *χρὴ* mutandum esset in *χρῆναι*, vel particula *ὅτι* ponenda ante *ἄλλῃ τινί*. Quæ emendatio quamvis magnam mutationem non afferat, et ex ea sensus huic loco aptus efficiatur, alia tamen mihi in mentem nunc venit quæ verisimilior videtur: ut nimirum scribamus, *ἄλλά τε καὶ ὅτι χρὴ* etc. Cæterum hic medicus illum plane imitabitur *τὸν τἀληθῆ λέγοντα* ægroto (de Republ. l. iv. p. 426.) *ὅτι πρὶν ἂν μεθύων καὶ ἐμπιπλάμενος καὶ ἀφροδισιάζων καὶ ἀργῶν παύσηται, οὔτε φάρμακα, οὔτε καύσεις, οὔτε τομαί, οὐδ' αὖ ἐπῳδαὶ αὐτὸν οὐδὲ περίαπτα, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν ὀνήσει*. Ac quemadmodum in eo de quo agitur loco dicit de medico *ξυμβουλὴν*, et antea, *τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι*, sic etiam illic, *καὶ ἀεὶ ἐλπίζοντες, ἐάν τις φάρμακον συμβουλεύσῃ, ὑπὸ τούτου ἔσεσθαι ὑγιεῖς*.'

μὴ ἐθέλοντι δὲ] Scribendum videtur, *μὴ ἐθέλοντος δέ*: nam illic quidem dativus *ἐθέλοντι* locum habebat propter verbum *παραινεῖν*: at hic genitivo absoluto opus esse videtur. Steph.

τῶν μεγίστων περὶ τὸν αὑτοῦ βίον, οἷον περὶ χρημάτων κτήσεως ἢ περὶ σώματος ἢ ψυχῆς[s] ἐπιμελείας, ἂν μέν μοι τὸ καθ' ἡμέραν ἔν τινι τρόπῳ δοκῇ ζῆν ἢ συμβουλεύσαντος[t] ἂν ἐθέλειν πείθεσθαι, περὶ ὧν ἀνακοινοῦται, προθύμως ξυμβουλεύω[u] καὶ οὐκ ἀφοσιωσάμενος μόνον ἐπαυσάμην· ἐὰν III. iii. 441.
δὲ μὴ ξυμβουλεύηταί μοι τὸ παράπαν ἢ συμβουλεύοντι δῆλος ᾖ μηδαμῇ πεισόμενος,[v] αὐτόκλητος ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρχομαι ξυμβουλεύσων,[w] βιασόμενος[x] δὲ οὐδ' ἂν υἱὸς ᾖ μου. δούλῳ[y] δὲ ξυμβουλεύσαιμ' ἂν καὶ μὴ ἐθέλοντά γε προσβιαζοίμην· πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι μὴ νόσῳ παραφροσύνης ἐχομένους. ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, ἑαυτοῖς[z] ἀρέσκοντα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι μάτην νουθετοῦντα μήτε δὴ κολακεύοντά γε[a] ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν. ταὐτὸν δὴ[b] καὶ περὶ πόλεως αὑτοῦ διανοούμενον χρὴ ζῆν τὸν ἔμφρονα· λέγειν μέν, εἰ μὴ καλῶς αὐτῷ φαίνοιτο πολιτεύεσθαι, εἰ μέλλοι μήτε ματαίως ἐρεῖν μήτε ἀποθανεῖσθαι λέγων, βίαν

μένοντα ἄνδρα mg ΑΦΩb : ἂν om ς.—[s] περὶ ψυχῆς ς.—[t] συμβουλεύσαντος Α : συμβουλεύοντος (σ) °ς.—[u] ξυμβουλεύω Φ, συμβουλεύων ς.—[v] πειθόμενος Ω.—[w] ξ. bo.—[x] βιασάμενος Ξος.—[y] ὁμοδούλῳ (adscriptis μου δούλῳ) Α, μου δούλῳ (adscripto ὁμοδούλῳ) corr Ω, δούλῳ (omisso μου) γρ Ω.—[z] ἑαυτοῖς μὲν Φ.—[a] τε (γ) Α, τε ω.—

συμβουλεύοντος] Scribendum potius videtur *συμβουλεύοντι*: ut paulo post legetur *συμβουλεύοντι πεισόμενος*. Alioqui *συμβουλεύοντος* intelligendum erit *ἐὰν συμβουλεύω*. Steph.

βιασάμενος] Non dubito quin legendum sit *βιασόμενος*: ut sit sensus, 'se nolle accedere neque *συμβουλεύσοντα αὐτόκλητον*, neque ut *βίαν* adhibeat loco *συμβουλῆς*:' alioqui *αὐτόκλητος* opponeretur illi *βιασάμενος*, referendo utrumque ad *συμβουλεύσων*: sed duriusculum esset, *οὐκ ἔρχομαι συμβουλεύσων βιασάμενος*, pro *συμβουλεύσων βίᾳ*: deinde quomodo *συμβουλὴ* esse dicenda est ubi quis *βίαν* adhibet? At separabuntur hæc, legendo ita ut dixi, videlicet *βιασόμενος*, mutata duntaxat litera *α* in *ο*. Atque hæc lectio conveniet etiam cum iis quæ subjunguntur, *δούλῳ δὲ ξυμβουλεύσαιμ' ἂν, καὶ μὴ ἐθέλοντά γε προσβιαζοίμην*. Neque enim hic cum *μὴ ἐθέλοντα* videtur apte subauditum iri *συμβουλεύειν ἐμέ*: (quoniam itidem dicendum esset *προσβιαζοίμην συμβουλεύειν ἐμέ*: quod non video quomodo ferri posset) sed *ὑπακούεσθαι* debere, *ἐμοὶ συμβουλεύοντι πείθεσθαι*, vel, *τῇ ἐμῇ συμβουλῇ πείθεσθαι*. Neque vero nimium libera (ut ita dicam) videri debet hæc subauditio, quum paulo ante dixerit, *ἢ συμβουλεύοντι δῆλος ᾖ μηδαμῇ πεισόμενος*: quum vero ista magis etiam propinqua sint illi *βιασόμενος* (ut legendum esse dico) magis etiam licebit ex istis eadem illa subaudire cum illo quoque participio. Steph.

βίαν] Hunc locum primo aspectu videri possit Cicero aut non ita omnino scriptum legisse, aut non satis attente expendisse. Ut enim scriptus est, non dicit Plato simpliciter, vim non esse

δὲ πατρίδι[c] πολιτείας μεταβολῆς μὴ προσφέρειν, ὅταν[d] ἄνευ φυγῶν[e] καὶ σφαγῆς ἀνδρῶν μὴ δυνατὸν ᾖ γίγνεσθαι τὴν ἀρίστην, ἡσυχίαν δὲ ἄγοντα εὔχεσθαι τὰ ἀγαθὰ αὑτῷ τε καὶ τῇ πόλει. Κατὰ δὴ τοῦτον τὸν τρόπον ἐγὼ ὑμῖν τ' ἂν ξυμβουλεύοιμι, ξυνεβούλευον δὲ καὶ Διονυσίῳ μετὰ
III. iii. 442. Δίωνος, ζῆν μέντοι τὸ[f] καθ' ἡμέραν πρῶτον,[g] ὅπως[h] ἐγκρατὴς αὐτὸς αὑτοῦ ὅτι μάλιστα ἔσεσθαι μέλλοι καὶ πιστοὺς φίλους τε καὶ ἑταίρους κτήσεσθαι,[i] ὅπως μὴ πάθοι ἅ περ ὁ πατὴρ αὐτοῦ, ὃς παραλαβὼν Σικελίας πολλὰς καὶ μεγάλας πόλεις ὑπὸ τῶν βαρβάρων ἐκπεπορθημένας, οὐχ οἷός τ' ἦν κατοικίσας πολιτείας ἐν ἑκάσταις καταστήσασθαι
III. 332. πιστὰς[k] ἑταίρων ἀνδρῶν, οὔτε ἄλλων δή ποθεν[l] ὀθνείων οὔτε ἀδελφῶν, οὓς ἔθρεψέ τε αὐτὸς νεωτέρους ὄντας ἔκ τε ἰδιωτῶν ἄρχοντας καὶ ἐκ πενήτων πλουσίους ἐπεποιήκει διαφερόντως. τούτων κοινωνὸν τῆς ἀρχῆς οὐδένα οἷός τ' ἦν πειθοῖ καὶ διδαχῇ καὶ εὐεργεσίαις καὶ ξυγγενείαις ἀπεργασάμενος ποιήσασθαι, Δαρείου δὲ ἑπταπλασίῳ[m] φαυλότερος ἐγένετο, ὃς οὐκ ἀδελφοῖς πιστεύσας οὐδ' ὑφ' αὑτοῦ[n] τραφεῖσι, κοινωνοῖς δὲ μόνον τῆς τοῦ Μήδου[o] τε καὶ εὐνούχου

[b] δὲ os.—[c] πατρὶ διὰ (adscripto πατρίδι) A.—[d] ὅ τ ἀλλαχοῦ οὐ κεῖται mg Ω.—
ων
[e] φυγῆς AΩb, φυγῆς ΞΦεο.—[f] τὸ om AΦΩbo.—[g] πρῶτον om be.—[h] εἶπεν s.—[i] κτήσασθαι ΞΦΩο.—[k] πιστὰς in mg ponit A, om pr Ω.—[l] δήπουθεν ΞΦΩbeos.—[m] ἑπταπλασίως s.—[n] ὑφ' αὑτοῦ A: ὑπ' αὐτοῦ *s.—[o] μίδου mg e.—[p] κατοικίσας

afferendam patriæ (quod tamen et ipsum, simpliciter et generaliter dictum, aliquis fortasse verum esse contenderit) sed *vim non esse afferendam ad mutandum reipubl. statum*: id est, vi non esse compellendam mutare statum reipubl. Neque tamen duriusculum esse meis auribus negabo istud loquendi genus, *βίαν πατρίδι προσφέρειν μεταβολῆς πολιτείας*, pro *βιάζεσθαι πατρίδα μεταβάλλειν πολιτείαν*: ideoque suspicari scriptum fuisse *περὶ πολιτείας μεταβολῆς*. Sed nihilo magis, ita legendo, dixerit Plato simpliciter *βίαν πατρίδι μὴ προσφέρειν*. Verum quoniam dixerat antea de parentibus, *πατέρα δὲ ἢ μητέρα οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι*, simpliciter et sine adjectione (nisi quod exceptione utens addit, *μὴ νόσῳ παραφροσύνης ἐχομένους*) Cicero illa de parentibus et hæc de patria a Platone dicta conjungens, existimari potest noluisse illius adjectionis rationem habere: ideoque scripsisse dici a Platone, *vim neque parenti neque patriæ afferri oportere*: quem locum quæ præcedunt et quæ sequuntur, apud eum, ex Platone petita, attuli antea, quadam annotatione in p. 322. Sed quin pluralis *parentibus* pro singulari *parenti* substituendus ibi sit, minime dubito: quum Plato *μὴ προσβιάζεσθαι* dicat non tantum *πατέρα*, sed *πατέρα ἢ μητέρα*: et vix credibile sit ex alio Platonis loco Ciceronem illa sumpsisse. STEPH.

Μήδου] Non Μήδου sed Μίδου legisse Ficinus dicendus esset, si eum Midæ in sua interpretatione scripsisse constaret: sed potius Medi, quod ille scripsisset, depravatum in Midæ fuisse crediderim: nam hic ad cujus *χείρωσιν* fuisse assumptos illos dicit, non Midas sed Smerdis vocabatur, ut discimus ex Herodoti Tha-

χειρώσεως, διένειμέ τε μέρη μείζω ἕκαστα Σικελίας πάσης ἑπτὰ καὶ πιστοῖς ἐχρήσατο τοῖς κοινωνοῖς καὶ οὐκ

lia: verum non ejus nomen, verum gentis duntaxat e qua erat, Platoni ponere libuit: longius enim vox *Μήδου* a voce *Σμέρδιος* remota est quam ut quis illam pro hac irrepsisse crediturus sit. Non dubito igitur quin quum ille Medi scripsisset, postea in Midæ depravatum (sicut dixi) fuerit. Quinetiam quum *χειρώσεως* reddidisset *captivitatis* (nam verba hæc, *κοινωνοῖς δὲ μόνον τῆς χειρώσεως*, vertit, *sed sociis duntaxat captivitatis*) in editione Lugdunensi, quæ quorundam interpretationis illius locorum emendationes aut mutationes saltem habet, expuncta fuit vox illa *captivitatis*: quæ expunctio facit ut qui a Platone dicuntur socii Darii in capiendo et opprimendo illo Mida (quem sensum Ficinus illis quæ dixi verbis ita exprimebat ut saltem posset intelligi) in illa editione dicantur socii ipsius Midæ. Libet enim jam nomen proprium repræsentare, licet corruptum, quod in priores quoque editiones interpretationis Ficini irrepsit, ut modo admonui: et quod potius emendandum erat in illa Lugdunensi, quam tollendum illud vocabulum quo ex veris Græcis Latina fierent quæ falsa essent omnino. Ac profecto non tantum verum hoc non est, sed ne verisimile quidem, Darium aliquot imperii sui partes daturum fuisse iis, qui socii extitissent ejus ad quem opprimendum ipse operam contulisset, et cujus oppressi locum obtineret. Sed de hac periculosa emendatione hactenus: cujus mentionem obiter faciendam putavi, ut lectorem ad alios locos cautum redderem. Nunc autem alia quæ multo majoris sunt momenti examinanda hic restant: ac primum, quomodo dicat Plato Darium *τοῖς κοινωνοῖς* partes septem distribuisse, quum illi fuerint sex duntaxat: nam septem quidem erant qui in oppressionem Smerdis conspiraverant, sed ex eo erat numero Darius: ita ut non plures quam sex socios habuisse dici possit. Numeri tamen septenarii mentionem a Platone factam fuisse ostendit, meo judicio, vel adverbium *ἑπταπλασίως*: neque enim video cur dixisset Dionysium fuisse Dario septies deteriorem, nisi ad aliquid quod addere vellet respexisset, in quo septenarii numeri mentio fieret. Equidem, si ullum vetus exemplar extaret in quo pro *ἑπτὰ* scriptum esset *ἑπτάκις*, ut partium illarum singulas septies majores tota Sicilia diceret (magis autem aptum *ἑπτάκις* ante *μείζω* locum haberet) nodus ille solutus videri posset: sed quum nusquam lectio illa compareat, videndum an alio confugere possimus: ut nimirum Platonem non Herodotum sequi autorem hic sed alium quempiam dicamus, qui non septem duntaxat sed octo in oppressionem Smerdis conjurasse scripsisset: ita enim Darius septem illius conjurationis socios haberet, quibus septem ditionis suæ partes distribueret. Fateor tamen Justinum, quamvis alioqui in quibusdam ab Herodoto dissentientem (præsertimque in nonnullis nominibus) de septenario conjuratorum numero consentire. 'Septem tantum (inquit) conscii fuere hujus conjurationis.' Verum et quod Plato, *χειρώσεως* duorum mentionem faciens, alterum eorum eunuchum vocet, verisimilius fortasse reddiderit quod dixi, Platonem alium, quam Herodotum, in hac historia sequutum esse autorem: quum ab Herodoto magi fuisse dicantur, et alterum eorum fuisse eunuchum non addatur. Quinetiam, quum fratres fuerint duo isti magi, quorum alter regnum invaserat, mirum est unum tantum a Platone dici fuisse Medum: si quidem hoc demus, illum hæc verba *τοῦ Μήδου τε καὶ εὐνούχου* de duobus dicere, ut existimarunt interpretes: sed nihil video quod obstet quominus de uno eodemque intelligamus, præsertim quum de duobus loquendo, repetendus potius fuerit articulus ante *εὐνούχου*. Cæterum in hoc quoque ab illis dissentio, quod verba hæc, *ὃς οὐκ ἀδελφοῖς πιστεύσας οὐδ' ὑπ' αὐτοῦ τραφεῖσι*, ita accipiant quasi Darius neque fratribus suis neque iis qui cum ipso educati fuerant confiderit, sed illis tantum quos socios adjutoresque illius oppressionis habuerat: aliter enim intelligenda puto, ut nimirum dicat Plato Darium confidisse (sive fidem habuisse) quibusdam qui neque fratres ejus erant, neque cum eo educati fuerant, sed duntaxat socii et adjutores illius oppressionis extiterant: ut nimirum perinde sit ac si loquutus ita esset Plato, *ὃς πιστεύσας τοῖς οὐκ ἀδελφοῖς οὖσι, οὐδ' ὑπ' αὐτοῦ τραφεῖσι, ἀλλὰ μόνον κοινωνοῖς γενομένοις τῆς* etc. posse enim dico et illam structuram orationis eum sensum efficere quem haberet ista: atque adeo ut eum efficiat esse necesse: primum quod Plato, quum velit Darium Dionysio opponere,

ἐπιτιθεμένοις οὔτε αὐτῷ οὔτε ἀλλήλοις, ἔδειξέ τε παράδειγμα, οἷον χρὴ τὸν νομοθέτην καὶ βασιλέα τὸν ἀγαθὸν γίγνεσθαι· νόμους γὰρ κατασκευάσας ἔτι καὶ νῦν διασέσωκε τὴν Περσῶν ἀρχήν. ἔτι δὲ Ἀθηναῖοι πρὸς
III. iii. 443. τούτοις, οὐκ αὐτοὶ κατοικίσαντες[p] πολλὰς τῶν Ἑλλήνων[q] πόλεις ὑπὸ βαρβάρων ἐκβεβλημένας,[r] ἀλλ' οἰκουμένας[s] παραλαβόντες, ὅμως ἑβδομήκοντα ἔτη διεφύλαξαν τὴν ἀρχὴν ἄνδρας φίλους ἐν ταῖς πόλεσιν ἑκάσταις κεκτημένοι. Διονύσιος δὲ εἰς μίαν πόλιν ἀθροίσας πᾶσαν Σικελίαν ὑπὸ σοφίας, πιστεύων οὐδενί, μόγις ἐσώθη· πένης γὰρ ἦν ἀνδρῶν φίλων καὶ πιστῶν, οὗ μεῖζον σημεῖον εἰς ἀρετὴν καὶ κακίαν οὐκ ἔστιν οὐδέν, τοῦ ἔρημον ἢ μὴ τοιούτων[t] ἀνδρῶν εἶναι. ἃ δὴ καὶ Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ[u] Δίων, ἐπειδὴ τὰ παρὰ τοῦ[v] πατρὸς αὐτῷ ξυνεβεβήκει[w] οὕτως ἀνομιλήτῳ μὲν παιδείας, ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι,[x] πρῶτον ἐπὶ ταῦτα[y] ὁρμήσαντα φίλους ἄλλους αὐτῷ τῶν οἰκείων ἅμα καὶ ἡλικιωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι, μάλιστα δ' αὐτὸν αὑτῷ, τούτου γὰρ αὐτὸν θαυμαστῶς ἐνδεᾶ γεγονέναι, λέγοντες οὐκ ἐναργῶς οὕτως, οὐ γὰρ ἦν ἀσφαλές, αἰνιττόμενοι δὲ καὶ διαμαχόμενοι τοῖς λόγοις ὡς οὕτω μὲν πᾶς ἀνὴρ αὑτόν τε καὶ ἐκείνους ὧν ἂν ἡγεμὼν γίγνηται σώσει, μὴ ταύτῃ δὲ τραπό-
III. iii. 444. μενος τἀναντία πάντα ἀποτελεῖ· πορευθεὶς δὲ ὡς λέγομεν,[z] καὶ ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος, εἰ[a] τὰς ἐξηρημωμένας Σικελίας πόλεις κατοικίσειε[b] νόμοις τε ξυνδήσειε καὶ πολιτείαις,[c] ὥστε αὐτῷ τε οἰκείας καὶ ἀλλήλαις[d] εἶναι πρὸς τὰς τῶν βαρβάρων βοηθείας, οὐ διπλα-

τες e.—[q] ἐλληνίδων Ηοτ.—[r] ἐμβεβλημένας Ξ.—[s] ἀλλ' οἰκουμένας in mg ponit A.—[t] τοιοῦτον o.—[u] ἐγώ τε καὶ Φb.—[v] τοῦ add A.—[w] ξυνεβεβλήκει Φ.—[x] λεγόμεναι Φb.—[y] πρῶτον· ἔπειτα ταύτῃ ΑΩ, πρῶτον ἐπὶ ταύτῃ Ξ.—[z] ἐλέγομεν εs.—[a] εἰς Φ.—[b] κατοικήσειε e.—[c] πολιτείας pr Ω.—[d] ἀλλήλοις Ω, ἀλλήλας o, ἄλλαις γρ Ω.—

et hunc contrariam illi viam tenuisse ostendere, eandem contra tenuisse perhiberet, si utrumque eodem modo fratribus suis diffidisse diceret: deinde quod ἀνεπιστρεπτῶς etiam, ut opinor, illud de Dario diceretur. Vide lector quanta cautione sit opus in interpretandis locis etiam illis nonnunquam qui, primo aspectu, nihil minus quam in errorem posse nos ambiguitate aliqua inducere videntur. Steph.

σώσει] Scribendum puto σώζει, ut conveniat cum ἀποτελεῖ. Alioqui hoc mutandum esset in ἀποτελέσει. Steph.

σίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσοι,[e] πολλαπλασίαν δὲ III. 333.
ὄντως·[f] ἕτοιμον γὰρ εἶναι τούτων γενομένων πολὺ μᾶλλον δουλώσασθαι Καρχηδονίους τῆς ἐπὶ Γέλωνος αὐτοῖς γενομένης[g] δουλείας, ἀλλ' οὐχ ὥσπερ νῦν τοὐναντίον ὁ πατὴρ αὐτοῦ φόρον ἐτάξατο[h] φέρειν τοῖς βαρβάροις· ταῦτα ἦν τὰ[i] λεγόμενα καὶ παρακελευόμενα ὑφ' ἡμῶν τῶν[k] ἐπιβουλευόντων Διονυσίῳ, ὡς πολλαχόθεν ἐχώρουν οἱ τοιοῦτοι λόγοι, οἳ δὴ καὶ κρατήσαντες παρὰ Διονυσίῳ ἐξέβαλον μὲν Δίωνα, ἡμᾶς δ' εἰς φόβον κατέβαλον. ἵνα δ' ἐκπεράνωμεν[l] οὐκ ὀλίγα πράγματα τὰ ἐν ὀλίγῳ χρόνῳ, ἐλθὼν ἐκ Πελοποννήσου καὶ Ἀθηνῶν Δίων ἔργῳ τὸν Διονύσιον ἐνουθέτησεν. ἐπειδὴ δ' οὖν[m] ἠλευθέρωσέ τε καὶ ἀπέδωκεν αὐτοῖς δὶς τὴν πόλιν, ταὐτὸν πρὸς Δίωνα Συρακόσιοι τότε ἔπαθον, ὅπερ καὶ Διονύσιος, ὅτε[n] αὐτὸν ἐπεχείρει παιδεύσας[o] καὶ θρέψας[p] βασιλέα τῆς ἀρχῆς ἄξιον οὕτω κοινωνεῖν αὐτῷ τοῦ III. iii. 445.
βίου παντός· ὁ δὲ[q] τοῖς διαβάλλουσι καὶ λέγουσιν ὡς ἐπιβουλεύων τῇ τυραννίδι Δίων πράττοι πάντα ὅσα ἔπραττεν ἐν τῷ τότε χρόνῳ, ἵνα ὁ μὲν παιδείᾳ δὴ τὸν νοῦν κηληθεὶς[r] ἀμελοῖ τῆς ἀρχῆς ἐπιτρέψας ἐκείνῳ, ὁ δὲ σφετερίσαιτο καὶ Διονύσιον ἐκβάλοι[s] ἐκ τῆς ἀρχῆς δόλῳ. ταῦτα τότε ἐνίκησε καὶ τὸ[t] δεύτερον ἐν Συρακοσίοις λεγόμενα, καὶ μάλα ἀτόπῳ τε καὶ αἰσχρᾷ νίκῃ τοῖς τῆς νίκης αἰτίοις. οἷον γὰρ γέγονεν, ἀκοῦσαι χρὴ τοὺς ἐμὲ παρακαλοῦντας πρὸς τὰ νῦν πράγματα. ἦλθον Ἀθηναῖος ἀνὴρ ἐγώ, ἑταῖρος Δίωνος, σύμμαχος αὐτῷ, πρὸς τὸν[u] τύραννον,[v] ὅπως ἀντὶ πολέμου φιλίαν ποιησαίμι. διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. πείθοντος δὲ Διονυσίου τιμαῖς καὶ χρήμασι

[e] ποιήσει cs.—[f] οὕτως o.—[g] γενομένοις Ξ.—[h] ἐπετάξατο ΦΩb.—[i] τὰ om ΑΦb.—[k] τῶν om Ξ.—[l] ἐκπεράνωμεν Ω (ου superscr.), ἐκπερανοῦμεν be.—[m] ἐπεὶ οὖν Φb.—[n] ὅτι Φb.—[o] παιδεύσας eo, παιδεῦσας Ω (ι superscr.): παιδεῦσαι *ς.—[p] θρέψας ΑΦeo, θρέψας Ω (ι superscr.): θρέψαι *ς.—[q] ὁ γὰρ ἐπίστευε ς.—[r] κηληθεὶς τὸν νοῦν Φ.—[s] ἐκβάλλοι Ωeo.—[t] τὰ Ξ.—[u] τὸν

δὶς] Pro δὶς lectio alia affertur (quæ mihi magis placet) Δίων. Steph. Est ea e conjectura Cornarii, addicente Ficino, *Cum ergo civitatem liberasset Dio.* Bip.

οὕτω] Vocula καὶ ante οὕτω deesse videtur. Paulo post autem habent præced. editiones, ὁ δὲ τοῖς διαβάλλουσι, sine verbo ἐπίστευε. Steph. Ficin. certe expressit καί, *talemque.* Mox ἐπίστευε primus inserendum vidit Cornar. Bip.

γενέσθαι μετ' αὐτοῦ ἐμὲ[w] μάρτυρά τε καὶ φίλον πρὸς τὴν
εὐπρέπειαν[x] τῆς ἐκβολῆς τῆς Δίωνος αὐτῷ γίγνεσθαι, τού-
των δὴ τὸ πᾶν διήμαρτεν. ὕστερον δὲ δὴ κατιὼν οἴκαδε[y]
Δίων ἀδελφὼ δύο[z] προσλαμβάνει Ἀθήνηθεν, οὐκ ἐκ φιλο-
σοφίας γεγονότε φίλω[a] ἀλλ' ἐκ τῆς περιτρεχούσης ἑται-
ρείας[b] ταύτης τῆς τῶν πλείστων φίλων, ἣν ἐκ τοῦ ξενίζειν
III. iii. 446. τε καὶ μυεῖν καὶ ἐποπτεύειν πραγματεύονται. καὶ δὴ καὶ
τούτω τὼ ξυγκαταγαγόντε αὐτὸν φίλω ἐκ τούτων τε καὶ
ἐκ τῆς πρὸς τὴν κάθοδον ὑπηρεσίας ἐγενέσθην ἑταίρω. ἐλ-
III. 334. θόντες δὲ εἰς Σικελίαν, ἐπειδὴ Δίωνα ᾔσθοντο διαβεβλη-
μένον εἰς τοὺς ἐλευθερωθέντας ὑπ' αὐτοῦ Σικελιώτας ὡς
ἐπιβουλεύοντα γενέσθαι τύραννον, οὐ μόνον τὸν ἑταῖρον καὶ
ξένον[c] προὔδοσαν,[d] ἀλλ' οἷον τοῦ φόνου αὐτόχειρες ἐγένοντο,
ὅπλα ἔχοντες ἐν ταῖς χερσὶν αὐτοὶ τοῖς φονεῦσι παρεστῶτες
ἐπίκουροι. καὶ τὸ μὲν αἰσχρὸν καὶ ἀνόσιον οὔτε παρίεμαι
ἔγωγε οὔ τέ τι λέγω· πολλοῖς γὰρ καὶ ἄλλοις ὑμνεῖν
ταῦτα ἐπιμελὲς καὶ εἰς τὸν ἔπειτα μελήσει χρόνον· τὸ δὲ
Ἀθηναίων πέρι λεγόμενον, ὡς αἰσχύνην οὗτοι περιῆψαν τῇ
πόλει, ἐξαιροῦμαι· φημὶ γὰρ κἀκεῖνον Ἀθηναῖον εἶναι ὃς
οὐ προὔδωκε τὸν αὐτὸν τοῦτον, ἐξὸν χρήματα καὶ ἄλλας
τιμὰς πολλὰς[e] λαμβάνειν. οὐ γὰρ διὰ βαναύσου φιλό-
τητος ἐγεγόνει φίλος, διὰ δὲ ἐλευθέρας παιδείας κοινωνίαν,
ᾗ μόνῃ χρὴ πιστεύειν τὸν νοῦν κεκτημένον μᾶλλον ἢ ξυγ-
γενείᾳ[f] ψυχῶν καὶ σωμάτων. ὥστε οὐκ ἀξίω ὀνείδους γε-
γόνατον τῇ πόλει τὼ Δίωνα ἀποκτείναντε,[g] ὡς ἐλλογίμω
III. iii. 447. πώποτε ἄνδρε γενομένω. Ταῦτα εἴρηται πάντα τῆς ξυμ-
βουλῆς[h] ἕνεκα τῶν Διωνείων φίλων καὶ ξυγγενῶν. ξυμ-

om o.—[v] πόλεμον Φ.—[w] με Φbo.—[x] εὐπρέπειαν b.—[y] κατιὼν δὲ οἴκαδε Ω, κατιὼν δίων οἴκαδε Ξ.—[z] δύω Φs.—[a] φίλω om A et pr Ω.—[b] ἑταιρίας ΞΦbo.—[c] φίλον Ξ.
—[d] προὔδωσαν e.—[e] πολλὰς τιμὰς Φb.—[f] ξ. Ξe.—[g] ἀποκτείναντε Φ, ἀποκτείνοντε

πρὸς τὴν] Scribendum videtur, πρὸς τὸ τὴν εὐπρέπειαν etc. vel absque articulo τήν. Steph.

ἐξαιροῦμαι] Dubitari potest an Ficinus ἐξαιροῦμαι legerit: quippe qui vertat et ipse, *Sed adversus infamiam civitatis nostræ respondeo*: quum potius excipiendi significationem habere videatur hoc loco istud verbum: q. d. *se assentiri illis in iis quæ dicunt de illa cæde*: hoc tamen excepto, quod dicunt Athenienses illos ignominiæ notam Athenis inurere. Sed et verbum παρίεμαι ipse quoque secus quam oporteat videtur interpretari. Steph.

βουλεύω[i] δὲ δή τι πρὸς τούτοις τὴν αὐτὴν[k] ξυμβουλὴν καὶ
λόγον τὸν αὐτὸν λέγων ἤδη τρίτον τρίτοις ὑμῖν· μὴ δου-
λοῦσθαι Σικελίαν ὑπ' ἀνθρώποις δεσπόταις, μηδὲ ἄλλην
πόλιν ὅ γ' ἐμὸς λόγος, ἀλλ' ὑπὸ νόμοις·[l] οὔτε γὰρ τοῖς
δουλουμένοις οὔτε τοῖς δουλωθεῖσιν ἄμεινον, αὐτοῖς καὶ
παισὶ παίδων τε ἐκγόνοις,[m] ἀλλ' ὀλέθριος πάντως ἡ πεῖρα,
σμικρὰ δὲ καὶ ἀνελεύθερα ψυχῶν ἤθη τὰ τοιαῦτα ἁρπά-
ζειν κέρδη φιλεῖ, οὐδὲν τῶν εἰς τὸν ἔπειτα καὶ εἰς τὸν πα-
ρόντα καιρὸν ἀγαθῶν καὶ δικαίων[n] εἰδότα θείων τε καὶ
ἀνθρωπίνων. ταῦτα πρῶτον[o] μὲν Δίωνα ἐγὼ ἐπεχείρησα[p]
πείθειν, δεύτερον δὲ Διονύσιον, τρίτους δὲ ὑμᾶς νῦν. καί
μοι[q] πείθεσθε Διὸς τρίτου σωτῆρος χάριν, εἶτα εἰς Διονύ-
σιον[r] βλέψαντες καὶ Δίωνα, ὧν ὁ μὲν μὴ πειθόμενος ζῇ τὰ
νῦν οὐ καλῶς, ὁ δὲ πειθόμενος τέθνηκε καλῶς· τὸ γὰρ τῶν
καλλίστων ἐφιέμενον αὐτῷ τε καὶ πόλει πάσχειν ὅ τι ἂν
πάσχῃ[s] πᾶν ὀρθὸν καὶ καλόν. οὔτε γὰρ πέφυκεν ἀθάνατος
ἡμῶν οὐδείς, οὔτ' εἴ τῳ[t] ξυμβαίη, γένοιτο ἂν εὐδαίμων, ὡς
δοκεῖ τοῖς πολλοῖς. κακὸν γὰρ καὶ ἀγαθὸν οὐδὲν λόγου[u]
ἄξιόν ἐστι τοῖς ἀψύχοις, ἀλλ' ἢ μετὰ σώματος οὔσῃ III. iii. 448.
ψυχῇ[v] τοῦτο[w] ξυμβήσεται ἑκάστῃ ἢ κεχωρισμένῃ. πεί- III. 335.
θεσθαι δὲ ὄντως[x] ἀεὶ[y] χρὴ τοῖς παλαιοῖς τε[z] καὶ ἱεροῖς
λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν[a] εἶναι δικα-
στάς[b] τε ἴσχειν καὶ τίνειν τὰς μεγίστας τιμωρίας,[c] ὅταν
τις ἀπαλλαχθῇ τοῦ σώματος. διὸ καὶ τὰ μεγάλα ἁμαρ-
τήματα καὶ ἀδικήματα[d] σμικρότερον εἶναι χρὴ νομίζειν
κακὸν πάσχειν ἢ δρᾶσαι. ὧν ὁ[e] φιλοχρήματος πένης τε
ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει, ἐάν τε ἀκούσῃ, καταγελῶν,
ὡς οἴεται, πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν ὅ τί περ ἂν

b.—[i] ξ. ΑΦΩeo.—[j] ξ. Φ.—[k] τὴν αὐτὴν πρὸς τούτοις Φb.—[l] ἀλλ' ὑπὸ νόμους om Ξ.—
[m] τε καὶ (καὶ supra) ἐκγόνοις ΑΩ.—[n] διων ΑΩ.—[o] πρῶτα Φ.—[p] ἐπεχείρησα ἐγὼ pr Ω.—[q] ἐμοὶ
Α.—[r] διονυσον (τ supra) d.—[s] πάσχοι di.—[t] πω e.—[u] λόγων (ου supra) e, λόγον o.—[v] ψυχῆς Ω.—
[w] τοῦτο om Ξ.—[x] οὕτως ς.—[y] ἀεὶ Ξbe, ut solent: αἰεὶ °ς.—[z] τε om Ξe.—[a] τὴν
ψυχὴν Φ.—[b] δίκας Φb et γρ ΑΩ.—[c] τὴν μεγίστην τιμωρίαν Φb.—[d] ἀδικήματα καὶ

ὅγ' ἐμὸς] Scribendum puto, ὅσγ' ἐμὸς λόγος (in quo loquendi genere est ellipsis verbi) oportebit autem ὑποστίζειν post πόλιν. Steph. Ficin. *Ut nostra est sententia.* Bip.

οἴηται, καθά περ θηρίον, φαγεῖν ἢ πιεῖν ἢ περὶ τὴν ἀνδραποδώδη καὶ ἀχάριστον, ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς, ἡδονὴν πορίειν[f] αὑτῷ τῷ[g] μὴ[h] πίμπλασθαι, τυφλὸς ὢν καὶ οὐχ ὁρῶν οἷς ξυνέπεται τῶν ἁρπαγμάτων[i] ἀνοσιουργία,[k] κακὸν ἡλίκον ἀεὶ μετ' ἀδικήματος ἑκάστου, ἣν ἀναγκαῖον τῷ ἀδικήσαντι συνεφέλκειν ἐπί τε γῇ στρεφομένῳ καὶ ὑπὸ γῆς νοστήσαντι πορείαν ἄτιμόν τε καὶ ἀθλίαν πάντως πανταχῇ. Δίωνα δὴ ἐγὼ[l] λέγων ταῦτά τε καὶ ἄλλα τοιοῦτα ἔπειθον, καὶ τοῖς ἀποκτείνασιν ἐκεῖνον[m] δικαιότατ' ἂν ὀργι-
III. iii. 449. ζοίμην ἐγὼ τρόπον τινὰ ὁμοιότατα[n] καὶ Διονυσίῳ· ἀμφότεροι γὰρ ἐμὲ καὶ τοὺς ἄλλους ὡς ἔπος εἰπεῖν ἅπαντας τὰ μέγιστα ἔβλαψαν ἀνθρώπους,[o] οἱ μὲν τὸν βουλόμενον δικαιοσύνῃ χρῆσθαι διαφθείραντες, ὁ δὲ οὐδὲν ἐθελήσας χρήσασθαι δικαιοσύνῃ διὰ πάσης τῆς ἀρχῆς, μεγίστην δύναμιν ἔχων, ἐν ᾗ γενομένη φιλοσοφία τε καὶ δύναμις ὄντως[p] ἐν ταὐτῷ διὰ πάντων ἀνθρώπων Ἑλλήνων τε καὶ βαρβάρων λάμψασαν[q] ἱκανῶς δόξαν παρέστησε πᾶσι τὴν ἀληθῆ, ὡς οὐκ ἄν ποτε γένοιτο εὐδαίμων οὔτε πόλις οὔτ' ἀνὴρ οὐδεὶς ὃς ἂν μὴ μετὰ φρονήσεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον, ἤτοι ἐν αὑτῷ κεκτημένος ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἤθεσι τραφείς τε καὶ παιδευθεὶς ἐνδίκως. ταῦτα μὲν Διονύσιος ἔβλαψε· τὰ δὲ ἄλλα σμικρὰ ἂν εἴη πρὸς ταῦτά μοι βλάβη. ὁ δὲ Δίωνα ἀποκτείνας οὐκ οἶδε[r] ταὐτὸν ἐξειργασμένος τούτῳ. Δίωνα γὰρ[s] ἐγὼ σαφῶς οἶδα,[t] ὡς[u] οἷόν τε περὶ ἀνθρώπων ἄνθρωπον διισχυρίζεσθαι, ὅτι τὴν ἀρχὴν εἰ κατέσχεν, ὡς οὐκ ἄν ποτε ἐπ' ἄλλο γε σχῆμα
III. 336. ἀρχῆς ἐτράπετο ἢ ἐπὶ τὸ Συρακούσας μὲν πρῶτον τὴν πατρίδα τὴν ἑαυτοῦ,[v] ἐπεὶ[w] τὴν δουλείαν αὐτῆς ἀπήλλαξε καὶ φαιδρύνας ἐλευθερίῳ ἐν σχήματι[x] κατέστησε, τὸ μετὰ

ἁμαρτήματα Φ.—[e] ὁ om o.—[f] πορεῖν A et pr Ω, περιεῖν o: ἐκπορίζειν *s.—[g] τοῦ ΑΞΦΩbce.—[h] μὴ om γρ Ω.—[i] ἁρπαγμάτων A: πραγμάτων *s.—[k] ἀνοσιουργίαι A cum pr (ut videtur) Ω.—[l] ἐγὼ om Φ.—[m] ἐκεῖνον om pr Ω.—[n] ὁμοιότητα e.—[o] ἀνθρώποις pr Ω.—[p] οὕτως o.—[q] λάμψασιν A et pr Ω.—[r] εἶδε e.—[s] δ' o.—[t] οἶδα om Φ.—[u] ὡς om Ξ.—[v] τὴν αὑτοῦ Ξ, in mg ponunt ΑΩ.—[w] ἐπὶ (adscripto ἐπεὶ) e.—[x] ἀπήλλαξεν ἐλευθέρας δ' ἐν σχήματι A et pr Ω, ἀπήλλαξε φαιδρύνας ἐλευθερίῳ ἐν

γῇ] Dativum γῇ occupare puto locum cum apud alios, tunc hunc ipsum, supra, genitivi γῆς. Sic ἐπὶ γῆς et ὑπὸ γῆς p. 728. Steph.

τοῦτ' ἂν πάσῃ μηχανῇ ἐκόσμησε νόμοις τοῖς προσήκουσί τε III. iii. 450.
καὶ ἀρίστοις τοὺς πολίτας, τό[y] τε ἐφεξῆς τούτοις προὐθυμεῖτ' ἂν πρᾶξαι, πᾶσαν Σικελίαν κατοικίζειν καὶ ἐλευθέραν ἀπὸ τῶν βαρβάρων ποιεῖν, τοὺς μὲν ἐκβάλλων,[z] τοὺς δὲ χειρούμενος ῥᾷον Ἱέρωνος· τούτων δ' αὖ γενομένων δι' ἀνδρὸς δικαίου τε καὶ ἀνδρείου καὶ σώφρονος[a] καὶ φιλοσόφου τὴν αὐτὴν ἀρετῆς ἂν πέρι γενέσθαι δόξαν τοῖς πολλοῖς ἥ περ ἄν, εἰ Διονύσιος ἐπείσθη, παρὰ πᾶσιν ἂν ὡς ἔπος εἰπεῖν ἀνθρώποις ἀπέσωσε γενομένη. νῦν δὲ ἤ πού τις δαίμων ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ καὶ ἀθεότητι καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας,[b] ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει καὶ εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς[c] γεννήσασι πικρότατον,[d] αὕτη πάντα[e] τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσε. νῦν δὲ δὴ εὐφημῶμεν χάριν οἰωνοῦ τὸ τρίτον. ὅμως δὲ μιμεῖσθαι μὲν συμβουλεύω Δίωνα ὑμῖν τοῖς φίλοις τήν τε τῆς πατρίδος εὔνοιαν καὶ τὴν τῆς τροφῆς σώφρονα δίαιταν ἐπὶ λῴον, ὡς[f] δὲ ὀρνίθων τὰς ἐκείνου βουλήσεις πειρᾶσθαι ἀποτελεῖν· αἳ δὲ ἦσαν, ἀκηκόατε παρ' ἐμοῦ σαφῶς· τὸν δὲ μὴ δυνάμενον ὑμῶν Δωριστὶ ζῆν κατὰ τὰ πάτρια, διώκοντα δὲ τόν τε τῶν Δίωνος σφαγέων καὶ τὸν Σικελικὸν βίον, μήτε παρακαλεῖν III. iii. 451.
μήτε οἴεσθαι πιστὸν ἄν τι καὶ ὑγιὲς πρᾶξαί ποτε· τοὺς δὲ ἄλλους παρακαλεῖν ἐπὶ πάσης Σικελίας κατοικισμόν τε καὶ ἰσονομίαν ἔκ τε αὐτῆς Σικελίας καὶ ἐκ Πελοποννήσου ξυμπάσης, φοβεῖσθαι δὲ μηδὲ Ἀθήνας· εἰσὶ γὰρ καὶ ἐκεῖ πάντων ἀνθρώπων διαφέροντες πρὸς ἀρετὴν ξενοφόνων[g] τε ἀνδρῶν μισοῦντες τόλμας. Εἰ δ' οὖν[h] ταῦτα μὲν ὕστερα

σχήματι γρ A et corr Ω. *καὶ* om etiam Φbeo: quorum ultimus, ut A, *ἐλευθέρας δ' ἄν*.—[y] *ἔτι* ΞΦbeo et (adscripto *τό*) Ω.—[z] *ἐμβάλλων e*.—[a] *ἢ σώφρονος e*.—[b] *ἀδείας* (adscripto *τα*) Φb.—[c] *τοῖς* om pr Ω.—[d] *πικρότερον* AΩ.—[e] *πάντα* om Ξ.—[f] *ὂν* AΞΩbe et (adscripto *ὁ*) *ὃς*) *e*.—[g] *ξενοφόνων e, ξενοφώνων* AΞΦΩb.—[h] *αὖ b*.—[i] *ὂν* A et pr Ω.—

αὕτη] Pro *αὕτη* aliud scribendum esse videtur: quum non possit esse nominativus verborum *ἀνέτρεψε* et *ἀπώλεσε*: quia præcedit *δαίμων* et *ἀλιτήριος*. Steph.

ὕστερα] Aut lectionem aliam sequutus est Ficinus, aut (quod potius credo) ipse quoque sensum non est assequutus horum verborum, *εἰ δ' οὖν ταῦτα μὲν ὕστερα γένοιτ' ἄν*: vertit enim et ipse, *verum si hæc tardiora jam sunt*: quum illis verbis significetur, *quod si hæc ejusmodi sunt quæ postea fieri possint*: q. d.

[illegible] πολλαὶ [illegible] διαφθοραί, εἰδέ- [illegible] δόξης [illegible] κακῶν [illegible] καὶ ἐκ- [illegible] καὶ ἐπὶ [illegible] ἐγκρατεῖς δὲ [illegible] μᾶλλον πρὸς [illegible] αἰδοῖ [illegible] δεικ- [illegible] φαίνεσθαι [illegible] μέλοντές τε [illegible] ἂν ποτε [illegible] ἀλλὰ στάσεις [illegible] διατεθείσαις [illegible] φιλεῖ. τοὺς δὴ [illegible] σωτηρίας, [illegible] ἕως ἂν συν- [illegible] καὶ παῖδας [illegible] αὐτῶν ὅτι [illegible] κεκτη- [illegible] πόλει [illegible] καὶ τιμαῖς [illegible] μετεστεμψαμένους [illegible] νόμους, μήτε [illegible] ἴσον καὶ κοινὸν [illegible] τούτῳ δὴ τὰ

[illegible] A. προση- [illegible] AD [illegible] AEo et γρ Ω. — [illegible] ἀγαθοὺς καὶ [illegible] ἐμέσασθαι A: ἐμέ-

[illegible] i. urgere. [illegible]

πάντα ἐστίν. ἂν μὲν γὰρ οἱ νενικηκότες ἧττους αὑτοὺς τῶν νόμων μᾶλλον τῶν νενικημένων παρέχωνται, πάντ' ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστὰ καὶ πάντων κακῶν ἀποφυγή· εἰ δὲ μή, μήτ' ἐμὲ μήτ' ἄλλον κοινωνὸν παρα- III. iii. 453.
καλεῖν ἐπὶ τὸν μὴ πειθόμενον τοῖς νῦν ἐπεσταλμένοις. ταῦτα γάρ ἐστιν ἀδελφὰ ὧν τε Δίων ὧν τ' ἐγὼ ἐπεχειρήσαμεν Συρακούσαις εὖ φρονοῦντες συμπρᾶξαι, δεύτερα μήν· πρῶτα δ' ἦν ἃ τὸ πρῶτον[a] ἐπεχειρήθη μετ' αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ[b] ἀγαθά, τύχη δέ τις ἀνθρώπων κρείττων διεφόρησε. τὰ δὲ νῦν ὑμεῖς πειρᾶσθε εὐτυχέστερον αὐτὰ ἀγαθῇ πρᾶξαι μοίρᾳ καὶ θείᾳ τινὶ τύχῃ.

Ξυμβουλὴ μὲν δὴ καὶ ἐπιστολὴ εἰρήσθω καὶ ἡ παρὰ Διονύσιον ἐμὴ[c] προτέρα ἄφιξις· ἡ δὲ δὴ ὑστέρα πορεία τε καὶ πλοῦς ὡς εἰκότως τε ἅμα καὶ ἐμμελῶς γέγονεν, ᾧ μέλει ἀκούειν, ἔξεστι τὸ[d] μετὰ τοῦτο. ὁ μὲν γὰρ[e] δὴ πρῶτος χρόνος τῆς ἐν Σικελίᾳ διατριβῆς μοι διεπεράνθη, καθά περ III. 338.
εἶπον, πρὶν συμβουλεύειν τοῖς οἰκείοις καὶ ἑταίροις τοῖς περὶ Δίωνα· τὸ μετ' ἐκεῖνα δ' οὖν ἔπεισα ὅπῃ[f] δή[g] ποτ' ἐδυνάμην[h] Διονύσιον ἀφεῖναί με,[i] εἰρήνης δὲ γενομένης, ἦν γὰρ τότε πόλεμος ἐν Σικελίᾳ, ξυνωμολογήσαμεν ἀμφότεροι. Διονύσιος μὲν ἔφη μεταπέμψεσθαι[k] Δίωνα καὶ ἐμὲ πάλιν καταστησάμενος τὰ περὶ τὴν ἀρχὴν ἀσφαλέστερον ἑαυτῷ, Δίωνα δὲ ἠξίου διανοεῖσθαι μὴ φυγὴν αὐτῷ γεγονέναι τότε, III. iii. 454.
μετάστασιν δέ· ἐγὼ δ' ἥξειν ὡμολόγησα[l] ἐπὶ τούτοις τοῖς λόγοις. γενομένης δὲ εἰρήνης μετεπέμπετ' ἐμέ,[m] Δίωνα δὲ ἐπισχεῖν ἔτι ἐνιαυτὸν ἐδεῖτο, ἐμὲ δὲ ἥκειν[n] ἐκ παντὸς τρόπου ἠξίου. Δίων μὲν οὖν ἐκέλευέ τέ με[o] πλεῖν καὶ ἐδεῖτο· καὶ γὰρ δὴ λόγος[p] ἐχώρει πολὺς ἐκ Σικελίας ὡς Διονύσιος

ὲ
σαντας cum *ς corr Ω.—[y] τούτων Φb.—[z] δὴ Ω, δὴ ΑΩ.—[a] πρῶτον beo et corr Ω.—[b] καινὰ Φb.—[c] ἐμοὶ ς.—[d] τὸ om e.—[e] γὰρ om e.—[f] ὅπη ΑΦΩb: ὅποι cum *ς γρ ΑΩ.—[g] δὴ om γρ ΑΩ.—[h] ἐδυνάμην ΑΦΩbo: ἠδυνάμην cum *ς γρ ΑΩ.—[i] μοι Α Φbe et pr Ω.—[k] μεταπέμψασθαι mei omnes.—[l] δ' ἥξειν ὡμολόγησα cum *ς γρ Ω: ceteri δὴ ξυνωμολόγησα.—[m] τε Φb: μὲ *ς.—[n] δκειν Ξ.—[o] τ' ἐμὲ. πλὴν γρ Ω.—

ἑταίροις] In præced. edit. ἑτέροις perperam pro ἑταίροις. Steph.

ἑταίροις] Ald. Bas. 1. 2. καὶ ἑτέροις· quod omnino mutatum nollem. Nam οἱ περὶ Δίωνα jam significant ἑταίρους. Bip.

ὅποι δήποτ'] Scribendum potius ὅπῃ δήποτ' ἠδυνάμην. Steph.

θαυμαστῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν εἴη γεγονὼς τὰ νῦν, ὅθεν ὁ Δίων συντεταμένως[q] ἐδεῖτο ἡμῶν τῇ μεταπέμψει μὴ ἀπειθεῖν. ἐγὼ δὲ ᾔδη[r] μέν που κατὰ τὴν[s] φιλοσοφίαν τοῖς νέοις πολλὰ τοιαῦτα γιγνόμενα, ὅμως δ' οὖν ἀσφαλέστερόν μοι ἔδοξε χαίρειν τότε γε πολλὰ καὶ Δίωνα καὶ Διονύσιον ἐᾶν, καὶ ἀπηχθόμην ἀμφοῖν ἀποκρινάμενος ὅτι γέρων τε εἴην καὶ κατὰ τὰς ὁμολογίας οὐδὲν γίγνοιτο τῶν τὰ νῦν πραττομένων. ἔοικε δὴ τὸ μετὰ τοῦτο Ἀρχύτης[t] τε παρὰ Διονύσιον ἀφικέσθαι[u]—, ἐγὼ γὰρ πρὶν ἀπιέναι ξενίαν καὶ φιλίαν Ἀρχύτῃ καὶ τοῖς ἐν Τάραντι καὶ Διονυσίῳ ποιήσας ἀπέπλεον—, ἄλλοι τέ τινες ἐν Συρακούσαις ἦσαν Δίωνός τε ἄττα διακηκοότες καὶ τούτων[v] τινὲς ἄλλοι, παρακουσμάτων τινῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν· οἵ
III. iii. 455. δοκοῦσί μοι Διονυσίῳ πειρᾶσθαι διαλέγεσθαι τῶν περὶ τὰ τοιαῦτα, ὡς Διονυσίου πάντα διακηκοότος ὅσα διενοούμην ἐγώ. ὁ δὲ οὔτε ἄλλως ἐστὶν ἀφυὴς πρὸς τὴν τοῦ μανθάνειν δύναμιν φιλότιμός τε θαυμαστῶς· ἤρεσκέ[w] τε οὖν ἴσως αὐτῷ τὰ λεγόμενα ᾐσχύνετό τε φανερὸς γιγνόμενος[x] οὐδὲν ἀκηκοὼς ὅτ' ἐπεδήμουν ἐγώ, ὅθεν ἅμα μὲν εἰς ἐπιθυμίαν ᾔει τοῦ[y] διακοῦσαι ἐναργέστερον, ἅμα δ' ἡ φιλοτιμία κατήπειγεν αὐτόν. δι' ἃ δὲ οὐκ ἤκουσεν ἐν τῇ πρόσθεν ἐπιδημίᾳ, διεξήλθομεν ἐν τοῖς ἄνω ῥηθεῖσι νῦν δὴ λόγοις. ἐπειδὴ οὖν[z] οἴκαδέ τε[a] ἐσώθην καὶ καλοῦντος τὸ δεύτερον ἀπηρνήθην, καθά περ εἶπον νῦν δή, δοκεῖ μοι Διονύσιος παντάπασι[b] φιλοτιμηθῆναι μή ποτέ τισι δόξαιμι καταφρονῶν αὐτοῦ,
III. 339. τῆς φύσεώς τε καὶ ἕξεως ἅμα καὶ τῆς διαίτης ἔμπειρος γεγονώς, οὐκέτ' ἐθέλειν δυσχεραίνων παρ' αὐτὸν ἀφικνεῖσ-

[p] δὴ ὁ λόγος Ω.—[q] συντεταγμένως co.—[r] ᾔδη ΑΩο: ᾔδειν *s.—[s] τὴν om Φ.—[t] Ἀρχύτας s.—[u] διονύσιον ἀφικέσθαι Φb: Διονύσιον πρὶν ἀφικέσθαι *s. τὸ πρὶν ἀλλαχοῦ ὠβέλισται mg Ω.—[v] καὶ τούτων in mg ΑΩ.—[w] ἤρκεσέ Φ.—[x] φανερῶς τὰ γιγνόμενα Φ.—[y] ἡγεῖτο ΞΦb et (adscriptis ᾔει τοῦ) ΑΩ, ἡγεῖτο o, εἴη τοῦ c.—[z] δ' οὖν γρ Ω.—[a] οἴκαδ' ἔτ' b.—[b] καθάπερ εἶπον Φ.—[c] μὲν om Ξ.—[d] δὴ om Φb.—

πρὶν] Vocula πρὶν locum hic nullum habere videtur: quinetiam partic. τε paulo ante expungenda aut in γε mutanda esse. Pro ἔοικε autem legit et Fic. ἤκουσα. Steph. Ficin. vertit, neglecto πρὶν. Bip.

περὶ τὰ τοιαῦτα] Mendosum esse hunc locum manifestum est, sed non itidem manifesta est ejus emendatio, mihi quidem certe: nisi eam ex Ficini interpretatione sumere velimus, a qua lectionem hanc agnosci patet, πειρᾶσθαι διαλέγεσθαι περὶ τῶν τοιούτων. Steph.

θαι. δίκαιος δὴ λέγειν εἰμὶ τἀληθὲς καὶ ὑπομένειν, εἴ τις ἄρα τὰ γεγονότα ἀκούσας καταφρονήσει τῆς ἐμῆς φιλοσοφίας, τὸν τύραννον δὲ ἡγήσεται νοῦν ἔχειν. ἔπεμψε μὲν[c] γὰρ δὴ[d] Διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη ῥαστώνης ἕνεκα τῆς πορείας, ἔπεμψε δὲ Ἀρχίδημον,[e] ὃν ἡγεῖτό με τῶν ἐν[f] Σικελίᾳ περὶ πλείστου ποιεῖσθαι, τῶν Ἀρχύτῃ ξυγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους τῶν ἐν Σικελίᾳ· οὗτοι δὲ III. iii. 456.
ἡμῖν ἤγγελλον[g] πάντες τὸν αὐτὸν λόγον, ὡς θαυμαστὸν ὅσον Διονύσιος ἐπιδεδωκὼς εἴη πρὸς φιλοσοφίαν. ἔπεμψε δὲ ἐπιστολὴν πάνυ μακράν, εἰδὼς ὡς πρὸς Δίωνα διεκείμην καὶ τὴν αὖ Δίωνος προθυμίαν τοῦ ἐμὲ πλεῖν καὶ εἰς Συρακούσας ἐλθεῖν· πρὸς γὰρ[h] δὴ πάντα ταῦτα[i] ἦν παρεσκευασμένη[k] τὴν ἀρχὴν ἔχουσα ἡ ἐπιστολή, τῇδέ πῃ φράζουσα, Διονύσιος Πλάτωνι. τὰ νόμιμα ἐπὶ τούτοις εἰπὼν οὐδὲν τὸ μετὰ τοῦτο εἶπε[l] πρότερον ἢ ὡς ἂν εἰς Σικελίαν πεισθεὶς ὑφ' ἡμῶν ἔλθῃς τὰ νῦν, πρῶτον μέν σοι τὰ περὶ Δίωνα ὑπάρξει ταύτῃ γιγνόμενα ὅπῃ περ ἂν αὐτὸς ἐθέλῃς· θελήσεις δὲ οἶδ' ὅτι τὰ μέτρια, καὶ ἐγὼ συγχωρήσομαι· εἰ δὲ μή, οὐδέν σοι τῶν περὶ Δίωνα ἕξει πραγμάτων οὔτε περὶ τἆλλα οὔτε περὶ αὐτὸν κατὰ νοῦν γιγνόμενα.[m] ταῦθ'[n] οὕτως εἶπε, τἆλλα δὲ μακρὰ[o] ἂν εἴη καὶ ἄνευ καιροῦ λεγόμενα. ἐπιστολαὶ δὲ ἄλλαι ἐφοίτων παρά τε Ἀρχύτου καὶ τῶν ἐν Τάραντι, τήν τε φιλοσοφίαν ἐγκωμιάζουσαι τὴν Διονυσίου,[p] καὶ ὅτι, ἂν μὴ ἀφίκωμαι νῦν, τὴν πρὸς Διονύσιον αὐτοῖς γενομένην[q] φιλίαν δι' ἐμοῦ οὐ σμικρὰν οὖσαν πρὸς τὰ πολιτικὰ παντάπασι διαβαλοίην.[r] ταύτης δὴ[s] τοιαύτης γε- III. iii. 457.
νομένης ἐν τῷ τότε χρόνῳ τῆς μεταπέμψεως, τῶν μὲν ἐκ Σικελίας τε καὶ Ἰταλίας ἑλκόντων, τῶν δὲ Ἀθήνηθεν ἀτεχνῶς μετὰ δεήσεως οἷον ἐξωθούντων με, καὶ πάλιν ὁ λόγος ἧκεν[t] ὁ αὐτός, τὸ μὴ δεῖν προδοῦναι Δίωνα μηδὲ τοὺς ἐν

[e] Ἀρχέδημον ς.—[f] ἐν om pr Ω.—[g] ἤγγελον Φ et pr Ξ.—[h] γὰρ om pr Ω.—[i] ταῦτα [ον] πάντα [α] e.—[k] παρεσκευασμένην Ω.—[l] εἰποῦσα γρ Ω.—[m] γιγνόμενα e.—[n] τοῦθ' Ω, τοῦθ' Ao.—[o] μικρὰ Ξ.—[p] ἐν διονυσίω (adscripto in mg διονυσίου) Φ.—[q] γενομένοις b.—[r] διαβαλοίην Φb, διαβαλοῖμι mg e: διαβαλλοίην *ς.—[s] δὲ o.—[t] ἧκεν ὁ λόγος

γιγνόμενα] Non dubito quin substituendum sit γιγνόμενον. Steph.

ἧκεν] Aliud quam ἧκεν aut legit, aut legendum censuit Ficinus: vertit enim,

Τάραντι ξένους τε[u] καὶ ἑταίρους.[v] αὐτῷ δέ μοι ὑπῆν[w] ὡς οὐδὲν θαυμαστὸν νέον ἄνθρωπον παρακούοντα[x] ἀξίων λόγου[y] πραγμάτων, εὐμαθῆ, πρὸς ἔρωτα ἐλθεῖν τοῦ[z] βελτίστου βίου· δεῖν οὖν αὐτὸ ἐξελέγξαι σαφῶς, ὁποτέρως ποτὲ ἄρα σχοίη,[a] καὶ τοῦτ' αὐτὸ μηδαμῇ προδοῦναι μηδ' ἐμὲ τὸν
III. 340. αἴτιον γενέσθαι τηλικούτου ἀληθῶς ὀνείδους, εἴ περ ὄντως εἴη τῳ ταῦτα λελεγμένα. πορεύομαι δὴ τῷ λογισμῷ τούτῳ κατακαλυψάμενος, πολλὰ δεδιὼς μαντευόμενός τε οὐ πάνυ καλῶς, ὡς ἔοικεν. Ἐλθὼν δ' οὖν τὸ τρίτον τῷ σωτῆρι τοῦτό γε οὖν ἔπραξα ὄντως· ἐσώθην γὰρ τὸ πάλαι[b] εὐτυχῶς, καὶ τούτων γε μετὰ θεὸν Διονυσίῳ χάριν εἰδέναι χρεών, ὅτι πολλῶν βουληθέντων ἀπολέσαι με διεκώλυσε καὶ ἔδωκέ τι μέρος αἰδοῖ τῶν περὶ ἐμὲ πραγμάτων. ἐπειδὴ δὲ ἀφικό-
III. iii. 458. μην, ᾤμην τούτου πρῶτον ἔλεγχον δεῖν λαβεῖν, πότερον ὄντως εἴη Διονύσιος ἐξημμένος ὑπὸ φιλοσοφίας ὥς περ πυρός, ἢ μάτην ὁ πολὺς οὗτος ἔλθοι λόγος Ἀθήναζε. ἔστι[c] δή[d] τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν λαμβάνειν οὐκ[e] ἀγεννὴς ἀλλ' ὄντως[f] τυράννοις πρέπων, ἄλλως τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς, ὃ δὴ κἀγὼ Διονύσιον εὐθὺς ἐλθὼν ᾐσθόμην καὶ μάλα πεπονθότα. δεικνύναι δὴ δεῖ τοῖς τοιούτοις ὅ τι ἔστι πᾶν τὸ πρᾶγμα οἷόν τε καὶ δι' ὅσων πραγμάτων καὶ ὅσον[g] πόνον ἔχει. ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως[h] ᾖ φιλόσοφος οἰκεῖός[i] τε καὶ ἄξιος τοῦ πράγματος θεῖος ὤν, ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι ξυντατέον

Φ.—[u] τε om b.—[v] ἑτέρους Ξ.—[w] εἰπεῖν (adscripto ὑπῆν) e.—[x] παρακούοντα ΑΦΩ bo: παρακούσαντα (ῆι, ίν superscr.) *s.—[y] λόγων Ξ.—[z] τὰ τοῦ ΑΩ.—[a] σχεῖ Ω, σχεῖ Α : σχῇ *s.—[b] πάλαι Ω, πάλιν be.—[c] ἔστη Ξ.—[d] δέ Ξ.—[e] λαμβάνειν ὡς οὐκ Ξ.—[f] οὕτως e.—[g] ὅσων s, ὅταν e.—[h] οὕτως e.—[i] φιλόσοφος ἢ οἰκεῖος Φbeo et rc Ω, φιλόσοφος

ratioque mihi dictaret, non decere Dionem Tarentinosque hospites et amicos prodere. Scio autem hoc genus loquendi, ὁ λόγος αἱρεῖ, a quibusdam et quidem ab illo ipso alicubi reddi, *ratio dictat:* unde colligi posset eum hic legisse ὁ λόγος ᾕρει. Steph.

παρακούσαντα] Tribus modis scriptum invenitur quod hic est participium post ἄνθρωπον: nam παρακούοντα habent præced. editiones, ex vet. autem exempl. παρακούσοντα et παρακούσαντα affertur: quarum illam quidem rejiciendam esse manifestum est, hæc autem et commoda est, et a Ficino agnoscitur. Sed in hoc participio interpretando alium dat usum præpositioni παρὰ, quam alibi in verbalibus παρακούσματα et παρακοαί. Hunc enim locum ita vertit, *Non esse mirum siquis ingeniosus juvenis, quum prius sermones de rebus magnis audire noluerit.* Steph.

τε εἶναι νῦν καὶ οὐ βιωτὸν ἄλλως ποιοῦντι· μετὰ τοῦτο[k] δὴ ξυντείνας αὐτόν[l] τε καὶ τὸν[m] ἡγούμενον τὴν ὁδὸν οὐκ ἀνίησι πρὶν ἂν ἢ τέλος ἐπιθῇ πᾶσιν ἢ[n] λάβῃ δύναμιν ὥστε αὐτὸς αὐτὸν χωρὶς τοῦ δείξαντος[o] μὴ ἀδύνατος[p] εἶναι ποδηγεῖν. ταύτῃ καὶ κατὰ ταῦτα διανοηθεὶς ὁ τοιοῦτος ζῇ, πράττων μὲν ἐν αἷς τισὶν ἂν ᾖ πράξεσι, παρὰ πάντα δὲ αἰεὶ φιλοσοφίας ἐχόμενος καὶ τροφῆς τῆς καθ' ἡμέραν, ἥ τις ἂν αὐτὸν μάλιστα εὐμαθῆ τε καὶ μνήμονα καὶ[q] λογίζεσθαι δυνατὸν ἐν αὐτῷ νήφοντα ἀπεργάζηται· τὴν δὲ ἐναντίαν ταύ- III. iii. 469.
τῃ μισῶν διατελεῖ. οἱ δὲ ὄντως μὲν μὴ φιλόσοφοι, δόξαις δ' ἐπικεχρωσμένοι, καθάπερ οἱ τὰ σώματα ὑπὸ τοῦ ἡλίου[r] ἐπικεκαυμένοι, ἰδόντες τε ὅσα μαθήματά ἐστι καὶ ὁ πόνος ἡλίκος καὶ δίαιτα ἡ καθ' ἡμέραν ὡς πρέπουσα[s] ἢ[t] κοσμία τῷ[u] πράγματι, χαλεπὸν ἡγησάμενοι καὶ[v] ἀδύνατον αὐτοῖς οὔτε δὴ ἐπιτηδεύειν δυνατοὶ γίγνονται· ἔνιοι δὲ αὐτῶν πεί- III. 341.
θουσιν αὐτοὺς ὡς ἱκανῶς ἀκηκοότες εἰσὶ τὸ ὅλον καὶ οὐδὲν ἔτι δέονταί τινων πραγμάτων. ἡ μὲν δὴ πεῖρα αὕτη γίνεται ἡ σαφής τε καὶ ἀσφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε καὶ ἀδυνάτους διαπονεῖν, ὡς μηδέποτε βάλλειν ἐν αἰτίᾳ τὸν δεικνύντα ἀλλ' αὐτὸν αὐτόν, μὴ δυνάμενον πάντα τὰ πρόσφορα ἐπιτηδεύειν τῷ πράγματι. οὕτω δὴ καὶ Διονυσίῳ τότ' ἐρρήθη τὰ ῥηθέντα. πάντα μὲν οὖν οὔτ' ἐγὼ διεξῆλθον οὔτε Διονύσιος ἐδεῖτο· πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα εἰδέναι τε καὶ ἱκανῶς ἔχειν προσεποιεῖτο διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς. ὕστερον δὲ καὶ ἀκούω γεγραφέναι αὐτὸν περὶ ὧν τότε ἤκουσε, συνθέντα ὡς αὐτοῦ[w] τέχνην, οὐδὲν τῶν

καὶ οἰκεῖον Ξ.—[k] τοῦ pr Ω.—[l] αὐτός Ω, αὐτόν Α.—[m] τὸ Ω.—[n] ἢ om pr Ω.—[o] δείξαντος o, δείξοντος Ξc et γρ Ω.—[p] ἀδύνατος Α et pr Ω, δυνατὸς γρ Ω.—[q] καὶ ante λογίζεσθαι om e.—[r] τὸν ἥλιον ΑΩ.—[s] παρέπουσα, ut videtur, pr ΑΩ.—[t] ἢ Ξco: in ΑΩ post ἢ una litera erasa est.—[u] τῷ ΑΦΩb: τῶν *s.—[v] καὶ om Α et pr Ω.—

ἢ κοσμία] Ita legitur in præc. edit. quidam vero reponunt ἢ κοσμία τῷ πράγματι: sed videtur potius aliquid post τῶν deesse, (fortasse genitivus μανθανόντων, aut alius hujusmodi: nisi potius τῷ μανθάνοντι aut alius dativus fuit scriptus, ut dicat, ὡς πρέπουσα τῷ μανθάνοντι ἡ κοσμία δίαιτα) deinde scribendum esse πρᾶγμά τι χαλεπὸν ἡγησάμενοι etc. Steph. Scilicet Ficinus vertit, *Quæ quotidiani victus temperantia philosophiæ studiis necessaria, rem protinus sibi duram impossibilemque etc.* Bip.

αὐτῶν ἂν[x] ἀκούοι·[y] οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μέν τι-
III. iii. 460. νας οἶδα γεγραφότας περὶ τῶν αὐτῶν τούτων· οἵ τινες δέ, οὐδ' αὐτοὶ αὑτούς. τοσόνδε[z] γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων,[a] ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες εἴτ' ἄλλων εἴθ' ὡς εὑρόντες αὐτοί, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἔστι σύγγραμμα οὐδὲ μή ποτε γένηται· ῥητὸν γὰρ οὐδαμῶς ἐστιν ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ καὶ τοῦ συζῆν[b] ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος[c] ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καί τοι τοσόνδε γε οἶδα, ὅτι γραφέντα[d] ἢ λεχθέντα ὑπ' ἐμοῦ βέλτιστ' ἂν λεχθείη· καὶ μὴν ὅτι γεγραμμένα κακῶς οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ. εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητά,[e] τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ ἢ τοῖς τε ἀνθρώποισι[f] μέγα ὄφελος γράψαι καὶ τὴν φύσιν εἰς φῶς πᾶσι[g] προαγαγεῖν;[h] ἀλλ' οὔτε ἀνθρώποις ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν λεγομένην
III. iii. 461. ἀγαθόν,[i] εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ σμικρᾶς[k] ἐνδείξεως· τῶν γε[l] δὴ ἄλλων τοὺς μὲν καταφρονήσεως οὐκ ὀρθῶς[m] ἐμπλήσειεν ἂν οὐδαμῇ ἐμμελοῦς,[n] τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σέμν' ἄττα μεμα-
III. 342. θηκότας. ἔτι δὲ μακρότερα περὶ αὐτῶν ἐν νῷ μοι γέγονεν[o] εἰπεῖν· τάχα γὰρ ἂν περὶ ὧν λέγω σαφέστερον ἂν εἴη τι[p] λεχθέντων αὐτῶν. ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος[q] τῷ τολμήσαντι[r] γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ πρόσθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος.

[w] αὐτοῦ o.—[x] ὡς ΞΦΩbeo.—[y] ἀκούω Ξeo.—[z] τὸ σὸν Ξ.—[a] γραψόντων (φ) Ω.—[b] ζῆν (εα) Ξ.—[c] πηλήσαντος (δ) A: πηδήσαντος cum *ς corr Ω.—[d] γραφθέντα AΩ.—[e] ῥητὰ Ω, ῥητέα ΞΦ.—[f] ἀνθρώποις Φ.—[g] φῶς τοῖς πᾶσι ΞΦbeo et rc AΩ cum ς.—[h] προσαγαγεῖν (δ) Ξ.—[i] ἀγαθῶν Ω.—[k] μικρᾶς ς.—[l] τε mei omnes.—[m] ὀρθῆς AΦΩbeo.—[n] ἐμμελῶς (αρ) Ω, ἐμμελῶς eo. in b corrosa est extrema syllaba.—[o] γεγόνει (εν) AΩ.—[p] τι om pr Ω.—[q] ἐναντίως Ξ.—[r] τῷ μὴ τολμήσαντι e.—[s] ἔτι o.—[t] δι' ΞΦbo et (adscripto δεῖ)

Ἔστι[s] τῶν ὄντων ἑκάστῳ, δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία· τέταρτον δ' αὐτή· πέμπτον δ' αὐτὸ τιθέναι δεῖ[t] ὃ δὴ γνωστόν τε καὶ ἀληθές[u] ἐστιν· ὧν[v] ἓν μὲν ὄνομα, δεύτερον δὲ λόγος, τὸ δὲ τρίτον εἴδωλον, τέταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν λαβὲ βουλόμενος μαθεῖν τὸ νῦν λεγόμενον, καὶ πάντων οὕτω πέρι νόησον. κύκλος ἐστί τι λεγόμενον,[w] ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα ὃ νῦν ἐφθέγμεθα.[x] λόγος δ' αὐτοῦ τὸ δεύτερον, ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος· τὸ γὰρ ἐκ τῶν ἐσχάτων ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντῃ, λόγος ἂν εἴη ἐκείνου ᾧπερ[y] στρογγύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρίτον δὲ τὸ ζωγραφούμενόν III. iii. 462.
τε καὶ ἐξαλειφόμενον καὶ τορνευόμενον καὶ ἀπολλύμενον· ὧν αὐτὸς ὁ κύκλος, ὃν[z] πέρι πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων ὡς ἕτερον ὄν. τέταρτον δὲ ἐπιστήμη καὶ νοῦς ἀληθής τε δόξα[a] περὶ ταῦτ' ἐστίν· ὡς δὲ ἓν τοῦτο αὖ πᾶν θετέον, οὐκ ἐν φωναῖς οὐδ' ἐν σωμάτων σχήμασιν ἀλλ' ἐν ψυχαῖς ἐνόν, ᾧ δῆλον ἕτερόν τε ὂν αὐτοῦ τοῦ κύκλου τῆς φύσεως τῶν τε ἔμπροσθεν λεχθέντων τριῶν. τούτων δὲ ἐγγύτατα μὲν ξυγγενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου νοῦς πεπλησίακε, τἆλλα δὲ πλέον ἀπέχει. ταὐτὸν δὴ περί τε εὐθέος ἅμα καὶ περιφεροῦς σχήματος καὶ χρόας, περί τε ἀγαθοῦ καὶ καλοῦ καὶ δικαίου, καὶ περὶ σώματος ἅπαντος[b] σκευαστοῦ τε καὶ κατὰ φύσιν γεγονότος, πυρὸς ὕδατός τε καὶ τῶν τοιούτων πάντων, καὶ ζώου ξύμπαντος πέρι καὶ ἐν ψυχαῖς ἤθους, καὶ περὶ ποιήματα καὶ παθήματα ξύμπαντα· οὐ γὰρ ἂν τούτων μή τις[c] τὰ τέτταρα λάβῃ ἁμῶς γέ πως,[d] οὔποτε τελέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς γὰρ τούτοις ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποῖόν τι περὶ ἕκαστον δηλοῦν[e] ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθενές. ὧν ἕνεκα νοῦν ἔχων οὐδεὶς τολμήσει III. 248.
ποτὲ εἰς αὐτὸ τιθέναι τὰ νενοημένα,[f] καὶ ταῦτα εἰς ἀμε- III. iii. 468.
τακίνητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις, τοῦτο δὲ

ΑΩe.—[u] ἀληθῶς γρ Ω.—[v] ὂν γρ ΑΩ.—[w] φθεγγόμενον Ξ.—[x] ἐφθεγξάμεθα e.—[y] ὥσπερ e.—[z] γὰρ ὂν Ξ, ὧν mg e: ὅλα τὰ ἀντίγραφα διὰ τοῦ ō mg Ω.—[a] τε καὶ ἀμ δόξα Ω.—[b] ἅπαντος om Ξ.—[c] τι pr Ω.—[d] ἀμωσγέπως e et γρ Ωe, ἄλλως γέ πως Α, ἄλλω γέ πως Ξ: ἄλλως γέ πως °r.—[e] δηλοῦν om e.—[f] post νεν. omisi, quæ in

αὐτῶν ὧν[x] ἀκούοι·[y] οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μέν τι-
III. iii. 460. νας οἶδα γεγραφότας περὶ τῶν αὐτῶν τούτων· οἵ τινες δέ, οὐδ' αὐτοὶ αὑτούς. τοσόνδε[z] γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων,[a] ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες εἴτ' ἄλλων εἴθ' ὡς εὑρόντες αὐτοί, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἔστι σύγγραμμα οὐδὲ μή ποτε γένηται· ῥητὸν γὰρ οὐδαμῶς ἐστὶν ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ καὶ τοῦ συζῆν[b] ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος[c] ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καί τοι τοσόνδε γε οἶδα, ὅτι γραφέντα[d] ἢ λεχθέντα ὑπ' ἐμοῦ βέλτιστ' ἂν λεχθείη· καὶ μὴν ὅτι γεγραμμένα κακῶς οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ. εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητά,[e] τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ ἢ τοῖς τε ἀνθρώποισι[f] μέγα ὄφελος γράψαι καὶ τὴν φύσιν εἰς φῶς πᾶσι[g] προαγαγεῖν;[h] ἀλλ' οὔτε ἀνθρώποις ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν λεγομένην
III. iii. 461. ἀγαθόν,[i] εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ σμικρᾶς[k] ἐνδείξεως· τῶν γε[l] δὴ ἄλλων τοὺς μὲν καταφρονήσεως οὐκ ὀρθῶς[m] ἐμπλήσειεν ἂν οὐδαμῇ ἐμμελοῦς,[n] τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σέμν' ἄττα μεμα-
III. 342. θηκότας. ἔτι δὲ μακρότερα περὶ αὐτῶν ἐν νῷ μοι γέγονεν[o] εἰπεῖν· τάχα γὰρ ἂν περὶ ὧν λέγω σαφέστερον ἂν εἴη τι[p] λεχθέντων αὐτῶν. ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος[q] τῷ τολμήσαντι[r] γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ πρόσθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος.

[w] αὐτοῦ o.—[x] ὡς ΞΦΩbeo.—[y] ἀκούω Ξeo.—[z] τὸ σὸν Ξ.—[a] γραψόντων (φ supra) Ω.—[b] ζῆν (δ et εα supra) Ξ.—[c] πηλήσαντος A: πηδήσαντος cum *ς corr Ω.—[d] γραφθέντα ΑΩ.—[e] ῥητὰ Ω, ῥητέα ΞΦ.—[f] ἀνθρώποις (δ supra) Φ.—[g] φῶς τοῖς πᾶσι ΞΦbeo et rc ΑΩ cum ς.—[h] προσαγαγεῖν Ξ.—[i] ἀγαθῶν Ω.—[k] μικρᾶς ς.—[l] τε mei omnes.—[m] ὀρθῆς ΑΦΩbeo.—[n] ἐμμελῶς (αρ supra) Ω, ἐμμελῶς eo. in b corrosa est extrema syllaba.—[o] γεγόνει (εν supra) ΑΩ.—[p] τι om pr Ω.—[q] ἐναντίως Ξ.—[r] τῷ μὴ τολμήσαντι e.—[s] ἔτι o.—[t] δι' ΞΦbo et (adscripto δεῖ)

Ἔστι[s] τῶν ὄντων ἑκάστῳ, δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία· τέταρτον δ' αὐτή· πέμπτον δ' αὐτὸ τιθέναι δεῖ[t] ὃ δὴ γνωστόν τε καὶ ἀληθές[u] ἐστιν· ὧν[v] ἓν μὲν ὄνομα, δεύτερον δὲ λόγος, τὸ δὲ τρίτον εἴδωλον, τέταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν λαβὲ βουλόμενος μαθεῖν τὸ νῦν λεγόμενον, καὶ πάντων οὕτω πέρι νόησον. κύκλος ἐστί τι λεγόμενον,[w] ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα ὃ νῦν ἐφθέγμεθα.[x] λόγος δ' αὐτοῦ τὸ δεύτερον, ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος· τὸ γὰρ ἐκ τῶν ἐσχάτων ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντῃ, λόγος ἂν εἴη ἐκείνου ᾧ περ[y] στρογγύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρίτον δὲ τὸ ζωγραφούμενόν III. iii. 402.
τε καὶ ἐξαλειφόμενον καὶ τορνευόμενον καὶ ἀπολλύμενον· ὧν αὐτὸς ὁ κύκλος, ὃν[z] πέρι πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων ὡς ἕτερον ὄν. τέταρτον δὲ ἐπιστήμη καὶ νοῦς ἀληθής τε δόξα[a] περὶ ταῦτ' ἐστίν· ὡς δὲ ἓν τοῦτο αὖ πᾶν θετέον, οὐκ ἐν φωναῖς οὐδ' ἐν σωμάτων σχήμασιν ἀλλ' ἐν ψυχαῖς ἐνόν, ᾧ δῆλον ἕτερόν τε ὂν αὐτοῦ τοῦ κύκλου τῆς φύσεως τῶν τε ἔμπροσθεν λεχθέντων τριῶν. τούτων δὲ ἐγγύτατα μὲν ξυγγενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου νοῦς πεπλησίακε, τἆλλα δὲ πλέον ἀπέχει. ταὐτὸν δὴ περί τε εὐθέος ἅμα καὶ περιφεροῦς σχήματος καὶ χρόας, περί τε ἀγαθοῦ καὶ καλοῦ καὶ δικαίου, καὶ περὶ σώματος ἅπαντος[b] σκευαστοῦ τε καὶ κατὰ φύσιν γεγονότος, πυρὸς ὕδατός τε καὶ τῶν τοιούτων πάντων, καὶ ζώου ξύμπαντος πέρι καὶ ἐν ψυχαῖς ἤθους, καὶ περὶ ποιήματα καὶ παθήματα ξύμπαντα· οὐ γὰρ ἂν τούτων μή τις[c] τὰ τέτταρα λάβῃ ἁμῶς γέ πως,[d] οὔποτε τελέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς γὰρ τούτοις ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποῖόν τι περὶ ἕκαστον δηλοῦν[e] ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθενές. ὧν ἕνεκα νοῦν ἔχων οὐδεὶς τολμήσει III. 348.
ποτὲ εἰς αὐτὸ τιθέναι τὰ νενοημένα,[f] καὶ ταῦτα εἰς ἀμε- III. iii. 403.
τακίνητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις, τοῦτο δὲ

ΑΩε.—[u] ἀληθῶς γρ Ω.—[v] ὃν γρ ΑΩ.—[w] φθεγγόμενον Ξ.—[x] ἐφθεγξάμεθα ε.—[y] ὥσπερ ο.—[z] γὰρ ὃν Ξ, ὧν mg ε: ὅλα τὰ ἀντίγραφα διὰ τοῦ ō mg Ω.—[a] τε καὶ ἀμ δόξα Ω.—[b] ἅπαντος om Ξ.—[c] τι pr Ω.—[d] ἀμωσγέπως ε et γρ Ωο, ἄλλως γέ πως Α, ἄλλῳ γέ πως Ξ: ἄλλως γέ πως °ς.—[e] δηλοῦν om ε.—[f] post νεν. omisi, quæ in

πάλιν αὖ τὸ νῦν λεγόμενον δεῖ μαθεῖν. κύκλος ἕκαστος τῶν ἐν ταῖς πράξεσι γραφομένων ἢ καὶ τορνευθέντων μεστὸς τοῦ ἐναντίου ἐστὶ τῷ πέμπτῳ· τοῦ γὰρ εὐθέος ἐφάπτεται πάντῃ· αὐτὸς δέ, φαμέν, ὁ κύκλος οὔ τέ τι[g] σμικρότερον οὔτε μεῖζον τῆς ἐναντίας ἔχει ἐν αὑτῷ φύσεως. ὄνομά τε αὐτῶν φαμὲν οὐδὲν οὐδενὶ βέβαιον εἶναι, κωλύειν[h] δ' οὐδὲν τὰ νῦν στρογγύλα καλούμενα εὐθέα κεκλῆσθαι τά τε εὐθέα δὴ[i] στρογγύλα, καὶ οὐδὲν ἧττον βεβαίως ἕξειν τοῖς μεταθεμένοις καὶ ἐναντίως καλοῦσι. καὶ μὴν περὶ λόγου γε ὁ αὐτὸς λόγος, εἴ περ ἐξ ὀνομάτων καὶ ῥημάτων σύγκειται, μηδὲν ἱκανῶς βεβαίως εἶναι βέβαιον. μυρίος δὲ λόγος αὖ περὶ ἑκάστου τῶν τεττάρων, ὡς ἀσαφές· τὸ δὲ μέγιστον, ὅ περ εἴπομεν ὀλίγον ἔμπροσθεν, ὅτι δυοῖν ὄντοιν, τοῦ τε ὄντος καὶ τοῦ ποιοῦ[k] τινός, οὐ τὸ ποιόν[l] τι, τὸ δὲ τί ζητούσης εἰδέναι τῆς ψυχῆς, τὸ μὴ ζητούμενον ἕκαστον τῶν τεττάρων προτεῖνον[m] τῇ ψυχῇ λόγῳ τε καὶ κατ' ἔργα, αἰσθήσεσιν[n] εὐ-
III. iii. 464. έλεγκτον[o] τό τε λεγόμενον καὶ δεικνύμενον αἰεὶ παρεχόμενον ἕκαστον, ἀπορίας τε καὶ ἀσαφείας ἐμπίπλησι[p] πάσης ὡς ἔπος[q] εἰπεῖν πάντ' ἄνδρα. ἐν οἷσι μὲν οὖν μηδ' εἰθισμένοι[r] τὸ ἀληθὲς ζητεῖν ἐσμὲν[s] ὑπὸ πονηρᾶς τροφῆς, ἐξαρκεῖ δὲ τὸ προταθὲν[t] τῶν εἰδώλων, οὐ καταγέλαστοι γιγνόμεθα ὑπ'[u] ἀλλήλων, οἱ ἐρωτώμενοι ὑπὸ τῶν ἐρωτώντων, δυναμένων δὲ τὰ τέτταρα διαρρίπτειν τε καὶ ἐλέγχειν· ἐν οἷς δ' ἂν τὸ πέμπτον ἀποκρίνασθαι καὶ δηλοῦν ἀναγκάζωμεν, ὁ βουλόμενος τῶν δυναμένων ἀνατρέπειν κρατεῖ, καὶ ποιεῖ τὸν ἐξηγούμενον ἐν λόγοις ἢ γράμμασιν ἢ ἀποκρίσεσι τοῖς πολλοῖς τῶν ἀκουόντων δοκεῖν μηδὲν γιγνώσκειν ὧν ἂν ἐπιχειρῇ γράφειν ἢ λέγειν,[v] ἀγνοούντων ἐνίοτε ὡς οὐχ ἡ ψυχὴ τοῦ

marginem amandant ΑΩ, ὑπ' αὐτοῦ.—[g] τι om ΞΦΒ.—[h] κωλύειν ΞΦbo et (apposito ς κωλύει) Ω.—[i] δὲ καὶ b.—[k] ποιοῦ ΑΞΩο : ποίου *ς.—[l] ποιὼν ΑΩο : ποῖόν *ς.—[m] πρότερον c et γρ Ω.—[n] αἴσθησιν ΞΦbco et (in mg apposito αἰσθήσεσιν) ΑΩ.—
el
[o] εὐέκλεκτον pr c, εὐέκλεκτον corr.—[p] ἐμπίμπλησι ΑΩ.—[q] ἔπος om Ξ.—[r] ἠθισμένοι Ω : εἰθισμένοι cum *ς corr in prima syllaba A.—[s] ἐσμὲν in mg ponit A, om pr Ω.
ε
—[t] προταθὲν bo, προταθὲν ΑΩ, προστεθὲν Ξc et γρ o : προτεθὲν *ς.—[u] ὑπὸ om Φb.

προτεῖνον] Pro προτεῖνον affertur et Fic. Steph. Cornar. conjecit πρότερον. alia lectio πρότερον: quam sequitur et Bip.

γράψαντος ἢ λέξαντος ἐλέγχεται, ἀλλ' ἡ τῶν τεττάρων
φύσις ἑκάστου, πεφυκυῖα φαύλως. ἡ δὲ διὰ πάντων αὐτῶν
διαγωγή, ἄνω καὶ κάτω μεταβαίνουσα ἐφ' ἕκαστον, μόγις
ἐπιστήμην ἐνέτεκεν εὖ πεφυκότος εὖ πεφυκότι. κακῶς δὲ
ἂν φυῇ, ὡς ἡ τῶν πολλῶν ἕξις τῆς ψυχῆς εἴς τε[w] τὸ μα-
θεῖν εἴς τε τὰ[x] λεγόμενα ἤθη πέφυκε, τὰ δὲ διέφθαρται,
οὐδ' ἂν ὁ Λυγκεὺς ἰδεῖν ποιήσειε τοὺς τοιούτους. ἑνὶ δὲ λό- III. 344.
γῳ, τὸν μὴ ξυγγενῆ τοῦ πράγματος οὔτ' ἂν εὐμαθία[y] III. iii. 465.
ποιήσειέ ποτε οὔτε μνήμη· τὴν ἀρχὴν γὰρ ἐν ἀλλοτρίαις
ἕξεσιν οὐκ ἐγγίγνεται. ὥστε ὁπόσοι τῶν δικαίων τε καὶ
τῶν ἄλλων ὅσα καλὰ[z] μὴ προσφυεῖς εἰσὶ καὶ ξυγγενεῖς,
ἄλλοι δὲ ἄλλων εὐμαθεῖς ἅμα[a] καὶ μνήμονες, οὐδ' ὅσοι
ξυγγενεῖς, δυσμαθεῖς δὲ καὶ ἀμνήμονες, οὐδένες τούτων μή
ποτε μάθωσιν ἀλήθειαν ἀρετῆς εἰς τὸ δυνατὸν οὐδὲ κακίας·
ἅμα γὰρ αὐτὰ ἀνάγκη μανθάνειν, καὶ τὸ ψεῦδος ἅμα καὶ
ἀληθὲς τῆς ὅλης οὐσίας, μετὰ τριβῆς πάσης καὶ χρόνου
πολλοῦ, ὅ περ ἐν ἀρχαῖς εἶπον. μόγις δὲ τριβόμενα πρὸς
ἄλληλα αὐτῶν ἕκαστα, ὀνόματα καὶ λόγοι ὄψεις τε καὶ
αἰσθήσεις, ἐν εὐμενέσιν ἐλέγχοις ἐλεγχόμενα καὶ ἄνευ φθό-
νων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων, ἐξέλαμψε φρόνη-
σις περὶ[b] ἕκαστον καὶ νοῦς, συντείνων ὅτι μάλιστ' εἰς δύνα-
μιν ἀνθρωπίνην. διὸ δὴ πᾶς ἀνὴρ σπουδαῖος τῶν ὄντων σπου-
δαίων πέρι πολλοῦ δεῖ[c] μὴ γράψας ποτὲ ἐν ἀνθρώποις, εἰς
φθόνον καὶ ἀπορίαν καταβάλῃ.[d] ἑνὶ δὴ ἐκ τούτων δεῖ γιγ-
νώσκειν λόγῳ, ὅταν ἴδῃ τίς του[e] συγγράμματα γεγραμ-
μένα εἴτε ἐν νόμοις νομοθέτου εἴτε ἐν ἄλλοις τισὶν ἅττ' οὖν, III. iii. 466.
ὡς οὐκ ἦν τούτῳ ταῦτα σπουδαιότατα, εἴ πέρ ἐστ' αὐτὸς
σπουδαῖος, κεῖται δέ που ἐν χώρᾳ τῇ καλλίστῃ τῶν τούτου.
εἰ δὲ ὄντως αὐτῷ ταῦτ' ἐσπουδασμένα ἐν γράμμασιν ἐτέθη,
ἐξ ἄρα δή οἱ ἔπειτα, θεοὶ μὲν οὔ, βροτοὶ δὲ[f] φρένας ὤλεσαν
αὐτοί.[g]

—[v] λέγειν ἢ γράφειν c.—[w] τε om Φb.—[x] εἰ τὰ Φb.—[y] εὐμαθεία b, εὐμάθεια Φ.—[z] ὅσαι καλαὶ Φbo et corr Ω.—[a] δὲ ἅμα Ξbτ.—[b] πρὸς b.—[c] δεῖ om Ξ.—[d] καταβάλῃ corr A: καταβαλεῖ °τ.—[e] τοῦ om pr AΩ.—[f] δέ Ξ.—[g] τοι AΩ.—[h] τούτῳ...εἴσεται

τῶν ὄντων] Ficin. quæ revera digna sunt studio: ὄντως legisse videtur. Fabrsi.

ἐξ ἄρα δή οἱ] Versus est Homeri Iliad. H. et M. Ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί: quo versu ita hic utitur

Τούτῳ[h] δὴ τῷ μύθῳ τε καὶ πλάνῳ ὁ ξυνεπιστάμενος[i] εὖ εἴσεται, εἴτ' οὖν Διονύσιος ἔγραψέ τι τῶν περὶ φύσεως ἄκρων[k] καὶ πρώτων εἴ τέ τις ἐλάττων εἴτε μείζων, ὡς οὐδὲν ἀκηκοὼς οὐδὲ μεμαθηκὼς ἦν ὑγιὲς ὧν ἔγραψε κατὰ τὸν ἐμὸν λόγον· ὁμοίως γὰρ ἂν αὐτὰ ἐσέβετο ἐμοί, καὶ οὐκ ἂν αὐτὰ ἐτόλμησεν εἰς ἀναρμοστίαν[l] καὶ ἀπρέπειαν[m] ἐκβάλλειν. οὔτε γὰρ ὑπομνημάτων χάριν αὐτὰ[n] ἔγραψεν· οὐδὲν γὰρ δεινὸν μή τις αὐτὸ ἐπιλάθηται, ἐὰν ἅπαξ τῇ ψυχῇ περιλάβῃ· πάντων γὰρ ἐν βραχυτάτοις κεῖται. φιλοτιμίας δὲ αἰσχρᾶς εἵπερ ἕνεκα, εἴθ'[o] ὡς αὐτοῦ τιθέμενος εἴθ' ὡς παιδείας δὴ μέτοχος ὤν, ἧς οὐκ ἄξιος ἦν ἀγαπῶν δόξαν
III. 345. τὴν τῆς μετοχῆς γενομένην.[p] εἰ μὲν οὖν ἐκ τῆς μιᾶς συνου-
σίας Διονυσίῳ τοῦτο γέγονε, τάχ' ἂν εἴη· γέγονε δ' οὖν
III. iii. 467. ὅπως, ἴττω[q] Ζεύς, φησὶν ὁ Θηβαῖος. διεξῆλθον μὲν γὰρ ὡς εἶπόν τε ἐγὼ καὶ ἅπαξ μόνον, ὕστερον δὲ οὐ πώποτε ἔτι. ἐννοεῖν δὴ δεῖ τὸ μετὰ τοῦτο, ὅτῳ μέλει τὸ περὶ[r] αὐτὰ[s] γεγονὸς εὑρεῖν, ὅπῃ ποτὲ γέγονε, τίνι ποτ' αἰτίᾳ[t] τὸ δεύτερον καὶ τὸ τρίτον, πλεονάκις τε οὐ διεξῇμεν·[u] πότερον Διονύσιος ἀκούσας μόνον ἅπαξ οὕτως εἰδέναι τε οἴεται καὶ ἱκανῶς οἶδεν,[v] εἴτε αὐτὸς εὑρὼν ἢ καὶ μαθὼν ἔμπροσθεν παρ' ἑτέρων, ἢ φαῦλα εἶναι τὰ λεχθέντα, ἢ τὸ τρίτον οὐ καθ' αὐτόν, μείζονα δέ, καὶ ὄντως[w] οὐκ ἂν δυνατὸς εἶναι[x] φρο-

om Φ.—[i] ξυνεπιστώμενος o.—[k] γνωρίμων (adscripto ἄκρων) Φ.—[l] ἀναρμονίαν b.—[m] εὐπρέπειαν o.—[n] αὐτὰ om pr Ω.—[o] ἕνεκα εἰωθ' Ω.—[p] γενομένης Ao, γενομένης Ω.—[q] εἴττω A et (supra additis οὕτως τὰ ἀντίγραφα) Ω, ἤττω e cum γρ AΩ, ἴτω Φ b.—[r] τὰ περὶ eo.—[s] τὰ Ω.—[t] αἰναντία Ξ.—[u] διεξῄειμεν b.—[v] οἶδεν AΩbe: εἰδέναι *ς.—[w] οὕτως o et (adscripto ὄντως) e.—[x] οὐ καθ' αὐτὸν εἶναι Ξς.—[y] θαυμαστῶς o.

ut mutet τοι in οἱ (nisi forte alibi extat idem versus cum οἱ) et θεοὶ in βροτοί. Steph.

γενομένην] Legendum est fortasse τὴν τῆς μετοχῆς γενομένην ἄν: vel præfixa particula ἂν participio. Omittit certe Ficinus quoque horum verborum interpretationem. Non immerito autem suspectus et hic locus fuerit, τάχ' ἂν εἴη. Steph.

ἴττω Ζεὺς] Aut non legisse aut non intellexisse videtur Ficinus ἴττω: vertit enim et ipse, *Proh Juppiter:* quum tamen ἴττω existimetur Thebani sermonis consuetudine dictum pro ἴστω. Steph.

οὕτως εἰδέναι] Fortasse ὅμως εἰδέναι vel ὄντως εἰδέναι scriptum fuit: magis tamen illud quam hoc mihi placet. At Fic. *Adeo sufficienter ea se scire putaverit, satisve norit.* Paulo post vero ante ἢ φαῦλα ponendum est quod vocamus punctum superius: subauditur autem οἴεται ex præcedentibus. Steph.

ἢ τὸ τρίτον] Lege, ἢ τὸ τρίτον, οὐ καθ' αὐτόν, μείζονα δέ: καὶ ὄντως οὐ etc. Steph.

νήσεώς τε καὶ ἀρετῆς ζῆν ἐπιμελούμενος. εἰ μὲν γὰρ φαῦλα, πολλοῖς μάρτυσι μαχεῖται τὰ ἐναντία λέγουσιν, οἳ περὶ τῶν τοιούτων πάμπολυ Διονυσίου κυριώτεροι ἂν εἶεν κριταί· εἰ δὲ εὑρηκέναι ἢ μεμαθηκέναι, ἄξια δ' οὖν εἶναι πρὸς παιδείαν ψυχῆς ἐλευθέρας, πῶς ἂν μὴ θαυμαστὸς[y] ὢν ἄνθρωπος τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως[z] εὐχερῶς ἠτίμασέ ποτ' ἄν; πῶς δ' ἠτίμασεν; ἐγὼ φράζοιμ' ἄν.

Οὐ πολὺν χρόνον διαλιπὼν τὸ μετὰ τοῦτο, ἐν τῷ πρόσθεν Δίωνα ἐῶν τὰ ἑαυτοῦ κεκτῆσθαι καὶ καρποῦσθαι χρή- III. iii. 468.
ματα,[a] τότε οὐκέτ' εἴα[b] τοὺς ἐπιτρόπους αὐτοῦ πέμπειν εἰς Πελοπόννησον, καθά περ ἐπιλελησμένος τῆς ἐπιστολῆς παντάπασιν· εἶναι γὰρ αὐτὰ οὐ Δίωνος[c] ἀλλὰ τοῦ υἱέος,[d] ὄντος[e] μὲν ἀδελφιδοῦ αὐτοῦ, κατὰ νόμους[f] ἐπιτροπεύοντος. τὰ μὲν δὴ πεπραγμένα μέχρι τούτου ταῦτ' ἦν ἐν τῷ τότε χρόνῳ, τούτων δὲ οὕτω γενομένων ἑωράκη[g] τε ἐγὼ[h] ἀκριβῶς τὴν ἐπιθυμίαν τῆς Διονυσίου φιλοσοφίας, ἀγανακτεῖν τε ἐξῆν εἴτε βουλοίμην εἴτε μή. ἦν γὰρ θέρος ἤδη[i] τότε καὶ ἔκπλοι τῶν νεῶν. ἐδόκει δὴ χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ Διονυσίῳ μᾶλλον ἢ ἐμαυτῷ τε καὶ τοῖς βιασαμένοις ἐλθεῖν ἐμὲ τὸ τρίτον[k] εἰς τὸν πορθμὸν τὸν περὶ τὴν Σκύλλαν,

ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν,

—z οὕτως om b.—a κτήματα Φb.—b εἴα om pr ΑΩ.—c οὐ δίωνος αὐτὰ b.—d υἱέως (ηι supra) bt.—e ὄντως e.—f post νόμους omisi δὲ cum pr ΑΩ.—g ἑωράκει Ω, ἑωράκει γρ Ω: ἑωράκειν cum *ς corr A.—h ἐγὼ add A et γρ Ω.—i ἤδη om o.—k ἐμὲ τὸ τρίτον om

ἐπιμελούμενος] Necesse est ut legatur ἐπιμελούμενον. Steph.

πῶς ἂν μὴ] Videri possit Fic. locum hunc aliter legisse: sed potius non intellectum ab eo fuisse puto: vertit enim et ipse, *Quis non id mirum putet, Dionysium sic affectum horum aliquando ducem et autorem contempsisse?* At ego minime suspectum debere hunc locum esse dico: sed ita esse intelligendum ac si loquutus esset hoc modo Plato, πῶς ἄν, εἰ μὴ θαυμαστὸς ἦν ἄνθρωπος, ἠτίμασε ποτ' ἂν οὕτως εὐχερῶς τὸν ἡγεμόνα etc. id est, *Quomodo, nisi mirus vir esset, eum contempsisset* (vel *opprobrio habuisset*) *qui dux et autor horum extiterat?* si tamen κύριον ita interpretari oportet. Erit autem interpungendum post πῶς ἄν, deinde et post μὴ θαυμαστὸς ὢν ἄνθρωπος. Ad eam vero, quam Ficinus sibi fingit lectionem, magna mutatione esset opus: primum enim scribendum esset, πῶς μὴ θαυμαστὸν τὸν ἄνθρωπον, deinde et ἀτιμάσαι pro ἠτίμασε: et τὸν ἄνθρωπον intelligere oporteret Dionysium: ut ὁ ἄνθρωπος interdum relativi pronominis loco ponitur. In eo autem quem absque ulla mutatione elicio sensu, θαυμαστὸς dicetur ut nonnunquam θαυμάσιος de eo quem ob aliquid ἄτοπον miramur: quod voce Gallica quæ Græcæ respondet, melius, ut opinor, quam Latina exprimitur. Steph.

τοῦτο] Ponenda est hypostigme post pronomen τοῦτο. Steph.

λέγειν δὲ πρὸς Διονύσιον ὅτι μοι μένειν ἀδύνατον εἴη Δίω-
νος οὕτω προπεπηλακισμένου· ὁ δὲ παρεμυθεῖτό τε καὶ
ἐδεῖτο μένειν, οὐκ οἰόμενός οἱ καλῶς ἔχειν ἐμὲ ἄγγελον
αὐτὸν[l] τῶν τοιούτων ἐλθεῖν ὅ τι τάχος· οὐ πείθων δὲ αὐτός
III. 346. μοι πομπὴν παρασκευάσειν ἔφη. ἐγὼ γὰρ[m] ἐν τοῖς ἀπο-
στόλοις πλοίοις ἐμβὰς διενοούμην πλεῖν, τεθυμωμένος πά-
III. iii. 469. σχειν τε οἰόμενος δεῖν, εἰ διακωλυοίμην, ὁτιοῦν, ἐπειδὴ περι-
φανῶς ἠδίκουν μὲν οὐδέν,[n] ἠδικούμην δέ. ὁ δὲ οὐδέν με[o] τοῦ
καταμένειν προσιέμενον ὁρῶν μηχανὴν τοῦ μεῖναι τὸν τότε
ἔκπλουν[p] μηχανᾶται τοιάνδε[q] τινά. τῇ μετὰ ταῦτα ἐλθὼν
ἡμέρᾳ λέγει πρός με πιθανὸν λόγον. Ἐμοὶ καὶ σοὶ Δίων,
ἔφη, καὶ τὰ[r] Δίωνος ἐκποδὼν ἀπαλλαχθήτω[s] τοῦ περὶ
αὐτὰ πολλάκις διαφέρεσθαι. ποιήσω γὰρ διὰ σέ, ἔφη,
Δίωνι τάδε. ἀξιῶ ἐκεῖνον ἀπολαβόντα τὰ ἑαυτοῦ οἰκεῖν
μὲν ἐν Πελοποννήσῳ, μὴ ὡς φυγάδα δέ, ἀλλ' ὡς αὐτῷ καὶ
δεῦρο ἐξὸν ἀποδημεῖν,[t] ὅταν[u] ἐκείνῳ τε καὶ ἐμοὶ καὶ ὑμῖν
τοῖς φίλοις κοινῇ ξυνδοκῇ· ταῦτα δ' εἶναι μὴ ἐπιβουλεύ-
οντος[v] ἐμοί. τούτων δὲ ἐγγυητὰς γίγνεσθαι σέ τε καὶ τοὺς
σοὺς οἰκείους καὶ τοὺς ἐνθάδε Δίωνος· ὑμῖν δὲ τὸ βέβαιον
ἐκεῖνος παρεχέτω. τὰ χρήματα δὲ ἃ ἂν λάβῃ, κατὰ Πε-
λοπόννησον μὲν καὶ Ἀθήνας κείσθω παρ' οἷς τισὶν ἂν ὑμῖν
δοκῇ, καρπούσθω δὲ Δίων, μὴ κύριος δὲ ἄνευ ὑμῶν γιγνέσθω
ἀνελέσθαι. ἐγὼ γὰρ ἐκείνῳ μὲν οὐ σφόδρα πιστεύω τούτοις
χρώμενον ἂν τοῖς χρήμασι δίκαιον γίγνεσθαι περὶ ἐμέ· οὐ
γὰρ ὀλίγα ἔσται· σοὶ δὲ καὶ τοῖς σοῖς μᾶλλον πεπίστευκα.
III. iii. 470. ὅρα δὴ ταῦτα εἴ σοι ἀρέσκει, καὶ μένε ἐπὶ τούτοις τὸν ἐνι-
αυτὸν τοῦτον, εἰς δὲ ὥρας ἄπιθι λαβὼν τὰ χρήματα ταῦτα·
καὶ Δίων εὖ οἶδ' ὅτι πολλὴν χάριν ἕξει σοι διαπραξαμένῳ
ταῦτα ὑπὲρ ἐκείνου. Τοῦτον δὴ ἐγὼ τὸν λόγον ἀκούσας

Φb.—[l] αὐτῶν o.—[m] δὲ e.—[n] οὐδέν om b.—[o] ὁ δὲ οὐδέν με om pr ΑΩ.—[p] τὸν ἔκπλουν τοῦτον Φb.—[q] τοιαύτην Φ.—[r] κατὰ A et pr Ω et τὰ ἀντίγραφα καὶ τὸ τοῦ πατρ, (χ) οὐ καλῶς.—[s] ἀπηλλάχθη, τω A et pr Ω.—[t] ἐπιδημεῖν corr Φ.—[u] ὅ γ' ἂν s.—[v] ἐπιβουλεύοντος Ω, ἐπιβουλεύοντι Ξ.—[w] μὲν ὅμως Φ et pr ΑΩ: μὲν ὅλως ὅμως °s.

ἐπιβουλεύοντος] Magis placet altera lectio, quæ habet dativum ἐπιβουλεύοντι. Steph.

ἐδυσχέραινον μέν, ὅμως[w] δὲ βουλευσάμενος ἔφην εἰς τὴν ὑστεραίαν αὐτῷ περὶ τούτων τὰ δόξαντα ἀπαγγελεῖν.[x] ταῦτα ξυνεθέμεθα τότε. ἐβουλευόμην δὴ τὸ[y] μετὰ ταῦτα κατ' ἐμαυτὸν γενόμενος, μάλα συγκεχυμένος· πρῶτος δ' ἦν μοι τῆς βουλῆς ἡγούμενος ὅδε λόγος. φέρε, εἰ διανοεῖται τούτων μηδὲν ποιεῖν Διονύσιος ὧν φησίν, ἀπελθόντος δ' ἐμοῦ ἐὰν ἐπιστέλλῃ Δίωνι πιθανῶς αὐτός τε καὶ ἄλλοι πολλοὶ[z] τῶν αὐτοῦ,[a] διακελευόμενος ἃ νῦν πρὸς ἐμὲ λέγει, ὡς αὐτοῦ μὲν ἐθέλοντος, ἐμοῦ δὲ οὐκ ἐθελήσαντος ἃ προὐκαλεῖτό με δρᾷν, ἀλλ' ὀλιγωρήσαντος τῶν ἐκείνου τὸ παράπαν πραγμάτων. πρὸς δὲ καὶ τούτοισιν ἔτι μηδ'[b] ἐθέλῃ με ἐκπέμπειν, αὐτὸς τῶν ναυκλήρων μηδενὶ προστάττων, ἐνδείξηται δὲ πᾶσι ῥᾳδίως ὡς ἀβουλῶν ἐμὲ ἐκπλεῖν, ἆρά τις ἐθελήσει III. 347.
με ἄγειν ναύτης[c] ὁρμώμενον ἐκ τῆς Διονυσίου οἰκίας; (ᾤκουν γὰρ[d] δὴ[e] πρὸς τοῖς ἄλλοισι κακοῖς ἐν τῷ κήπῳ τῷ περὶ τὴν οἰκίαν, ὅθεν οὐδ' ἂν ὁ θυρωρὸς ἤθελέ με ἀφεῖναι μὴ πεμφθείσης αὐτῷ τινὸς ἐντολῆς παρὰ Διονυσίου.) ἂν III. iii. 471.
δὲ περιμείνω[f] τὸν ἐνιαυτόν, ἕξω μὲν Δίωνι ταῦτα ἐπιστέλλειν, ἐν οἷς[g] τ' αὖ εἰμὶ καὶ ἃ πράττω. καὶ ἐὰν μὲν δὴ[h] ποιῇ τι Διονύσιος ὧν φησίν, οὐ παντάπασιν ἔσται μοι καταγελάστως πεπραγμένα· τάλαντα γὰρ ἴσως ἐστὶν οὐκ ἔλαττον, ἂν ἐκτιμᾷ τις ὀρθῶς, ἑκατὸν ἡ Δίωνος οὐσία· ἂν δ' οὖν γίγνηται τὰ νῦν ὑποφαίνοντα,[i] οἷα εἰκὸς αὐτὰ γίγνεσθαι, ἀπορῶ μὲν ὅ τι χρήσομαι ἐμαυτῷ, ὅμως δὲ ἀναγκαῖον ἴσως ἐνιαυτόν γ' ἔτι πονῆσαι καὶ ἔργοις ἐλέγξαι πειρᾶσθαι τὰς Διονυσίου μηχανάς. ταῦτά μοι δόξαντα ἐς[k] τὴν ὑστεραίαν εἶπον πρὸς Διονύσιον ὅτι δέδοκταί μοι μένειν· ἀξιῶ μήν, ἔφην,[l] μὴ[m] κύριον ἡγεῖσθαί σε Δίωνος ἐμέ, πέμπειν δὲ[n] μετ' ἐμοῦ σὲ παρ' αὐτὸν γράμματα τὰ[o] νῦν δεδογμένα δηλοῦντα,[p] καὶ ἐρωτᾷν εἴτε[q] ἀρκεῖ ταῦτα

—[x] ἀπαγγέλλειν ΑΞΦΩο, ἀπαγγέλειν b, ἐπαγγέλλειν e.—[y] τὸ γρ Ω: τότε s.—[z] ἄλλοις πολλοῖς ΑΞΦΩbeo.—[a] αὐτῶν ΞΩbo.—[b] μηδὲν e.—[c] ναύτην ΑΦΩbeo.—[d] γὰρ om o.—[e] δὴ om pr Ω.—[f] περιμείνω A: μείνω *s.—[g] οἷς ΑΩe: οἵοις *s. γρ ἐν οἷς τ' εἰμὶ (id quod est in mg e), καὶ ἐν οἵοις τ' εἰμὶ, καὶ ἐν οἷς τ' αὐτ' εἰμὶ mg Ω. τ' αὐτ' etiam Ξ, ταῦτ' ΑΩeo, τ' αὖ Φb: αὐτ' s.—[h] δὴ om Φb.—[i] ἀποφαίνοντα A, ἀπεμφαίνοντα γρ Ω, ὑποφαίνονται e.—[k] ἐς b: εἰς *s.—[l] ἔφη Φ.—[m] καὶ e.—[n] δὲ om pr Ω.—[o] παρ' αὐτὸν γράμματα τὰ om pr ΑΩ.—[p] δηλοῦντα om pr A, in litura

αὐτῷ, καὶ εἰ μή, βούλεται δὲ ἄλλ' ἄττα καὶ ἀξιοῖ, καὶ
ταῦτα ἐπιστέλλειν ὅτι τάχιστα, σὲ δὲ νεωτερίζειν μηδέν
πω τῶν περὶ ἐκεῖνον. ταῦτ' ἐρρήθη, ταῦτα ξυνωμολογήσα-
μεν, ὡς νῦν εἴρηται σχεδόν. ἐξέπλευσε δὴ τὰ πλοῖα μετὰ
τοῦτο, καὶ οὐκέτι μοι δυνατὸν ἦν πλεῖν, ὅτε[r] δή μοι καὶ
III. iii. 472. Διονύσιος ἐμνήσθη λέγων ὅτι τὴν ἡμίσειαν τῆς οὐσίας εἶναι
δέοι Δίωνος, τὴν δ' ἡμίσειαν τοῦ[s] υἱέος·[t] ἔφη δὴ πωλήσειν[u]
αὐτήν, πραθείσης δὲ τὰ μὲν ἡμίσεα ἐμοὶ δώσειν ἄγειν, τὰ
δ' ἡμίσεα τῷ παιδὶ καταλείψειν αὐτοῦ· τὸ γὰρ δὴ δικαιό-
τατον οὕτως ἔχειν. πληγεὶς δ' ἐγὼ τῷ λεχθέντι πάνυ μὲν
ᾤμην[v] γελοῖον εἶναί τι[w] λέγειν ἔτι, ὅμως[x] δ'[y] εἶπον ὅτι
χρείη τὴν[z] παρὰ Δίωνος ἐπιστολὴν περιμένειν[a] ἡμᾶς καὶ
ταῦτα πάλιν αὐτὰ ἐπιστέλλειν. ὁ δὲ ἑξῆς τούτοις πάνυ
νεανικῶς ἐπώλει τὴν οὐσίαν αὐτοῦ πᾶσαν, ὅπῃ τε καὶ ὅπως
ἤθελε καὶ οἷς τισί, πρὸς ἐμὲ δὲ οὐδὲν ὅλως ἐφθέγγετο περὶ
αὐτῶν, καὶ μὴν ὡσαύτως ἐγὼ πρὸς ἐκεῖνον αὖ περὶ τῶν Δίω-
νος πραγμάτων οὐδὲν ἔτι διελεγόμην· οὐδὲν γὰρ ἔτι πλέον
ᾤμην ποιεῖν.[b]

Μέχρι μὲν δὴ τούτων ταύτῃ μοι βεβοηθημένον[c] ἐγεγό-
νει φιλοσοφίᾳ καὶ φίλοις· τὸ δὲ μετὰ ταῦτα ἐζῶμεν ἐγὼ
III. 348. καὶ Διονύσιος, ἐγὼ μὲν βλέπων ἔξω, καθά περ ὄρνις ποθῶν
ποθὲν ἀναπτέσθαι,[d] ὁ δὲ διαμηχανώμενος τίνα τρόπον ἀνα-
σοβήσοι με μηδὲν ἀποδοὺς[e] τῶν[f] Δίωνος· ὅμως δὲ ἔφαμεν
ἑταῖροί[g] γε εἶναι πρὸς πᾶσαν Σικελίαν. τῶν δὴ[h] μισθοφό-
III. iii. 473. ρων τοὺς πρεσβυτέρους Διονύσιος ἐπεχείρησεν ὀλιγομισθο-
τέρους ποιεῖν παρὰ τὰ[i] τοῦ πατρὸς ἔθη,[k] θυμωθέντες δὲ οἱ
στρατιῶται ξυνελέγησαν ἀθρόοι καὶ οὐκ ἔφασαν ἐπιτρέψειν.
ὁ δ' ἐπεχείρει βιάζεσθαι κλείσας τὰς τῆς ἀκροπόλεως πύ-
λας, οἱ δ' ἐφέροντο εὐθὺς πρὸς τὰ τείχη, παιωνά[l] τινα ἀνα-

habet Ω.—[q] εἴγε ς. et mox ἢ καὶ μή.—[r] ὅτι ς.—[s] τοῦ om Φb.—[t] υἱέως ς.—[u] προ-
λήσειν e.—[v] εἶναι b.—[w] ὅτι ΑΞΦΩbeo.—[x] εἴ πως o.—[y] δέοι Φbe et γρ Ωo.—[z] τὴν
om pr Ω.—[a] περιμαίνειν Ξ.—[b] δεῖν, γρ ποιεῖν, o.—[c] βεβοηθημένα o.—[d] ἀναπτέσθαι
α
ΑΦbo, ἀνέπτεσθαι Ω, ἀναπτεσθαι e: ἀναπτάσθαι Ξς.—[e] ἀποδιδοὺς e.—[f] τοῦ Ξ.—
[g] ἑταῖρόν e.—[h] δὲ o.—[i] τὰ om o.—[k] ἤδη Ξ.—[l] παιᾶνά Φbe.—[m] βοήσαντες A et pr

λέγων] Rectius lectum iri puto ὅτε δή μοι καὶ Διονύσιος ἐμνήσθη λέγων. Steph.

βοήσαντες[m] βάρβαρον καὶ πολεμικόν· οὗ δὴ περιδεὴς Διονύσιος[n] γενόμενος ἅπαντα συνεχώρησε καὶ ἔτι πλείω τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. λόγος δή τις[o] ταχὺ διῆλθεν ὡς Ἡρακλείδης αἴτιος εἴη γεγονὼς πάντων τούτων. ὃν ἀκούσας ὁ μὲν Ἡρακλείδης ἐκποδὼν αὐτὸν ἔσχεν ἀφανῆ, Διονύσιος[p] δὲ ἐζήτει λαβεῖν. ἀπορῶν δέ, Θεοδότην[q] μεταπεμψάμενος εἰς τὸν κῆπον· ἔτυχον δ' ἐν τῷ κήπῳ καὶ ἐγὼ τότε περιπατῶν.[r] τὰ μὲν οὖν ἄλλα οὔτ' οἶδα[s] οὔτ' ἤκουον διαλεγομένων· ἃ δὲ ἐναντίον εἶπε Θεοδότης ἐμοῦ[t] πρὸς Διονύσιον, οἶδά τε καὶ μέμνημαι. Πλάτων γάρ, ἔφη, Διονύσιον ἐγὼ πείθω τουτονί, ἐὰν ἐγὼ γένωμαι δεῦρο Ἡρακλείδην κομίσαι δυνατὸς ἡμῖν εἰς λόγους[u] περὶ τῶν ἐγκλημάτων αὐτῷ τῶν νῦν γεγονότων, ἂν ἄρα μὴ δόξῃ δεῖν αὐτὸν οἰκεῖν ἐν Σικελίᾳ, τόν τε υἱὸν λαβόντα καὶ τὴν γυναῖκα ἀξιῶ εἰς Πελοπόννησον ἀποπλεῖν, οἰκεῖν τε βλάπτοντα μη- III. iii.474.
δὲν[v] Διονύσιον ἐκεῖ, καρπούμενον δὲ τὰ ἑαυτοῦ. μετεπεμψάμην μὲν οὖν καὶ πρότερον αὐτόν, μεταπέμψομαι δὲ καὶ νῦν, ἄν τ' οὖν ἀπὸ τῆς προτέρας μεταπομπῆς ἄν τε καὶ ἀπὸ τῆς νῦν ὑπακούσῃ μοι. Διονύσιον δὲ ἀξιῶ καὶ δέομαι, ἄν τις ἐντυγχάνῃ Ἡρακλείδῃ ἐάν τ' ἐν ἀγρῷ ἐάν τ' ἐνθάδε, μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι, μεταστῆναι δ' ἐκ τῆς χώρας, ἕως ἂν ἄλλο τι Διονυσίῳ δόξῃ. ταῦτα, ἔφη, συγχωρεῖς; λέγων πρὸς τὸν Διονύσιον. Συγχωρῶ· μηδ' ἂν πρὸς τῇ σῇ, ἔφη, φανῇ οἰκίᾳ, πείσεσθαι φλαῦρον μηδὲν παρὰ τὰ νῦν εἰρημένα. Τῇ δὴ[w] μετὰ ταύτην τὴν ἡμέραν δείλης Εὐρύβιος καὶ Θεοδότης προσηλθέτην μοι σπουδῇ τεθορυβημένω θαυμαστῶς, καὶ ὁ[x] Θεοδότης λέγει, Πλάτων, ἔφη, παρῆσθα χθὲς οἷς περὶ[y] Ἡρακλείδου Διονύσιος ὡμολόγει πρὸς ἐμὲ καὶ σέ; Πῶς δὲ οὔκ; ἔφην. Νῦν τοίνυν, ἦ δ'[z] ὅς, περιθέουσι πελτασταὶ λαβεῖν Ἡρακλείδην ζητοῦντες,[a] ὁ δὲ εἶναί πῃ ταύτῃ κινδυνεύει. ἀλλ' ἡμῖν, ἔφη, συνα-

Ω.—[n] ὁ διονύσιος ΞΦς.—[o] τι ο.—[p] διονύσιον Φ.—[q] θεοδότην (ut solet) pr A, θεοδότην Ω.—[r] παρὼν Φ.—[s] εἶδον Φb.—[t] ἐμοῦ θεοδότης Φ.—[u] εἰς λόγους ἡμῖν Ξς.—[v] μηδὲν om pr Ω.—[w] δὲ ΞΦ.—[x] ὁ om A et pr Ω.—[y] οἷς καὶ περὶ ς.—[z] οἶδ' ς.—

ἡμῖν] Suspicor scribendum ἥκειν: et καὶ ἂν ἄρα, vel ἂν δ' ἄρα etc. Steph.

III. 349. κολούθησον πρὸς Διονύσιον ἁπάσῃ μηχανῇ. Ὠιχόμεθα οὖν καὶ εἰσήλθομεν παρ' αὐτόν, καὶ τὼ μὲν ἑστάτην[b] σιγῇ δακρύοντε,[c] ἐγὼ δὲ εἶπον Οἵδε πεφόβηνται μή τι[d] σὺ παρὰ
III. iii. 475. τὰ χθὲς ὡμολογημένα[e] ποιήσῃς περὶ Ἡρακλείδην νεώτερον· δοκεῖ γάρ μοι ταύτῃ τῃ γεγονέναι φανερὸς ἀποτετραμμένος. Ὁ δὲ ἀκούσας ἀνεφλέχθη τε καὶ παντοδαπὰ χρώματα[f] ἧκεν, οἷα[g] ἂν θυμούμενος ἀφείη.[h] προσπεσὼν δ' αὐτῷ ὁ Θεοδότης, λαβόμενος τῆς χειρός, ἐδάκρυσέ τε καὶ ἱκέτευε μηδὲν τοιοῦτον[i] ποιεῖν. ὑπολαβὼν δ' ἐγὼ παραμυθούμενος, Θάρρει, Θεοδότα,[k] ἔφην· οὐ γὰρ τολμήσει Διονύσιος παρὰ τὰ χθὲς ὡμολογημένα ἄλλα ποτὲ δρᾶν. Καὶ ὃς ἐμβλέψας μοι καὶ μάλα τυραννικῶς, Σοί, ἔφη, ἐγὼ οὔτε τι σμικρὸν οὔτε μέγα[l] ὡμολόγησα. Νὴ τοὺς θεούς, ἦν δ' ἐγώ, σύ γε[m] ταῦτα ἃ σοῦ νῦν οὗτος δεῖται μὴ ποιεῖν. Καὶ εἰπὼν ταῦτα ἀποστρεφόμενος ᾠχόμην ἔξω. τὸ μετὰ ταῦτα[n] ὁ μὲν ἐκυνήγει τὸν Ἡρακλείδην, Θεοδότης δὲ ἀγγέλους πέμπων Ἡρακλείδῃ φεύγειν διεκελεύετο. ὁ δὲ ἐκπέμψας Τισίαν[o] καὶ πελταστὰς διώκειν[p] ἐκέλευε· φθάνει δέ, ὡς ἐλέγετο, Ἡρακλείδης εἰς τὴν Καρχηδονίων[q] ἐπικράτειαν ἐκφυγὼν ἡμέρας σμικρῷ τινὶ μέρει. Τὸ δὴ μετὰ τοῦτο ἡ πάλαι ἐπιβουλὴ Διονυσίῳ τοῦ μὴ ἀποδοῦναι τὰ Δίωνος
III. iii. 476. χρήματα ἔδοξεν ἔχθρας λόγον ἔχειν ἂν πρός με πιθανόν, καὶ πρῶτον[r] μὲν ἐκ τῆς ἀκροπόλεως ἐκπέμπει με, εὑρὼν πρόφασιν ὡς τὰς γυναῖκας ἐν[s] τῷ κήπῳ ἐν ᾧ κατῴκουν ἐγὼ δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον· ἔξω δή με παρ' Ἀρχιδήμῳ[t] προσέταττε τὸν χρόνον τοῦτον μεῖναι. ὄντος δ' ἐμοῦ

[a] ἀναζητοῦντες Φb.—[b] ἑστήτην Σ c.—[c] δακρύοντες h.—[d] τῇ h.—[e] εἰρημένα Φb. ὁ α —[f] χρήματα Ξ.—[g] οἷς c.—[h] ἀφῇ Φh.—[i] τοιαῦτα Ξ.—[k] Θεοδότη Δ, Θεοδότη Ω, Θεοδότη Φh.—[l] οὔτε μέγα οὔτε μικρὸν Φh.—[m] γε om h.—[n] τοῦτο a.—[o] Τιδίαν o.—
[p] δίωκειν ΩΔ.—[q] καρχηδονείων c.—[r] πρῶτα Φ.—[s] ἐν om a.—[t] ἀρχεδήμῳ s.—[u] τῷ

θυμούμενος] Videri possit deesse articulus ὁ ante istud participium: alioqui dicendum fuisse θυμούμενός τις. Quod si Ficinus eam quae hic est lectionem in suis exempl. invenit, non secus tamen haec vertit quam si illarum alteram invenisset: ejus enim haec sunt verba, *In varioque se mutavit colores, quales ira commotus efferret.* Alioqui si ad Dionysium ipsum postrema haec verba referre velimus, recte quidem scriptum fuisse diceremus θυμούμενος, non praefixo articulo, sed simul etiam pro ἀφείη ἂν scribi ἀφίησιν esset necesse. STEPH.

ἐκεῖ Θεοδότης μεταπεμψάμενός με πολλὰ περὶ τῶν τότε
πραχθέντων ἠγανάκτει καὶ ἐμέμφετο Διονυσίῳ. ὁ δ' ἀκού-
σας ὅτι παρὰ Θεοδότην εἴην εἰσεληλυθώς, πρόφασιν αὖ ταύ-
την ἄλλην τῆς πρὸς ἐμὲ διαφορᾶς ποιούμενος, ἀδελφὴν τῆς[u]
πρόσθεν, πέμψας τινὰ ἠρώτα με εἰ ξυγγενοίμην[v] ὄντως με-
ταπεμψαμένου με Θεοδότου. κἀγώ Παντάπασιν ἔφην· ὁ
δέ, Ἐκέλευε τοίνυν, ἔφη, σοὶ φράζειν ὅτι καλῶς οὐδαμῇ
ποιεῖς Δίωνα καὶ τοὺς Δίωνος φίλους ἀεὶ[w] περὶ πλείονος
αὐτοῦ ποιούμενος. ταῦτ' ἐρρήθη, καὶ οὐκέτι μετεπέμψατό
με εἰς τὴν οἴκησιν πάλιν, ὡς ἤδη σαφῶς Θεοδότου μὲν ὄντος
μου καὶ Ἡρακλείδου φίλου,[x] αὐτοῦ[y] δ' ἐχθροῦ, καὶ οὐκ[z]
εὐνοεῖν ᾤετό με, ὅτι[a] Δίωνι τὰ χρήματα ἔρρει παντελῶς.
ᾤκουν δὴ τὸ μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μισ- III. 350.
θοφόροις. προσιόντες δέ μοι ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν
ὄντες Ἀθήνηθεν, ἐμοὶ πολῖται, ἀπήγγελλον ὅτι διαβεβλη- III. iii. 477.
μένος εἴην ἐν τοῖς πελτασταῖς καί μοί τινες ἀπειλοῖεν, εἴ
που λήψοιντό[b] με,[c] διαφθερεῖν. μηχανῶμαι δή τινα τοιάν-
δε[d] σωτηρίαν. πέμπω παρ' Ἀρχύτην καὶ τοὺς ἄλλους φί-
λους εἰς Τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω· οἱ δὲ πρό-
φασίν τινα πρεσβείας πορισάμενοι παρὰ τῆς πόλεως πέμ-
πουσι τριακόντορόν τε καὶ Λαμίσκον[e] αὐτῶν ἕνα, ὃς ἐλθὼν
ἐδεῖτο Διονυσίου περὶ ἐμοῦ, λέγων ὅτι βουλοίμην ἀπιέναι,
καὶ μηδαμῶς ἄλλως ποιεῖν. ὁ δὲ ξυνωμολόγησε καὶ ἀπέ-
πεμψεν ἐφόδια δούς· τῶν Δίωνος δὲ χρημάτων οὔτ' ἐγώ
τι[f] ἀπῄτουν οὔ τέ τις ἀπέδωκεν.

Ἐλθὼν δὲ εἰς Πελοπόννησον εἰς Ὀλυμπίαν, Δίωνα κα-
ταλαβὼν θεωροῦντα, ἤγγελλον[g] τὰ γεγονότα. ὁ δὲ τὸν Δία
ἐπιμαρτυράμενος εὐθὺς παρήγγελλεν[h] ἐμοὶ καὶ τοῖς ἐ-
μοῖς οἰκείοις καὶ φίλοις παρασκευάζεσθαι τιμωρεῖσθαι
Διονύσιον, ἡμᾶς[i] μὲν[k] ξεναπατίας[l] χάριν, οὕτω γὰρ

Φb.—[v] ξυγγενοίμην o: ξυγγιγνοίμην *ς.—[w] ἀεὶ (ut solet) A, ἀεὶ (ut et ipsi solent) Φbo: αἰεὶ *ς.—[x] φίλων bς.—[y] αὐτοῦ δ' γρ Ω, καὶ τοῦδ' A: καὶ τοῦδ' *ς.—[z] οὐκέτ' b et γρ Ω cum ς.—[a] ὅτι Ω, διότι o.—[b] λήψονται ΑΦbco et (adscripto λήψοιντο) Ω.—[c] ἐμὲ Ab.—[d] τοιαύτην Φb.—[e] σαλαμίσκον Ωe.—[f] τι γρ Ω cum ς: ceteri ἔτι.—[g] ἤγγελον Φς. sed A hæc ἤγγελλον. τὰ in mg ponit.—[h] παρήγγειλεν o.—[i] ἡμῶν

ἡμῶν] Legitur etiam ἡμᾶς, et αὐτὸν pro αὐτοῦ. Steph. Ita Bas. 2. Bip.

ἔλεγέ[m] τε καὶ ἐνόει,[n] αὐτὸν[o] δ' ἐκβολῆς[p] ἀδίκου καὶ φυ-
γῆς. ἀκούσας δ' ἐγὼ τοὺς μὲν φίλους παρακαλεῖν αὐτὸν[q]
ἐκέλευον, εἰ βούλοιντο· ἐμὲ δ', εἶπον ὅτι, σὺ μετὰ τῶν ἄλ-
λων βίᾳ τινὰ τρόπον σύσσιτον καὶ συνέστιον καὶ κοινωνὸν
III. iii. 478. ἱερῶν Διονυσίῳ ἐποίησας, ὃς ἴσως[r] ἡγεῖτο διαβαλλόντων
πολλῶν ἐπιβουλεύειν[s] ἐμὲ μετὰ σοῦ ἑαυτῷ καὶ τῇ τυραν-
νίδι, καὶ ὅμως οὐκ ἀπέκτεινεν, ᾐδέσθη δέ. οὔτ' οὖν ἡλικίαν
ἔχω συμπολεμεῖν ἔτι σχεδὸν οὐδενί, κοινός τε[t] ὑμῖν εἰμί,
ἄν ποτέ τι πρὸς ἀλλήλους δεηθέντες φιλίας ἀγαθόν τι
ποιεῖν βουληθῆτε· κακὰ δὲ ἕως ἂν ἐπιθυμῆτε, ἄλλους πα-
ρακαλεῖτε. ταῦτα εἶπον μεμισηκὼς τὴν περὶ Σικελίαν πλά-
νην καὶ ἀτυχίαν. ἀπειθοῦντες δὲ καὶ οὐ πειθόμενοι ταῖς
ὑπ' ἐμοῦ διαλέξεσι[u] πάντων τῶν νῦν γεγονότων κακῶν αὐτοὶ
αἴτιοι ἐγένοντο αὐτοῖς, ὧν, εἰ Διονύσιος ἀπέδωκε τὰ[v] χρή-
ματα Δίωνι ἢ καὶ παντάπασι κατηλλάγη, οὐκ ἄν ποτε
ἐγένετο οὐδέν, ὅσα γε δὴ τἀνθρώπινα· Δίωνα γὰρ ἐγὼ καὶ
τῷ βούλεσθαι[w] καὶ τῷ δύνασθαι κατεῖχον ἂν ῥᾳδίως. νῦν
δὲ ὁρμήσαντες ἐπ' ἀλλήλους κακῶν πάντα ἐμπεπλήκασι.
III. 351. καί τοι τήν γε αὐτὴν Δίων εἶχε[x] βούλησιν ἥν περ ἂν ἐγὼ
φαίην δεῖν[y] ἐμὲ καὶ ἄλλον, ὅς τις μέτριος, περί τε τῆς αὐ-
τοῦ δυνάμεως καὶ φίλων καὶ περὶ πόλεως τῆς αὐτοῦ δια-
νοοῖτ' ἂν εὐεργετῶν ἐν δυνάμει καὶ τιμαῖσι γενέσθαι τὰ
III. iii. 479. μέγιστα ἐν ταῖς μεγίσταις. ἔστι[z] δὲ οὐκ ἄν τις πλούσιον
ἑαυτὸν ποιήσῃ, καὶ ἑταίρους[a] καὶ πόλιν ἐπιβουλεύσας καὶ
ξυνωμότας συναγαγών,[b] πένης ὢν καὶ ἑαυτοῦ μὴ κρατῶν,
ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἡττημένος, εἶτα τοὺς τὰς
οὐσίας κεκτημένους ἀποκτείνας, ἐχθροὺς καλῶν τούτους,
διαφορῇ[c] τὰ τούτων χρήματα καὶ τοῖς συνεργοῖς τε[d] καὶ

ς.—[k] μὲν om e.—[l] ξυνεταιρίας AΩ.—[m] ἤγγελλέ e.—[n] ἐνενόει e.—[o] αὐτοῦ ς.—
[p] ἐκβουλῆς Ξ.—[q] αὐτὸν add A.—[r] ἴσων AΦb, ἴσων (ως) Ω, ἴσονες (adscripto ἴσως) e.—
[s] ἐπιβουλεύειν om Φ.—[t] γὲ (τ) Ω.—[u] διαλλάξεσι γρ Ω.—[v] τὰ om pr Ω.—[w] βουλεύεσθαι Ξ.—[x] εἶχε δίων b.—[y] δεῖν om pr AΩ.—[z] ἔτι ς.—[a] ἑτέρους Ξ.—[b] ξυναγ. b.
—[c] καὶ διαφορῇ (ῇ) Ω.—[d] τε συνεργοῖς τε Φb.—[e] ἐγκαλεῖ (corr in ultima) A, ἐγκαλεῖ

μέτριος] Scribendum fortasse μετρίως, quod pertineat ad διανοοῖτο. STEPH.

ἔτι] Male videtur legi ἔτι pro ἔστι. STEPH.

ἑταίροις παρακελεύηται ὅπως μηδεὶς αὐτῷ ἐγκαλεῖ[e] πένης
φάσκων εἶναι.[f] ταὐτὸν δὲ καὶ τὴν πόλιν ἂν οὕτω τις εὐερ-
γετῶν τιμᾶται ὑπ' αὐτῆς, τοῖς πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ
ψηφισμάτων διανέμων,[g] ἢ μεγάλης προεστὼς πόλεως καὶ
πολλῶν ἀρχούσης ἐλαττόνων τῇ ἑαυτοῦ πόλει τὰ τῶν σμι-
κροτέρων χρήματα διανέμῃ μὴ κατὰ δίκην. οὕτω μὲν γὰρ[h]
οὔτε Δίων οὔτε ἄλλος ποτὲ οὐδεὶς ἐπὶ δύναμιν ἑκὼν[i] εἶσιν
ἀλιτηριώδη ἑαυτῷ τε καὶ γένει εἰς τὸν ἀεὶ χρόνον, ἐπὶ πο-
λιτείαν δὲ καὶ νόμων κατασκευὴν τῶν δικαιοτάτων τε καὶ
ἀρίστων, οὔ τι[k] δι' ὀλιγίστων θανάτων καὶ[l] φυγῶν[m] γιγνο-
μένην. ἃ δὴ Δίων νῦν[n] πράττων, προτιμήσας τὸ πάσχειν
ἀνόσια τοῦ δρᾶσαι πρότερον, διευλαβούμενος δὲ μὴ[o] πα-
θεῖν, ὅμως ἔπταισεν[p] ἐπ' ἄκρον ἐλθὼν τοῦ περιγενέσθαι τῶν
ἐχθρῶν, θαυμαστὸν παθὼν οὐδέν. ὅσιος γὰρ ἄνθρωπος ἀνο- III. iii. 480.
σίων πέρι, σώφρων τε καὶ ἔμφρων, τὸ μὲν ὅλον οὐκ ἄν ποτε
διαψευσθείη τῆς ψυχῆς τῶν τοιούτων πέρι, κυβερνήτου δὲ
ἀγαθοῦ πάθος ἂν ἴσως οὐ θαυμαστὸν εἰ πάθοι, ὃν χειμὼν
μὲν ἐσόμενος οὐκ ἂν πάνυ λάθοι, χειμώνων δὲ ἐξαίσιον καὶ
ἀπροσδόκητον[q] μέγεθος λάθοι τ' ἂν καὶ λαθὸν κατακλύσειε[r]
βίᾳ. ταὐτὸν[s] δὴ[t] καὶ Δίωνα ἔσφηλε.[u] κακοὶ μὲν γὰρ ὄν-
τες αὐτὸν σφόδρα οὐκ ἔλαθον οἱ σφήλαντες, ὅσον δὲ ὕψος
ἀμαθίας εἶχον καὶ τῆς ἄλλης μοχθηρίας τε καὶ λαιμαρ-
γίας, ἔλαθον,[v] ᾧ δὴ σφαλεὶς κεῖται, Σικελίαν πένθει περι-
βαλὼν μυρίῳ.

Τὰ δὴ μετὰ τὰ νῦν ῥηθέντα ἃ[w] ξυμβουλεύω, σχεδὸν III. 352.
εἴρηταί τέ[x] μοι καὶ εἰρήσθω. ὧν δ' ἐπανέλαβον ἕνεκα τὴν
εἰς Σικελίαν ἄφιξιν τὴν δευτέραν, ἀναγκαῖον εἶναι ἔδο-
ξέ μοι[y] ῥηθῆναι δεῖν διὰ τὴν ἀτοπίαν καὶ ἀλογίαν τῶν γε-

Ω.—[f] εἶναι om Φ.—[g] διανέμειν γρ Ω.—[h] οὖν (γὰρ) ΑΩ.—[i] ἑκὼν in mg ponit Ω.—[k] οὔτοι Φb.—[l] τε καὶ Φ.—[m] φόνων ΑΞΩ.—[n] ἃ νῦν δὴ Δίων ΑΦΩbo.—[o] μὴ add ΑΦΩbo.—[p] ἔπεσεν s.—[q] ἀπροδόκητον Ξ.—[r] λαθὸν καταλύσειε Ξ.—[s] ταυτὸ Φb.—[t] δὲ Ω, (ἢ) δὲ ΑΦb.—[u] post ἔσφηλε cum Α omisi δι' ὀλιγίστων, quæ in mg ponit Ω.—[v] ἔτυχον Α

δεῖν] Supervacaneum hic esse infinitivum δεῖν animadverti, sed aliis quoque in locis talem pleonasmum observasse me recordatus fui: ac, ne longe abeam, in ea etiam quæ proxime sequitur epistola, videri possit πλεονάζειν: quamvis alioqui minus apertus ibi sit ejus pleonasmus. Steph.

νομένων. εἰ δ' ἄρα τινὶ[x] νῦν ῥηθέντα εὐλογώτερα ἐφάνη καὶ προφάσεις πρὸς τὰ γενόμενα[a] ἱκανὰς ἔχειν ἔδοξέ τῳ, μετρίως ἂν ἡμῖν καὶ ἱκανῶς εἴη τὰ νῦν εἰρημένα.

et (adscripto ἔλαθον) Ω.—[w] ἃ om pr ΑΩ.—[x] τε om ς.—[y] ἔδοξέ μοι εἶναι Φ.—[z] omisi τὰ cum pr ΑΩ.—[a] γινόμενα (ε superscr.) ε.

ΕΠΙΣΤΟΛΗ

Η.

Πλάτων[a] τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις[b] εὖ πράττειν.[c]

Ἃ δ' ἂν διανοηθέντες μάλιστα εὖ πράττοιτε, ὄντως πειράσομαι ταῦθ' ὑμῖν κατὰ δύναμιν διεξελθεῖν. ἐλπίζω δὲ οὐχ ὑμῖν[d] μόνοις ξυμβουλεύσειν[e] τὰ ξυμφέροντα, μάλιστά γε μὴν ὑμῖν, καὶ δευτέροις πᾶσι τοῖς ἐν Συρακούσαις, τρί- III iii. 481.

CODICES SEX,
ΑΞΩ*beo*.

[a] Πλάτων...εὖ πράττειν om Α, Πλάτων τοῖς erasit Ω, τοῖς om *e*.—[b] ἑτέροις Ξ.—[c] εὖ πράττειν om *b*.—[d] ἡμῖν om pr *b*.—[e] ξυμφ. *e*.—[f] ἃ Ω, ὃ *e*.—[g] ἡμῖν *r*.—

ἃ δ' ἂν] Particulam δὲ post ἃ Ficini quoque interpretatio non agnoscit: ego tamen agnoscendam esse puto. Sed quem hic ejus usum esse dicendum est? Ego illam voculam pendere puto ab eo quod in ipsa epigraphe bene precans illis dixit, εὖ πράττειν: q. d. *Ego initio meæ epistolæ vobis bene precans, scripsi ut moris est, εὖ πράττειν: quibus autem consiliis et institutis consequi possitis illud quod exopto, τὸ εὖ πράττειν, conabor vobis exponere.* Sic certe videmus apud Ciceronem quasdam epistolas abruptum alioqui principium habere, nisi quod ibi dicitur, a re quapiam quæ in ipsa epigraphe dicta sit pendere intelligamus. Ut autem a Cicerone ad Platonem revertar, solitum esse illum suis epistolis verba illa εὖ πράττειν præscribere, ex ea quæ inter has quartum tenet locum discimus: ἢ μᾶλλον (inquit) κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν, ὥσπερ εἴωθα ἐν ταῖς ἐπιστολαῖς τοὺς φίλους προσαγορεύειν. STEPH.

τοις δὲ ὑμῶν καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις
αὐτῶν ἀνοσιουργὸς γέγονε· ταῦτα γὰρ ἀνίατα καὶ οὐκ ἄν
ποτέ τις αὐτὰ ἐκνίψειε. νοήσατε δὲ ἅ[f] λέγω νῦν.

Ἔσθ' ὑμῖν[g] κατὰ Σικελίαν πᾶσαν λελυμένης τῆς τυ-
III. iii. 482. ραννίδος πᾶσα μάχη[h] περὶ αὐτῶν τούτων, τῶν μὲν βουλο-
μένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν, τῶν δὲ τῇ[i] τῆς τυραν-
νίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. ξυμβουλὴ[k] δὴ περὶ τῶν
τοιούτων ὀρθὴ δοκεῖ[l] ἑκάστοτε τοῖς πολλοῖς εἶναι ταῦτα ξυμ-
βουλεύειν δεῖν ἅ[m] τοὺς μὲν[n] πολεμίους ὡς πλεῖστα κακὰ
ἐξεργάσεται, τοὺς δὲ φίλους ὡς πλεῖστα ἀγαθά. τὸ δὲ οὐ-
δαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους μὴ οὐ καὶ
πάσχειν αὐτὸν πολλὰ ἕτερα. δεῖ δὲ οὐ μακρὰν ἐλθόντας
ποι[o] τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν, ἀλλ' ὅσα νῦν γέγονε τῇδε[p]
αὐτοῦ περὶ Σικελίαν, τῶν μὲν ἐπιχειρούντων δρᾶν, τῶν δὲ
ἀμύνασθαι τοὺς δρῶντας. ἃ κἂν[q] ἄλλοις μυθολογοῦντες
ἱκανοὶ γίγνοισθ' ἂν ἑκάστοτε διδάσκαλοι. τούτων μὲν δὴ
σχεδὸν οὐκ ἀπορία· τῶν δὲ ὅσα γένοιτ' ἂν ἢ πᾶσι συμφέ-
ροντα ἐχθροῖς τε καὶ φίλοις ἢ ὅτι[r] σμικρότατα κακὰ[s] ἀμ-
φοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾶν οὔτε ἰδόντα ἐπιτελεῖν, εὐχῇ
δὲ προσέοικεν ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ
λόγου. ἔστω δὴ παντάπασι μὲν εὐχή τις, ἀπὸ γὰρ θεῶν
III. 353. χρὴ πάντα ἀρχόμενον ἀεὶ λέγειν τε καὶ νοεῖν, ἐπιτελὴς δ'
III. iii. 483. εἴη σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον. νῦν ὑμῖν καὶ τοῖς
πολεμίοις σχεδόν, ἐξ οὗ περ γέγονεν ὁ πόλεμος, συγγένεια
ἄρχει[t] μία διὰ τέλους, ἥν ποτε κατέστησαν οἱ πατέρες
ὑμῶν ἐς[u] ἀπορίαν ἐλθόντες τὴν ἅπασαν, τόθ' ὅτε κίνδυνος
ἐγένετο ἔσχατος Σικελίᾳ τῇ[v] τῶν Ἑλλήνων ὑπὸ Καρχηδο-
νίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. τότε γὰρ
εἵλοντο Διονύσιον μὲν ὡς νέον[w] καὶ πολεμικὸν ἐπὶ τὰς τοῦ
πολέμου πρεπούσας[x] αὐτῷ πράξεις, σύμβουλον δὲ καὶ
πρεσβύτερον Ἱππαρῖνον, ἐπὶ σωτηρίᾳ τῆς Σικελίας αὐτο-
κράτορας, ὥς[y] φασι, τυράννους ἐπονομάζοντες. καὶ εἴτε δὴ
θείαν τις ἡγεῖσθαι βούλεται τύχην καὶ θεὸν εἴτε[z] τὴν τῶν

[h] ἅπασα μηχανὴ e cum γρ ΑΩ.—[i] τῇ om pr ΑΩ.—[k] ξυμβολῇ o.—[l] δοκεῖ ὀρθὴ e.—
[m] ὃ Α, ὃ τὰ Ω, om Ξeo.—[n] μὲν om pr Ω.—[o] σοι Ξ.—[p] γέγονεν ἐν τῇδε γρ Ω.—
[q] καὶ b.—[r] τι Α cum pr Ω et γρ Ω.—[s] καὶ Ξ.—[t] ἄρχει, corr in ultima, ΑΩ.—[u] εἰς
es.—[v] τῇ om Ξ.—[w] νέοι Ξ.—[x] πρεπούσας (τ supra) Ω.—[y] ὧς om pr Ω.—[z] ἀρετὴν καὶ θεῶν

ἀρχόντων ἀρετὴν εἴτε καὶ τὸ ξυναμφότερον μετὰ τῶν τότε πολιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω ταύτῃ ὅπῃ τις ὑπολαμβάνει· σωτηρία δ' οὖν οὕτως συνέβη τοῖς τότε γενομένοις.[a] τοιούτων οὖν αὐτῶν γεγονότων δίκαιόν που τοῖς σώσασι[b] πάντας χάριν ἔχειν. εἰ δέ τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς πόλεως δωρεᾷ κατακέχρηται, τούτων δίκας τὰς μὲν[c] ἔχει, τὰς δὲ τινέτω. τίνες οὖν δὴ[d] δίκαι ἀναγκαίως ὀρθαὶ γίγνοιντ'[e] ἂν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς; εἰ μὲν ῥᾳδίως ὑμεῖς ἀποφυγεῖν οἷοί τ' III. iii. 484.
ἦτε αὐτοὺς καὶ ἄνευ μεγάλων κινδύνων καὶ πόνων, ἢ ἐκεῖνοι[f] ἑλεῖν εὐπετῶς πάλιν τὴν ἀρχήν, οὐδ' ἂν συμβουλεύειν οἷόν τ' ἦν τὰ μέλλοντα ῥηθήσεσθαι· νῦν δ' ἐννοεῖν ὑμᾶς ἀμφοτέρους χρεὼν καὶ ἀναμιμνήσκεσθαι ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε τοῦ νῦν οἴεσθαι σχεδὸν ἀεί τινος σμικροῦ[g] ἐπιδεεῖς εἶναι τὸ[h] μὴ πάντα κατὰ νοῦν πράττειν, καὶ δὴ καὶ ὅτι τὸ σμικρὸν τοῦτο μεγάλων καὶ μυρίων κακῶν[i] αἴτιον ἑκάστοτε ξυμβαίνει γιγνόμενον, καὶ πέρας οὐδὲν ποτε τελεῖται, ξυνάπτει δὲ ἀεὶ παλαιὰ τελευτὴ[k] δοκοῦσα ἀρχῇ[l] φυομένῃ νέᾳ,[m] διολέσθαι[n] δ' ὑπὸ τοῦ κύκλου τούτου κινδυνεύσει καὶ τὸ τυραννικὸν ἅπαν καὶ τὸ δημοτικὸν γένος, ἥξει δέ, ἐάν περ[o] τῶν εἰκότων γίγνηταί τι καὶ ἀπευκτῶν, σχεδὸν εἰς ἐρημίαν τῆς Ἑλληνικῆς φωνῆς Σικελία πᾶσα, Φοινίκων ἢ Ὀπικῶν μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ κράτος. τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ πάντας τοὺς Ἕλληνας τέμνειν φάρμακον. εἰ μὲν δή τις ὀρθότερον ἄμεινόν τ' ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἐνεγκὼν εἰς τὸ μέσον ὀρθότατα φιλ- III. 351.
έλλην ἂν λεχθείη·[p] ὃ[q] δέ μοι φαίνεταί πῃ τὰ νῦν, ἐγὼ πει-

εἴτε mg o.—[a] γενομένη mg e.—[b] σώμασι Ξ.—[c] δικαστὰς μὲν ὁ et (appositis in mg ν δίκας τὰς) e.—[d] δὴ om b.—[e] γίγνοιτ' Ω, γίγνοιτ' b.—[f] ἐκεῖνοι eo, κεῖνον Ξ: κεῖνοι *s.—[g] γεγόνατε τοίνυν οἴεσθαι σχεδὸν δεῖ σμικροῦ τινὸς γρ Ω. et δεῖ σμικροῦ τινὸς habet etiam e, apposito in altera margine τι, in altera del.—[h] τῶι corr A, τῷ et τοῦ mg e.—[i] καὶ μυρίων καὶ κακῶν Ω.—[k] παλαιὰ τελευτῇ (adscriptis vulg) e.—[l] ἀρχῆι Ωbo et corr A: ἀρχὴ *s.—[m] νέαι ΑΩ, νέᾳ o: νέα *s.—[n] διελέσθαι A: διολέσθαι cum *s corr Ω.—[o] περὶ pr, ut videtur, Ω.—[p] λεχθείην Ξ.—[q] τρόπου o.

τὸ μὴ] Pro τὸ invenitur etiam τῷ: quæ lectio magis placet: ut interpungatur post εἶναι. Steph.

ἀρχὴ] Scribendum videtur ἀρχῇ φυομένῃ νέᾳ, mutatis nominativis in dativos. Steph. Hoc certe, aut παλαίῃ τελευτῇ δοκούσῃ legit Ficinus. Bip.

III. iii. 485. ράσομαι πάσῃ παῤῥησίᾳ καὶ κοινῷ τινὶ δικαίῳ λόγῳ χρώ-
μενος δηλοῦν. Λέγω γὰρ δὴ διαιτητοῦ τινὰ τρόπον[q] διαλε-
γόμενος ὡς δυοῖν τυραννεύσαντί τε καὶ τυραννευθέντι, ὡς ἑνὶ[r]
ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν. καὶ νῦν δ'[s] ὅ γ' ἐμὸς λό-
γος ἂν εἴη ξύμβουλος τυράννῳ παντὶ φεύγειν μὲν τοὔνομά τε
καὶ τοὔργον τοῦτο, εἰς βασιλείαν δέ, εἰ δυνατὸν εἴη, μεταβα-
λεῖν. δυνατὸν δέ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυ-
κοῦργος, ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσήνῃ[t]
ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους καὶ διαφθεί-
ραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δεί-
σας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον
ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν καὶ τὸν τῶν ἐφόρων δεσ-
μὸν[u] τῆς βασιλικῆς[v] ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύ-
τας ἤδη μετ' εὐκλείας σώζεσθαι, νόμος ἐπειδὴ κύριος ἐγέ-
νετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι
νόμων. ὃ δὴ καὶ νῦν οὑμὸς λόγος πᾶσι παρακελεύεται,
τοῖς μὲν τυραννίδος ἐφιεμένοις ἀποτρέπεσθαι καὶ φεύγειν
φυγῇ ἀπλήστως[w] πεινώντων[x] εὐδαιμόνισμα ἀνθρώπων καὶ
ἀνοήτων, εἰς βασιλέως δ' εἶδος πειρᾶσθαι μεταβάλλειν καὶ
δουλεῦσαι νόμοις βασιλικοῖς,[y] τὰς μεγίστας τιμὰς κεκτη-
III. iii. 486. μένους παρ' ἑκόντων τε ἀνθρώπων καὶ τῶν νόμων· τοῖς δὲ δὴ
ἐλεύθερα διώκουσιν ἤθη καὶ φεύγουσι τὸν δούλειον ζυγὸν ὡς
ὂν κακόν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ' ἂν μή ποτε ἀπλη-
στίᾳ ἐλευθερίας ἀκαίρου τινὸς εἰς τὸ τῶν προγόνων νόσημα
ἐμπέσωσιν, ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέ-
τρῳ[z] ἐλευθερίας χρώμενοι ἔρωτι. οἱ γὰρ πρὸ Διονυσίου καὶ
Ἱππαρίνου ἀρξάντων[a] Σικελιῶται τότε ὡς ᾤοντο εὐδαιμό-
νως ἔζων, τρυφῶντές τε καὶ ἅμα ἀρχόντων ἄρχοντες· οἳ

[δ]
—[r] ἐν A cum γρ Ω et pr Ω.—[s] γε Ω, γε A.—[t] μεσσήνῃ ΑΞΩco, quod reponeudum.
[ι]
—[u] δεσμὸν γρ Ω.—[v] βασιλεικῆς Ω.—[w] ἀπλήστως A, ἀπλήστως Ω, ἀπλήστοις b, ἀπλείστως e, ἀπλείστω o : ἀπλήστῳ Ξς.—[x] πλὴν τῶν (adscripto πεινώντων) A : πει-
[es]
νώντων cum *ς corr Ω.—[y] βασιλεικοῖς e.—[z] ἀμέτρως e.—[a] ἀρξάντων ΑΩ : ἄρξαντες

βασιλεὺς] Deesse videtur vocula καὶ ante βασιλεύς. Minus autem usitate postponitur adverbium ἐπειδή. Steph.

Ego vero aut κύριος aut βασιλεὺς tollendum existimo. Bip.

καὶ τοὺς δέκα στρατηγοὺς κατέλυσαν[b] βάλλοντες τοὺς πρὸ[c] Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες,[d] ἵνα δὴ[e] δουλεύοιεν μηδενὶ μήτε σὺν δίκῃ μήτε νόμῳ δεσπότῃ, ἐλεύθεροι δ' εἶεν πάντῃ πάντως· ὅθεν αἱ τυραννίδες ἐγένοντο[f] αὐτοῖς. δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον,[g] ἔμμετρος δὲ οὖσα πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις·[h] θεὸς δὲ ἀν- III. 355.
θρώποις σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή. τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω Συρακοσίοις πᾶσι, φράζειν παρακελεύομαι τοῖς Δίωνος φίλοις ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν· ἐγὼ δὲ ἑρμηνεύσω ἃ ἐκεῖνος ἔμπνους ὢν καὶ III. iii. 487.
δυνάμενος εἶπεν[i] νῦν πρὸς ὑμᾶς. τίν'[k] οὖν δή τις ἂν εἴποι λόγον ἀποφαίνεται ἡμῖν περὶ τῶν νῦν παρόντων ἡ Δίωνος ξυμβουλή; τόνδε.

Δέξασθε,[l] ὦ Συρακόσιοι, πάντων πρῶτον νόμους, οἵ τινες ἂν ὑμῖν φαίνωνται μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν μήτ'[m] ἐπιθυμίας, ἀλλ' ὄντων[n] τριῶν,[o] ψυχῆς καὶ σώματος, ἔτι δὲ χρημάτων,[p] τὴν τῆς ψυχῆς ἀρετὴν ἐντιμοτάτην ποιοῦντες,[q] δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην, τρίτην δὲ καὶ ὑστάτην τὴν τῶν χρημάτων τιμήν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ[r] ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς

[a] s.—[b] κατέλυσαν γρ Ω.—[c] πρὸς (adscripta πρὸ) e.—[d] οὐδ' ἀνακρίναντες A et pr Ω.—[e] μὴ Ξe.—[f] ἐγένοντο om e.—[g] πᾶν κακὸν...πᾶν ἀγαθὸν Ξbce.—[h] ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ om b, in mg ponit Ω.—[i] εἰπεῖν γρ Ω. malim εἶπεν ἄν.—[k] τί pr ΑΩ.—[l] δέξασθαι e, omissis ὦ Συρακόσιοι.—[m] μετ' γρ Ω.—[n] ἀλλ' ὄντως o, ἀλλόντων mg A.—[o] τριῶν in mg A.—[p] cum ΑΩo omisi πρώτην μὲν: ea in mg ponit e.—[q] ἀρετὴν ἐντιμοτάτην ποιοῦντες ΑΞΩbce: ἐπιμέλειαν ἔχειν δεῖ s.—[r] τῇ om pr ΑΩ.—[s] πλεισίους Ξ.—

πᾶσι] Alium ex alia interpunctione sensum elicit et Ficinus, post ξυμβουλεύω non post πᾶσι ponens hypostigmen: ejus enim hæc sunt verba, *Quum igitur hæc ita natura se habeant, quæ consulo, mando Dionis amicis ea Syracusanis omnibus promulganda.* Sed duriusculus, ita interpungendo, videri possit usus duorum simul dativorum: ideoque interpunctionem nostram retinere satius fortasse fuerit, sed hypostigmen quæ est post φίλοις tollere. Cæterum paulo post, si intelligamus, *quæ ille vobis nunc diceret si adhuc spiraret*, scribendum fuerit, εἴποι ἂν νῦν: (nam si legeretur εἶπεν ἄν, sonaret, *dixisset*) Ficinus tamen lectionem nostram sequens, vertit, *Quæ ille adhuc spirans loquutus est.* Sed initio p. 357. legimus, ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίγνεσθαι, καὶ νῦν διανοοῦμαι. Steph.

τις ἂν εἴποι] Hæc verba, τίς ἂν εἴποι, vel δή τις ἂν εἴποι, ut per parenthesin posita debent accipi. Paulo post autem inter ξυμβουλὴ et τόνδε non disting. in præc. edit. at Fic. post ξυμβουλὴ distinguit, sed τόνδε sequentibus jungit, subaudiens λόγον, ex præcedentibus. Steph.

νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος, ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους· ὁ δὲ τοὺς πλουσίους[s] εὐδαίμονας ὀνομάζων[t] λόγος αὐτός τε ἄθλιος, γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων,[u] ἔργῳ γνώσεσθε· ἡ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίγνεσθαι τῶν πάντων πέρι. Δεξάμενοι δὲ τοὺς τοιούτους νόμους, ἐπειδὴ κατέχει κίνδυνος Σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς οὔτ' αὖ[v] διαφερόντως κρατεῖσθε,
III. iii. 488. δίκαιον ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέσον τεμεῖν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν, ὧν οἱ πρόγονοι τότε, τὸ[w] μέγιστον, ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἐρρουσι δὲ τότε οὔτε λόγος οὔτ' ἐλπὶς ἐλείπετ'[x] ἂν οὐδαμῇ οὐδαμῶς. νῦν οὖν τοῖς μὲν ἐλευθερία γιγνέσθω μετὰ βασιλικῆς ἀρχῆς, τοῖς δὲ ἀρχὴ ὑπεύθυνος βασιλική, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν καὶ τῶν βασιλέων αὐτῶν, ἄν τι παράνομον πράττωσιν. ἐπὶ δὲ τούτοις ξύμπασιν ἀδόλῳ γνώμῃ καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε,[y] πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ καὶ τοῦ[z] ἐμοῦ πατρός· ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ
III. 356. τότε χρόνῳ τὴν πόλιν, ἐγὼ δὲ ἀπὸ τυράννων νῦν δίς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα τὸν τῷ μὲν ἐμῷ πατρὶ ταὐτὸν κεκτημένον ὄνομα, υἱὸν δὲ Διονυσίου, χάριν τῆς τε νῦν[a] βοηθείας καὶ ὁσίου τρόπου· ὃς γενόμενος τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἐλευθεροῖ, τιμὴν αὑτῷ καὶ γένει ἀείζωον ἀντὶ τυραννίδος ἐφημέ-
III. iii. 489. ρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ[b] προκαλεῖσθαι[c] χρὴ βασιλέα γίγνεσθαι Συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου, Διο-

[t] ἐπονομάζων o.—[u] λόγων b.—[v] αὖ om b.—[w] τὸ add Ξ.—[x] λείπετ' (ἐ) Ω, εἶπετ' A.—[y] στήσασθαι o.—[z] καὶ τοῦ pr AΩ: καὶ τῆς παρὰ τοῦ ς.—[a] τε δὴ νῦν AΩ.—[b] δὴ Ξ.

τότε μέγιστον] Scribendum puto τόγε μέγιστον, interpungendo utrinque: alioqui sequenda fuerit altera lectio τότε, τὸ μέγιστον. Steph.

νύσιον τὸν Διονυσίου, ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα
ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα
καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους, μὴ διὰ φιλονεικίαν
πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος.
τρεῖς δ' ὄντας βασιλέας, εἴτ' οὖν τὴν Λακωνικὴν δύναμιν
αὐτοῖς δόντες εἴτε ἀφελόντες καὶ ξυνομολογησάμενοι,[d]
καταστήσασθε[e] τρόπῳ τινὶ τοιῷδε, ὃς εἴρηται μὲν καὶ πρό-
τερον ὑμῖν, ὅμως δ' ἔτι καὶ νῦν ἀκούετε. ἐὰν ἐθέλῃ τὸ γένος
ὑμῖν τὸ Διονυσίου τε καὶ Ἱππαρίνου ἐπὶ σωτηρίᾳ Σικελίας
παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὑτοῖς[f] καὶ γέ-
νει[g] λαβόντες εἴς τε τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον, ἐπὶ
τούτοις καλεῖτε, ὥς περ καὶ πρότερον ἐῤῥήθη, πρέσβεις οὓς
ἂν ἐθελήσωσι κυρίους ποιησάμενοι τῶν διαλλαγῶν, εἴ τέ τι-
νας αὐτόθεν εἴτε ἔξωθεν εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν
συγχωρήσωσι.[h] τούτους δ'[i] ἐλθόντας νόμους μὲν πρῶτον
θεῖναι καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας[k] ἁρμόττει
γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γε- III. iii. 490.
νομένοις ποτὲ εὐεργέταις· πολέμου δὲ καὶ εἰρήνης ἄρχον-
τας νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε
μετά τε[l] δήμου καὶ βουλῆς. δικαστήρια δὲ ἄλλα μὲν
ἄλλων, θανάτου δὲ καὶ φυγῆς τούς τε πέντε καὶ τριάκοντα
ὑπάρχειν. πρὸς τούτοις τε ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς
ἐκ τῶν νῦν[m] ἀεὶ περυσινῶν[n] ἀρχόντων, ἕνα ἀφ' ἑκάστης τῆς
ἀρχῆς τὸν ἄριστον δόξαντ' εἶναι καὶ δικαιότατον· τούτους
δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν ὅσα θανάτου καὶ δεσμοῦ
καὶ μεταστάσεως τῶν πολιτῶν· βασιλέα δὲ τῶν τοιούτων
δικῶν μὴ ἐξεῖναι δικαστὴν γίγνεσθαι, καθά περ ἱερέα, φό-
νου καθαρεύοντα καὶ δεσμοῦ καὶ φυγῆς. Ταῦθ' ὑμῖν ἐγὼ III. 357.
καὶ ζῶν διενοήθην γίγνεσθαι καὶ νῦν διανοοῦμαι. καὶ τότε

—[c] προκαλέσασθαι e et γρ Ω.—[d] ξυνομολογήσαντες e cum s et γρ Ω.—[e] καταστή-
σασθε b, καταστήσασθαι (e) e, καταστήσασθαι (a) Ξ, καταστήσεσθε (ai) Ω, καταστήσεσθαι (a) o, καταστήσεσθε (e) A: καταστήσατε s.—[f] ἑαυτοῖς Ξ: αὐτοῖς s.—[g] γένη s.—[h] συγχωρήσειαν (ωσι) γρ Ω.—[i] δι' Ξ.—[k] βασιλείας b.—[l] τε om o.—[m] νῦν om o.—[n] περυσινῶν o

τάφους] Rectius fortasse scriberetur τάφων. Steph.

περυσινῶν] Scripturam vulgarem sequendo, vice versa scribendum fuerit περυσινῶν. Steph.

κρατήσας τῶν ἐχθρῶν μεθ' ὑμῶν, εἰ μὴ ξενικαὶ[o] ἐρινύες[p] ἐκώλυσαν,[q] κατέστησα ἄν[r] ἤ περ καὶ διενοούμην, καὶ μετὰ ταῦτα Σικελίαν ἂν τὴν ἄλλην, εἴ περ ἔργα ἐπὶ νῷ ἐγίγνετο,[s] κατῴκισα, τοὺς μὲν βαρβάρους ἣν νῦν ἔχουσιν ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα, τοὺς δ' ἔμπροσθεν οἰκητὰς[t] τῶν Ἑλληνικῶν τόπων εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοι-
III. iii. 491. κίσας. ταὐτὰ δὲ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι καὶ πράττειν τε καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας, τὸν μὴ ἐθέλοντα[u] δὲ πολέμιον ἡγεῖσθαι κοινῇ. ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα· ἃ γὰρ ἐν δυοῖν[v] τε ὄντα ψυχαῖν τυγχάνει καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὲ[w] σχεδὸν ὁ κρίνων ἀδύνατα οὐκ εὖ φρονεῖ. λέγω δὲ τὰς δύο τήν τε Ἱππαρίνου τοῦ Διονυσίου υἱέος[x] καὶ τὴν τοῦ ἐμοῦ υἱέος· τούτοιν γὰρ ξυνομολογησάντοιν τοῖς γε[y] ἄλλοις Συρακουσίοις οἶμαι[z] πᾶσιν ὅσοι περ τῆς[a] πόλεως κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν[b] δόντες τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες καὶ προκαλούμενοι[c] φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως, μὴ ἀποστῆτε[d] πρὶν ἂν τὰ νῦν ὑφ' ἡμῶν λεχθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν,[e] ἐναργῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

et corr ΑΞ, περισσωνῶν e: περισωνῶν *ς.—[o] ξενικὰ καὶ ΑΞbco et (adscripta ς) Ω.—[p] ἐρινύες ΑΩe: ἐριννύες *ς.—[q] διεκώλυσαν Ξ.—[r] ἂν om pr ΑΩ.—[s] ἐπεγίγνετο (οὖν) ἐπὶ νῶι γρ Ω.—[t] οἰκιστὰς Ξbe.—[u] θέλοντα mei omnes.—[v] δυοῖν Α: δυεῖν cum *ς corr (τ) Ω.—[w] δὲ om Ξbo.—[x] υἱέως...υἱοῦ ς.—[y] γε Ω, τε e.—[z] omisi καὶ cum Α et pr Ω.—[a] περὶ τῆ o.—[b] εὐχῆς o.—[c] προβαλλόμενοι pr e.—[d] ἀποστῆτε o.—[e] ἐγρήγορσιν Ξ et γρ Ω, qui addit οὐκ εὖ.

ταῦτα δὲ] Malim ταῦτα δὴ σχεδὸν etc. Steph.

ἐναργῆ τε—τελεσθέντα] Ald. Bas. 1. 2. ἐναργῆ ται—τελεσθέντε. Quam Stephanus adoptavit lectionem, eam suggessit Cornar. Bip.

ΕΠΙΣΤΟΛΗ

Θ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνίδην, III. lii. 492.
τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ[a] αὐτοῖς ἔδωκας, καὶ ἀπαγ-
γέλλοντες τὰ[b] παρὰ[c] σοῦ. τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ
χαλεπῶς διεπράξαντο· καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη·
τὰ δὲ παρὰ σοῦ διῆλθον ἡμῖν λέγοντες ὑποδυσφορεῖν σε ὅτι
οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι
μὲν οὖν[d] ἥδιστόν ἐστιν[e] ἐν τῷ βίῳ τὸ[f] τὰ αὑτοῦ[g] πράττειν,
ἄλλως τε καὶ εἴ τις ἕλοιτο[h] τοιαῦτα[i] πράττειν οἷα καὶ σύ, III. 358.
σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ σε[k] ἐνθυμεῖσθαι, ὅτι
ἕκαστος ἡμῶν[l] οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως
ἡμῶν τὸ[m] μέν τι[n] ἡ πατρὶς μερίζεται, τὸ δέ[o] τι οἱ γεννή-

CODICES TREDECIM,
ΑΞΦΩΖbdefhino.

[a] σὺν i.—[b] τὰ add ΑΞΦΩΖbdefkno.—[c] παρὰ...λέγοντες om i et in excerptis d.—[d] οὖν om i et exc d.—[e] ἥδιστόν γέ ἐστιν i et exc d.—[f] τῷ d.—[g] αὐτὰ i et exc d.—[h] ἔχοι i et exc d et γρ ΑΩ.—[i] ταῦτα i et exc d.—[k] σε om i et exc d.—[l] ὑμῶν iidem.—[m] τὰ Z.—[n] τοι ehi et exc d.—[o] δὲ om i et exc d.—[p] καταλαμβάνειν Φ.—

παρὰ σοῦ] In vet. τὰ παρὰ σοῦ: quæ lectio sequenda esse videtur: quum alioqui desiderari aliquid dici possit inter ἀπαγγέλλοντες et παρά. Steph. Παρὰ σοῦ Bas. 2. Bip.

κρατήσας τῶν ἐχθρῶν μεθ' ὑμῶν, εἰ μὴ ξενικαὶ[o] ἐρινύες[p] ἐκώλυσαν,[q] κατέστησα ἄν[r] ᾗ περ καὶ διενοούμην, καὶ μετὰ ταῦτα Σικελίαν ἂν τὴν ἄλλην, εἴ περ ἔργα ἐπὶ νῷ ἐγίγνετο,[s] κατῴκισα, τοὺς μὲν βαρβάρους ἣν νῦν ἔχουσιν ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα, τοὺς δ' ἔμπροσθεν οἰκητὰς[t] τῶν Ἑλληνικῶν τόπων εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοι-
III. iii. 491. κίσας. ταὐτὰ δὲ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι καὶ πράττειν τε καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας, τὸν μὴ ἐθέλοντα[u] δὲ πολέμιον ἡγεῖσθαι κοινῇ. ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα· ἃ γὰρ ἐν δυοῖν[v] τε ὄντα ψυχαῖν τυγχάνει καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὲ[w] σχεδὸν ὁ κρίνων ἀδύνατα οὐκ εὖ φρονεῖ. λέγω δὲ τὰς δύο τήν τε Ἱππαρίνου τοῦ Διονυσίου υἱέος[x] καὶ τὴν τοῦ ἐμοῦ υἱέος· τούτοιν γὰρ ξυνομολογησάντοιν τοῖς γε[y] ἄλλοις Συρακουσίοις οἶμαι[z] πᾶσιν ὅσοι περ τῆς[a] πόλεως κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν[b] δόντες τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες καὶ προκαλούμενοι[c] φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως, μὴ ἀποστῆτε[d] πρὶν ἂν τὰ νῦν ὑφ' ἡμῶν λεχθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν,[e] ἐναργῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

et corr ΑΞ, περισσυνῶν e: περισωνῶν °s.—[o] ξενικὰ καὶ ΑΞbco et (adscripta s) Ω.—[p] ἐριννύες ΑΩe: ἐριννύες °s.—[q] διεκώλυσαν Ξ.—[r] ἂν om pr ΑΩ.—[s] ἐπεγίγνετο ἐπὶ νῶι (οὖν) γρ Ω.—[t] οἰκιστὰς Ξbe.—[u] θέλοντα mei omnes.—[v] δυσὶν Α: δυοῖν cum °s corr (τ) Ω.—[w] δὲ om Ξbo.—[x] υἱέως...υἱοῦ s.—[y] γε Ω, τε e.—[z] omisi καὶ cum Α et pr Ω.—[a] περὶ τῇ o.—[b] εὐχῆς o.—[c] προβαλλούμενοι pr e.—[d] ἀπιστῆτε o.—[e] ἐγρήγορσιν Ξ et γρ Ω, qui addit οὐκ εὖ.

ταῦτα δὲ] Malim ταῦτα δὴ σχεδὸν etc. Steph.

ἐναργῆ τε—τελεσθέντα] Ald. Bas. 1. 2. ἐναργῆ ταῦτα—τελεσθέντε. Quam Stephanus adoptavit lectionem, eam suggessit Cornar. Bip.

ΕΠΙΣΤΟΛΗ

Θ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνίδην, III. lii. 492.
τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ[a] αὐτοῖς ἔδωκας, καὶ ἀπαγγέλλοντες τὰ[b] παρὰ[c] σοῦ. τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ χαλεπῶς διεπράξαντο· καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη· τὰ δὲ παρὰ σοῦ διῆλθον ἡμῖν λέγοντες ὑποδυσφορεῖν σε ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν[d] ἥδιστόν ἐστιν[e] ἐν τῷ βίῳ τὸ[f] τὰ αὑτοῦ[g] πράττειν,
ἄλλως τε καὶ εἴ τις ἕλοιτο[h] τοιαῦτα[i] πράττειν οἷα καὶ σύ, III. 358.
σχεδὸν παντὶ δῆλον· ἀλλὰ κἀκεῖνο δεῖ σε[k] ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν[l] οὐχ αὑτῷ μόνον γέγονεν, ἀλλὰ τῆς γενέσεως ἡμῶν τὸ[m] μέν τι[n] ἡ πατρὶς μερίζεται, τὸ δέ[o] τι οἱ γεννή-

CODICES TREDECIM,
ΑΞΦΩΖ*bdefhino*.

[a] σὺν i.—[b] τὰ add ΑΞΦΩΖ*bdefhno*.—[c] παρὰ...λέγοντες om i et in excerptis d.—[d] οὖν om i et exc d.—[e] ἥδιστόν γέ ἐστιν i et exc d.—[f] τῷ d.—[g] αὐτὰ i et exc d.—[h] ἔχοι i et exc d et γρ ΑΩ.—[i] ταῦτα i et exc d.—[k] σε om i et exc d.—[l] ὑμῶν iidem.—[m] τὰ Z.—[n] τοι *ehi* et exc d.—[o] δὲ om i et exc d.—[p] καταλαμβάνειν Φ.—

παρὰ σοῦ] In vet. τὰ παρὰ σοῦ: quæ lectio sequenda esse videtur: quum alioqui desiderari aliquid dici possit inter ἀπαγγέλλοντες et παρά. Steph. Παρὰ σοῦ Bas. 2. Bip.

III. iii. 498. σαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι, πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι.[p] καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινὰ ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν· ἅμα γὰρ ξυμβαίνει καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου[q] πρὸς τὰ κοινὰ προσέρχονται. περὶ τούτων μὲν οὖν[r] ἱκανῶς, Ἐχεκράτους δὲ[s] καὶ νῦν ἐπιμέλειαν ἔχομεν καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν καὶ διὰ σὲ καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα[t] καὶ δι' αὐτὸν[u] τὸν νεανίσκον.

[q] τῶν βελτίστων exc d.—[r] οὖν om dkn.—[s] μὲν exc d.—[t] φρουνίωνα d.—[u] αὐτὸν om Φb.

ΕΠΙΣΤΟΛΗ

I.

Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν.

Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τέ σε νῦν III. iii. 494.
καὶ[a] γεγονέναι[b] διὰ παντός, τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον·[c] τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ ὑγιές, τοῦτο ἐγώ φημι εἶναι[d] τὴν ἀληθινὴν[e] φιλοσοφίαν, τὰς δὲ ἄλλας τε καὶ εἰς[f] ἄλλα[g] τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων ὀρθῶς ὀνομάζειν.[h] ἀλλ' ἔῤῥωσό τε καὶ μένε ἐν τοῖς ἤθεσιν οἷς περ καὶ νῦν[i] μένεις.

CODICES DUODECIM,
ΑΞΦΩΖbdefhno.

[a] σὲ καὶ νῦν Ξς.—[b] καὶ σὲ γεγονέναι d.—[c] παρεχόμενος b.—[d] εἶναι om e.—[e] τὸν ἀληθινὸν d.—[f] εἰς om e.—[g] ἄλλους Z.—[h] ὀνομάζων Ξ.—[i] νῦν om ς.

γεγονέναι] Potest etiam interpungi post γεγονέναι, aut post διὰ παντός: ut hæc pertineant ad accusativum ἑταῖρον. Ante νῦν autem videtur abundare vocula καί: alioqui intelligendum fuerit, καὶ νῦν καὶ διὰ παντὸς γεγονέναι παρεχόμενον: nisi γεγονέναι cum νῦν nimis sit durum. Steph.

ΕΠΙΣΤΟΛΗ

ΙΑ.

Πλάτων Λαοδάμαντι εὖ πράττειν.

III. iii. 495. Ἐπέστειλα μέν σοι[a] καὶ[b] πρότερον ὅτι πολὺ διαφέρει πρὸς
ἅπαντα ἃ λέγεις αὐτὸν ἀφικέσθαι σε[c] Ἀθήναζε· ἐπειδὴ
δὲ σὺ φῂς ἀδύνατον εἶναι, μετὰ τοῦτο ἦν δεύτερον, εἰ δυνα-
τὸν ἐμὲ ἀφικέσθαι ἢ Σωκράτη, ὥς περ ἐπέστειλας. νῦν δὲ
Σωκράτης μέν ἐστι περὶ ἀσθένειαν τὴν[d] τῆς στραγγουρίας,
ἐμὲ δὲ ἀφικόμενον ἐνταῦθα ἄσχημον ἂν εἴη μὴ διαπρά-
ξασθαι ἐφ' ἃ περ[e] σὺ παρακαλεῖς. ἐγὼ δὲ ταῦτα γενέσ-
θαι ἂν οὐ πολλὴν ἐλπίδα ἔχω. δι' ἃ δέ, μακρᾶς ἑτέρας
δέοιτ' ἂν ἐπιστολῆς, εἴ τις[f] πάντα διεξίοι· καὶ ἅμα οὐδὲ
τῷ σώματι διὰ τὴν ἡλικίαν ἱκανῶς ἔχω[g] πλανᾶσθαι καὶ
κινδυνεύειν κατά τε γῆν καὶ κατὰ θάλατταν, οἷα ἀπαντᾷ·[h]
III. iii. 496. καὶ νῦν πάντα κινδύνων ἐν ταῖς πορείαις ἐστὶ μεστά. συμ-
III. 359. βουλεῦσαι μέντοι ἔχω[i] σοί τε καὶ τοῖς οἰκισταῖς, ὃ εἰπόν-

CODICES OCTO.

ΑΞΩΖbeπο.

[a] ἐπεστείλαμέν σοι ς.—[b] καὶ om pr A.—[c] σε om Ξe.—[d] τὴν om Ξ.—[e] περ om e.—[f] εἴ τις Ficinus: libri ἥτις.—[g] ἔχων Ξ.—[h] οἷα πάντα Z.—[i] ἔχων Ω.—[k] οὐ π.

ἐπεστείλαμέν σοι] Rectius fortasse scribatur Ἐπέστειλα μέν σοι. STEPH.

τος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι. εἰ[k] γὰρ οἴονθ'[l] ὑπὸ νόμων θέσεως καὶ ὧν τινῶν εὖ ποτὲ πόλιν[m] ἄν[n] κατασκευασθῆναι, ἄνευ τοῦ εἶναί τι[o] κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθ' ἡμέραν διαίτης, ὅπως ἂν ᾖ σώφρων τε καὶ ἀνδρικὴ δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς διανοοῦνται. τοῦτο δ' αὖ,[p] εἰ μέν εἰσιν ἤδη[q] ἄνδρες ἄξιοι τῆς ἀρχῆς ταύτης, γένοιτ' ἄν· εἰ δ' ἐπὶ τὸ παιδεῦσαι δεῖ τινός, οὔτε ὁ παιδεύσων οὔτε οἱ παιδευθησόμενοι, ὡς ἐγὼ οἶμαι, εἰσὶν ὑμῖν,[r] ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθαι.[s] καὶ γὰρ σχεδόν τι καὶ αἱ[t] ἔμπροσθεν πόλεις οὕτω κατεσκευάσθησαν, καὶ ἔπειτα εὖ ᾤκησαν,[u] ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις γενομένων, ὅταν ἐν τοιούτοις καιροῖς ἀνὴρ καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων. τὸ δ' ἔμπροσθεν αὐτὰ προθυμεῖσθαι μὲν[v] χρὴ καὶ ἀνάγκη, διανοεῖσθαι μέντοι αὐτὰ οἷα λέγω, καὶ μὴ ἀνοηταίνειν οἰομένους τι ἑτοίμως διαπράξασθαι.[w] Εὐτύχει.[x]

—[l] οἴονθ' π.—[m] πόλιν Hbco et (adscripto ς πολιτείαν) ΑΩ. πολιτείαν πόλιν Z, πολιτείας π.—[n] ἂν om π.—[o] τινα HZbeno et rc ΑΩ.—[p] οὖν π.—[q] ἤδη deest H.—[r] ὑμῖν εἰσὶ e.—[s] εὔχεσθαι Z: εὔχεσθε °ς.—[t] αἱ om H.—[u] ᾠκίσθησαν HΩen et γρ Z.—[v] μὲν προθυμεῖσθαι π.—[w] post διαπράξασθαι omisi δεῖ cum pr ΑΩ.—[x] εὐτύχει om Hn.

πολιτείαν] Alia est lectio πόλιν: item εἶναι τινὰ κύριον. Steph. Bas. 2. πόλιν. Mox Ficin. *Nisi sit aliquis cum auctoritate praesidens civitati.* Bip.

ᾤκησαν] Legitur etiam ᾠκίσθησαν. Steph. Bas. 2. εὖ ᾠκίσθησαν. Bip.

ΕΠΙΣΤΟΛΗ

ΙΒ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

III. iii. 497. Τὰ μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα θαυμαστῶς[a] ὡς[b] ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα, καὶ ἔδοξεν ἡμῖν εἶναι[c] ὁ ἀνὴρ ἄξιος ἐκείνων τῶν πάλαι[d] προγόνων· λέγονται γάρ[e] δή[f] οἱ ἄνδρες οὗτοι μύριοι[g] εἶναι, οὗτοι δ' ἦσαν τῶν[h] ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων,[i] ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ[k] ὑπομνήματα περὶ ὧν ἐπέστειλας,[l] ἱκανῶς μὲν οὔπω ἔχει, ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι. περὶ δὲ τῆς φυλακῆς ἀμφότεροι συμφωνοῦμεν, ὥστ' οὐδὲν δεῖ παρακελεύεσθαι. Ἔρρωσο.[m]

CODICES DECEM,

ΑΞΩΖ*bdeino*.

[a] *θαυμαστῶς ἔχοντα ὡς* i et in excerptis *d*.—[b] *ὡς* om *n*.—[c] *εἶναι ὁ* om *n*.—[d] *παλαιῶν e*.—[e] *γὰρ* om *e*.—[f] *δὲ e*, om Z*no*.—[g] *μυρίοι b*, *μυραῖοι* (ρ) *n*.—[h] *οὗτοι δ' ἀπάντων eo* et (adscriptis *αὐτοὶ δ' ἦσαν τῶν*) ΑΩΖ*b*.—[i] *τρωδίων n*.—[k] *ἐμοῦ* i et in exc *d*.—[l] *ἐπέσταλκας n*, *ἀπέσταλκας* i et in exc *d*.—[m] *ἔρρωσο* add *n*. *ἀντιλέγεται ὡς οὐ Πλάτωνος* ΑΞΩΖ*e* et ab initio *o*.

μύριοι] In præced. edit. *μοιραῖ εἶναι*. Pro *innumerabilibus* autem scribendum esset *μυρίοι*. Steph.

μύριοι εἶναι] Ald. Bas. 1. 2. *μοιραῖ εἶναι*. At *μύριοι* legendum vidit Cornarius. Jam Ficinus, *Ferunt virorum decem millia fuisse*. At Serranus vertit, *Innumerabilibus*. Tunc scribendum esset *μυρίοι*. Bip.

ΕΠΙΣΤΟΛΗ

ΙΓ.

Πλάτων Διονυσίῳ τυράννῳ Συρακουσῶν εὖ πράττειν.

Ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω καὶ ἅμα ξύμβολον ὅτι III. iii. 498. III. 360.
παρ' ἐμοῦ ἐστί· τοὺς Λοκροὺς ποθ' ἑστιῶν νεανίσκους, πόρρω κατακείμενος ἀπ' ἐμοῦ, ἀνέστης παρ' ἐμὲ καὶ φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον, ὡς ἐμοί τε[a] ἐδόκει[b] καὶ τῷ παρακατακειμένῳ, ἦν δ' οὗτος τῶν καλῶν τις· ὃς τότε εἶ-

CODICES NOVEM,

ΑΞΦΩΖbeno.

[a] γε Ω, γε ΑΖno (τ superscr.).—[b] ἐδόκεις ΞΩbeo.—[c] ὠφελεῖ Ζ.—[d] ὑπὸ om pr Ω.—[e] αὐτοὺς

εὖ πράττειν] Additur in præced. edit. νοθεύεται post εὖ πράττειν: sed quid si ego et a Plutarcho et a Theodorito pro Platonica agnosci ostendam? nonne et ipsi eam agnoscendam nobis esse dicemus? dicere quidem certe par erit. Venio igitur ad utriusque locos. Plutarchus in libro περὶ δυσωπίας, p. 946. meæ editionis, Πάλιν ὁ Πλάτων Ἑλίκωνι τῷ Κυζικηνῷ διδοὺς πρὸς Διονύσιον ἐπιστολὴν, ἐπῄνεσεν αὐτὸν ὡς ἐπιεικῆ καὶ μέτριον· εἶτα προσέγραψε τῇ ἐπιστολῇ τελευτώσῃ, Γράφω δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζώου φύσει εὐμεταβόλου. Quid? extantne ista (quæres) in hac Platonis epistola? Sane, non procul ab ipso principio: ἔστι δὲ ὄνομα μὲν Ἑλίκων, τὸ δὲ γένος, ἐκ Κυζίκου: et (postquam quædam ad laudem ejus adjecit) δεδιὼς δὲ λέγω ταῦτα, ὅτι ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαίνομαι, οὐ φαύλου ζώου, ἀλλ' εὐμεταβόλου, πλὴν πάνυ ὀλίγων τινῶν καὶ εἰς ὀλίγα. Ut autem unum ex principio hujus epistolæ locum habemus auctoritate Plutarchi comprobatum, ita de uno qui est in ejusdem fine extat Theodoriti testimonium, libro ii. τῆς θεραπευτικῆς τῶν Ἑλληνικῶν παθημάτων. STEPH.

ἐδόκει] Legitur etiam ἐδόκεις. STEPH. Bas. 2. ἐδόκεις. BIP.

[illegible] ὑπὸ [illegible] πάλαι ἐστὶ καὶ ἐπ' [illegible] αὐτῷ [illegible] δι' [illegible] ὅπως ἂν [illegible] καὶ ἐγὼ [illegible] ἡμῖν [illegible] Ἀρ-[illegible] Ἑλίκων, [illegible] καὶ περὶ [illegible] καὶ τὸν [illegible] Πολυξένου τῶν [illegible] αὖτε ἄχα-[illegible] ἀλλὰ μᾶλλον [illegible] δὲ λέγω [illegible] φαύλου [illegible] καὶ εἰς [illegible] πολιτῶν [illegible] ὁπότε [illegible] ἂν καὶ [illegible] τἄλλα φι-[illegible] σχολὴν μαν-[illegible] ὠφελεῖσ-θαι [illegible]

[illegible] Scribe καὶ τοῦδ᾽ seu [illegible] ὥσπερ [illegible] μαθημάτων Ω. [illegible] ἀπολλάξαι ΦΩΖ [illegible] (adscripto σε) e.

[illegible] Post [illegible] Steph. [illegible] Cornarius legebat [illegible] Bek. [illegible] Quibusdam [illegible] dos [illegible] Steph. Ficinus. Cum quodam Socratis discipulorum. Bek.

[illegible]! Vel non satis recordatus est [illegible] modo attuli loco verborum Platonis, vel hæc ἐλαφρὸν et [illegible] putavit de eo qui esset [illegible] καὶ μέτριος. Steph.

Περὶ δὲ ὧν ἐπέστελλές μοι ἀποπέμπειν σοι, τὸν μὲν ἈπόλλωIII. 361. ἐποιησάμην[y] τε καὶ ἄγει σοι Λεπτίνης, νέου καὶ ἀγαθοῦ δημιουργοῦ· ὄνομα δ' ἔστιν αὐτῷ Λεωχάρης. ἕτερον δὲ παρ' αὐτῷ ἔργον ἦν πάνυ κομψόν, ὡς ἐδόκει· ἐπριάμην οὖν αὐτὸ βουλόμενός σου τῇ γυναικὶ δοῦναι, ὅτι μου ἐπεμελεῖτο καὶ ὑγιαίνοντος καὶ ἀσθενοῦντος ἀξίως ἐμοῦ τε καὶ σοῦ· δὸς οὖν αὐτῇ, ἂν μή τι σοὶ ἄλλο δόξῃ. πέμπω δὲ καὶ οἴνου γλυκέος δώδεκα σταμνία τοῖς παισὶ καὶ μέλιτος δύο. ἰσχάδων δὲ ὕστερον ἤλθομεν τῆς ἀποθέσεως, τὰ δὲ μύρτα ἀποτεθέντα κατεσάπη· ἀλλ' αὖθις βέλτιον ἐπιμελησόμεθα. περὶ δὲ φυτῶν Λεπτίνης σοι ἐρεῖ.

Ἀργύριον δ' εἰς ταῦτα ἕνεκά τε τούτων καὶ εἰσφορῶν τινῶν[z] εἰς τὴν πόλιν ἔλαβον παρὰ Λεπτίνου, λέγων ἅ μοι ἐδόκει εὐσχημονέστατα ἡμῖν εἶναι καὶ ἀληθῆ λέγειν, ὅτι ἡμέτερον εἴη ὃ εἰς τὴν ναῦν ἀναλώσαμεν[a] τὴν Λευκαδίαν, σχεδὸν ἑκκαίδεκα μναῖ.[b] τοῦτ' οὖν ἔλαβον, καὶ λαβὼν αὐτός τε[c] ἐχρησάμην καὶ ὑμῖν ταῦτα ἀπέπεμψα.[d] τὸ δὴ μετὰ τοῦτο περὶ χρημάτων ἄκουε ὥς σοι ἔχει, περί τε τὰ σὰ τὰ[e] Ἀθήνησι καὶ περὶ τὰ ἐμά.[f] ἐγὼ τοῖς σοῖς χρήμασιν, ὥς περ τότε σοι[g] ἔλεγον, χρήσομαι καθά περ τοῖς τῶν III. iii. 300. ἄλλων ἐπιτηδείων, χρῶμαι δὲ ὡς ἂν δύνωμαι ὀλιγίστοις, ὅσα ἀναγκαῖα ἢ δίκαια ἢ εὐσχήμονα ἐμοί τε δοκεῖ καὶ παρ' οὗ ἂν λαμβάνω. ἐμοὶ δὴ[h] τοιοῦτον νῦν[i] ξυμβέβηκεν. εἰσί μοι ἀδελφιδῶν θυγατέρες τῶν ἀποθανουσῶν τότε ὅτ' ἐγὼ οὐκ ἐστεφανούμην, σὺ δ' ἐκέλευες, τέτταρες, ἡ μὲν νῦν ἐπίγαμος, ἡ δὲ ὀκταέτις,[k] ἡ δὲ σμικρὸν πρὸς τρισὶν ἔτεσιν, ἡ δὲ οὔπω ἐνιαυσία.[l] ταύτας ἐκδοτέον ἐμοί ἐστι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν[m] ἐγὼ ἐπιβιῶ·[n] αἷς δ' ἂν μή, χαιρόντων. καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ

—[x] ἄνιη corr A, ἂν εἴη Φb: ἀνείη °s.—[y] ἐποιησάμην ΑΞΦΩZbeno: ἐπριάμην s.—[z] τινῶν om n.—[a] ἀναλώσαμεν ΑΞΦΩZbeo: ἀνηλώσαμεν ns.—[b] μνᾶς no et, ut videtur, Ξ.—[c] αὐτός τε om n.—[d] ἔπεμψα (adscripto ἀπέπεμψα) Z.—[e] σὰ καὶ τὰ e. σὰ τὰ om o, τὰ om be.—[f] τὰ ἐμὰ πέρι e.—[g] σοι τότε σοι Ξ.—[h] δὲ n.—[i] νῦν δὴ Z.—[k] ὀκταετὴς Z, ὀκταέτης (η superscr.) b, ὀκταετις Ω.—[l] ἐνιαυσιαία Φb.—[m] αἷς δ' ἂν Z.—[n] ἐπιβῶ

ἐπριάμην] Ald. Bas. 1. 2. ἐποιησάμην, statim sequitur, ἐπριάμην οὖν αὐτό. Bip. quod recte immutatum a Cornario: nam

πλουσιώτεροι, οὐκ ἐκδοτέον· τὰ δὲ νῦν ἐγὼ αὐτῶν[o] εὐπορώ-
τερος.[p] καὶ τὰς μητέρας δὲ αὐτῶν ἐγὼ ἐξέδωκα καὶ μετ'
ἄλλων καὶ μετὰ Δίωνος. ἡ μὲν οὖν Σπευσίππῳ γαμεῖται,
ἀδελφῆς οὖσα αὐτῷ θυγάτηρ· δεῖ δή[q] ταύτῃ οὐδὲν πλέον
ἢ τριάκοντα μνῶν· μέτριαι γὰρ αὗται ἡμῖν[r] προῖκες. ἔτι
δὲ ἐὰν ἡ μήτηρ τελευτήσῃ ἡ ἐμή, οὐδὲν αὖ πλείονος ἢ δέκα
μνῶν δέοι ἂν εἰς τὴν οἰκοδομίαν[s] τοῦ τάφου. καὶ περὶ ταῦ-
τα τὰ[t] μὲν[u] ἐμὰ ἀναγκαῖα σχεδόν τι ἐν τῷ νῦν ταῦτά
ἐστιν· ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα
διὰ τὴν παρὰ σὲ ἄφιξιν, ὥς περ τότε ἔλεγον δεῖ ποιεῖν, ἐμὲ
μὲν διαμάχεσθαι ὅπως ὡς[v] ὀλίγιστον[w] γένηται τὸ ἀνάλω-
III. 362. μα, ὃ δ' ἂν μὴ δύνωμαι, σὴν εἶναι τὴν δαπάνην. Τὸ δὴ[x]
μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν Ἀθήνησι
τῆς ἀναλώσεως, ὅτι πρῶτον[y] μὲν ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν
εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅς τις
δώσει, ὡς ᾠόμεθα, ἐπεὶ καὶ ἄν τι σοὶ αὐτῷ[z] διαφέρῃ[a] μέγα,
ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι, μὴ ἀναλωθὲν δὲ ἀλλ' ἐγ-
χρονισθέν,[b] ἕως ἄν τις[c] παρὰ σοῦ ἔλθῃ, βλάψαι,[d] πρὸς τῷ[e]
χαλεπῷ τὸ τοιοῦτόν σοί ἐστι καὶ αἰσχρόν. ἐγὼ γὰρ δὴ
ταῦτά γε ἐξήτασα,[f] παρ' Ἀνδρομήδῃ[g] τὸν Αἰγινήτην
πέμψας Ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου[h] ξένου,
III. iii. 501. εἴ τι δεοίμην, λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ
ἐπέστελλες πέμπειν. ὁ δὲ εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι
καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο, καὶ
νῦν σμικρὰ μὲν δοίη ἄν, πλείω δὲ[i] οὔ. οὕτω δὴ παρὰ Λεπ-
τίνου[k] ἔλαβον· καὶ τοῦτό γε ἄξιον ἐπαινέσαι Λεπτίνην,
οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προθύμως, καὶ τὰ ἄλλα περὶ σὲ
καὶ λέγων καὶ πράττων, ὅ τι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς

pr ΑΩ.—[o] αὐτῶν ἐγὼ ΑΦΖbo et pr Ω.—[p] εὐπορώτατος ΑΞΦΩΖbco.—[q] δὲ Ζ.—[r] ἡμῶν om Φ.—[s] οἰκονομίαν Ζ.—[t] τὰ om pr Α.—[u] μὴ Ζ.—[v] ὡς om Ζ.—[w] ὀλιγίστου b.—[x] δὲ π.—[y] πρῶτα Φ.—[z] αὐτῷ om Ζ.—[a] διαφέρει Ζ.—[b] οὐ χρονισθὲν Ζ.—[c] ἕν τις in mg ponunt ΑΩ.—[d] βλάψῃ Ζ.—[e] τὸ om π.—[f] ἐξήτησα (adscr. vulg.) c, ἐξέτησα Ζ.—[g] ἀνδρομήδην Φb.—[h] ὑμετέρου ΑΞΩcno : ἡμετέρου *ς.—[i] δὲ no.—[k] παραλιπεῖν

ἡ μὲν οὖν] Melius fortasse scribetur, ἣ μὲν οὖν etc. ut post θυγάτηρ levius interpungatur. Steph.

ἡ μὲν οὖν Σπευσίππῳ γαμ.] Si hæc lectio recta est, Speusippus uxorem duxit sororis suæ filiam. Et sic Platoni fuit nepos ex sorore Potone, ut Laertius tradit, et affinis eidem in quarto gradu, ut qui ipse illius nepos, neptis illius filiam in uxorem habuit. Cornar.

ἦν. χρὴ γὰρ δὴ[l] καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παῤῥησιάσομαι· δίκαιον γάρ, καὶ ἅμα[m] ἐμπείρως ἔχων τῶν παρὰ σοὶ λέγοιμ' ἄν. οἱ προσαγγέλλοντες ἑκάστοτέ σοι, ὅ τι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλλειν, οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι. ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν καὶ ταῦτα καὶ τὰ ἄλλα·[n] σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι[o] ἔσται[p] πρὸς τὴν ἀρχήν· τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν καὶ σὺ δὴ[q] φῂς ἀγαθὸν εἶναι καὶ φήσεις. μὴ οὖν σε[r] διαβαλλόντων[s] πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες· τοῦτο γὰρ οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ[t] ξύμβολον[u] εἶναι.

Τὰ μετὰ ταῦτα περὶ Δίωνος λέγοιμ' ἄν. τὰ μὲν οὖν[v] ἄλλ' οὔπω ἔχω λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαί, ὥς περ ἔφης· περὶ μέντοι ἐκείνων ὧν οὐκ εἴας[w] μεμνῆσθαι πρὸς αὐτόν, οὔτε ἐμνήσθην οὔτε διελέχθην, ἐξεπειρώμην δὲ εἴτε χαλεπῶς εἴτε ῥᾳδίως οἴσει γιγνομένων, καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γίγνοιτο. τὰ δὲ ἄλλα περί σε καὶ λόγῳ καὶ ἔργῳ μέτριός μοι δοκεῖ εἶναι Δίων.

Κρατίνῳ τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δ' ἑταίρῳ, θώρακα[x] δωρησώμεθα[y] ὁπλιτικὸν[z] τῶν μάλα καλῶν[a] τῶν πε- III. 363.
ζῶν, καὶ ταῖς[b] Κέβητος θυγατράσι χιτώνια τρία ἑπταπήχη, μὴ τῶν πολυτελῶν τῶν Ἀμοργίνων, ἀλλὰ τῶν Σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γιγνώσκεις τοὔνομα Κέβητος· γεγραμμένος γάρ ἐστιν ἐν τοῖς Σωκρατείοις λόγοις μετὰ III. iii. 502.

(adscriptis παρὰ λεπτίνου) A: vulgatam corr habet Ω.—[l] δὴ add ΗΦΖeo et rc Ω.—[m] ἅμα in mg ponit A, om pr Ω.—[n] τἆλλα e: τὰ ἄλλα *ς.—[o] σοι om He et pr AΩ.—[p] ἔσται A (ιν, αι), ἐστὶν Ω, ἐστὶ Zo.—[q] δὲ Z.—[r] σε om Φ.—[s] διαβαλόντων b.—[t] δοκεῖ εἶς Zeo, δοκεῖν εἶς ΗΩΦb.—[u] ξύμβουλον Z et pr Ω.—[v] οὖν om ΑΦΩZbeno.—[w] εἴασε Φb.—[x] θώρακα om n.—[y] δωρησόμεθα Ης.—[z] ὁπλιτικῶν A, ὁπλιστικὸν Z: ὁπλιτικὸν cum *ς corr Ω (αλ).—[a] μαλακῶν AΩ.—[b] ταῖς om pr AΩ.—[c] τοῦ δὲ Z, τῇ τοῦ Η, τοῦ n.

Σιμμίου Σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ, ἀνὴρ πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους.

Περὶ δὲ δὴ τοῦ[c] ξυμβόλου[d] τοῦ περὶ τὰς ἐπιστολάς,[e] ὅσας τε[f] ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μή, οἶμαι μέν σε μεμνῆσθαι, ὅμως δ' ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν·[g] πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς θεὸς ἄρχει, θεοὶ[h] δὲ τῆς ἧττον.

Οἱ πρέσβεις καὶ ἐδέοντο ἐπιστέλλειν σοι καὶ εἰκός·[i] πάνυ γὰρ προθύμως σὲ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα Φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ Φιλαίδης παρὰ[k] βασιλέως ἥκων τοῦ μεγάλου ἔλεγε περὶ σοῦ· εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε, νῦν δὲ Λεπτίνου πυνθάνου.

Ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἂν μὲν αὐτός[l] τῳ βούλῃ, εἰ[m] δὲ μή, Τηρίλλῳ[n] δός· ἔστι δὲ τῶν αἰεὶ πλεόντων, ἡμέτερος ἐπιτήδειος καὶ τὰ ἄλλα καὶ περὶ φιλοσοφίαν χαρίεις. Τίσωνος δ' ἔστι κηδεστής, ὃς τότε ὅθ' ἡμεῖς ἀπεπλέομεν ἐπολιανόμει.

Ἔρρωσο καὶ φιλοσόφει καὶ τοὺς ἄλλους προτρέπου τοὺς νεωτέρους, καὶ τοὺς συσφαιριστὰς[o] ἀσπάζου ὑπὲρ ἐμοῦ, καὶ πρόσταττε τοῖς τε ἄλλοις καὶ Ἀριστοκρίτῳ, ἐάν τις παρ' ἐμοῦ λόγος ἢ ἐπιστολὴ ἴῃ παρὰ σέ,[p] ἐπιμελεῖσθαι ὅπως ὡς τάχιστα σὺ[q] αἴσθῃ, καὶ ὑπομιμνήσκειν σε ἵνα ἐπιμελῇ

—[d] ξυμβουλου Zo.—[e] ἐπιστάς Ξ.—[f] τε om c.—[g] οὖν n.—[h] θεὸς n.—[i] καὶ εἰκὸς om n.—[k] ὁ παρὰ ΞΦΖbco et rc Ω.—[l] μετ' αὐτὸν (adscriptis μὲν αὐτός) o, καὶ αὐτὸς n, αὐτοῖς (α superscr.) Z.—[m] ἂν o.—[n] τηριλλῳ ΑΩ, τηριάλλῳ ΞΖo.—[o] συμφαιριστὰς Ξ.—[p] ἴῃ παρὰ σὲ (ι rc addito) Α, ἢ παρὰ σὲ (in margine adscripto ἴῃι) Ω, ἴῃ παρὰ σὲ Φb:

πυνθάνου] Malui Ald. editionem sequi, quæ habet stigmen τελείαν post πυνθάνου: ut sit sensus, *sed quum longum sit ea perscribere, Leptinem de iis interrogato.* Deinde ἀπ' ἄλλης ἀρχῆς dicatur, ἂν τὸν θώρακα etc. STEPH.

ἐπολιανόμει] Quidam hac scriptura decepti interpr. sunt, *canescebat*: neque tamen necesse est substituere ἐπολιωνόμει pro ἀπολιανόμει, ut est in præced. editionibus. STEPH. qui sic in Not. 'In præced. editionibus est ἀπολιανόμει, pro quo substituitur ἐπολιωνόμει, quasi a πολιὰ esse necesse sit verbum πολιανομεῖν (quod putarunt qui hic interpretati sunt *canescebat*) at vero a πόλις dici πολιανομεῖν, id est *urbem regere*: sed πολιανόμος tamen (a quo est πολιανομεῖν) ἀπὸ τῆς πόλεως deductum, exemplo non caret.' Cornar. emendabat ἐπολιανόμει. BIP.

τῶν ἐπισταλέντων.[r] καὶ νῦν Λεπτίνῃ τῆς ἀποδόσεως τοῦ ἀργυρίου μὴ ἀμελήσῃς, ἀλλ' ὡς τάχιστα ἀπόδος, ἵνα καὶ III. iii. 503. οἱ ἄλλοι πρὸς τοῦτον ὁρῶντες προθυμότεροι[s] ὦσιν ἡμῖν ὑπηρετεῖν.

Ἰατροκλῆς ὁ μετὰ Μυρωνίδου τότε ἐλεύθερος ἀφεθεὶς ὑπ' ἐμοῦ πλεῖ νῦν μετὰ τῶν πεμπομένων παρ' ἐμοῦ· ἔμμισθον οὖν που αὐτὸν κατάστησον ὡς ὄντα σοι εὔνουν, καὶ ἄν τι βούλῃ, αὐτῷ χρῶ. καὶ τὴν ἐπιστολὴν ἢ αὐτὴν[t] ἢ εἰ[u] ὑπόμνημα αὐτῆς[v] σώζεται, καὶ[w] αὐτὸς ἴσθι.

παρά σε ᾖ [p] s.—[q] ὧν Z.—[r] ἐπεσταλμένων Φb.—[s] πρόθυμοι Φ.—[t] αὐτὴν pr ΑΩ, ἃ αὐτὴν Z.—[u] εἰ om pr ΑΩ.—[v] αὐτοῖς Z.—[w] καὶ ὁ Ω.

ΔΙΑΛΟΓΟΙ

ΟΙ ΝΟΘΕΤΟΜΕΝΟΙ.

ΔΙΑΛΟΓΟΙ

ΟΙ ΝΟΘΕΥΟΜΕΝΟΙ.

Α Ξ Ι Ο Χ Ο Σ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΝΙΑΣ, ΑΞΙΟΧΟΣ.

§. 1. Ἐξιόντι μοι[a] ἐς Κυνόσαργες καὶ γενομένῳ μοι κατὰ τὸν Ἰλισσὸν[b] διῆξε φωνὴ βοῶντός του,[c] Σώκρατες, Steph. III. 364. — Bek. III. iii. 507.

CODICES QUATTUORDECIM,
ΑΘΞΣΥΦΨΩBCSVZ*k*.

[a] *μοι* om ΥV*k* et pr Σ.—[b] *τὸν ἰλισσὸν* ΑΘΦΨΩBCSVZ et corr Σ, *τὴν ἐλισσὸν* Υ*k*:

Ἀξίοχος] Platoni dialogum hunc adscribit Stobæus, ubicunque aliquem ejus locum citat: Harpocration autem Æschini Socratico: eique hac in re assentitur Diogenes Laertius, Axiochum recensens inter septem dialogos Æschinis, quos esse dicit τὸ Σωκρατικὸν ἦθος ἀπομεμαγμένους: nisi forte aliquis alius fuit eodem nomine, sed non eodem argumento, dialogus. Marsilius Ficinus Xenocratis esse credidit, qui Platonis fuit et ipse discipulus: atque id credendi occasionem illi præbuit fortasse non aliud quam quod apud Laertium legitur, in vita Xenocratis, scriptum ab eo esse dialogum de morte. Ego hoc unum affirmare ausim, a Platone scriptum non esse hunc dialogum, quod ejus sermonem a Platonico plane diversum esse animadvertam, et aliud genus μεγαλοφωνίας habere, quam quod habet Platonicus: qui parcius etiam quam ille poeticis vocibus utitur. Steph.

Ἀξίοχος ἢ Περὶ Θανάτου] Ita laudatur hic Dialogus etiam a Thom. Mag. in verbis Βούλομαι et Ἐπιστρέφομαι: ubi tamen Audendorpius ostendit se in nullo suorum codicum verba ἐν τῷ Ἀξίοχος, ἢ περὶ θανάτου, invenisse. Certe nec in Phavorini Lexico, qui verba illa Tho. Magistri exscripsit, leguntur: et in Stobæi Eclogis, et Ethicis, et Physicis, simpliciter vocatur ὁ Ἀξίοχος. Sed in Cod. Vindobonensi 21. (apud Nesselium Catal. Mss. p. iv. p. 17.) inscriptus est ita, uti nos edidimus ex Ald. Bas. 1. 2. Steph. cum Horreo et Clerico: cujus tamen in exemplo post verba περὶ Ἀξιόχου addita sunt verba εἰ φοβερόν. Hoc certe exploratum satis esse putamus et indubitatum, Axiochum, qui restat hodie, prorsus diversum esse ab eo, qui compositus ab Socratico Æschine perhibetur ab Harpocratione, Athenæo, Laertio, et Polluce. Sed a quo profectus sit hic Axiochus, non audemus definire. Credimus tamen cum Stephano, Pe. Victorio (Varr. Lect. v. 5.) Gilb. Golmino

Α Ξ Ι Ο Χ Ο Σ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΛΕΙΝΙΑΣ, ΑΞΙΟΧΟΣ.

§. 1. Ἐξιόντι μοι[a] ἐς Κυνόσαργες καὶ γενομένῳ μοι κατὰ τὸν Ἰλισσὸν[b] διῆξε φωνὴ βοῶντός του,[c] Σώκρατες, Steph. III. 364. — Bek. III. iii. 507.

CODICES QUATTUORDECIM,
ΑΘΞΣΥΦΨΩBCSVZ*k*.

[a] *μοι* om ΥV*k* et pr Σ.—[b] *τὸν ἰλισσὸν* ΑΘΦΨΩBCSVZ et corr Σ, *τὴν ἐλισσὸν* Υ*k*:

Ἀξίοχος] Platoni dialogum hunc adscribit Stobæus, ubicunque aliquem ejus locum citat: Harpocration autem Æschini Socratico: eique hac in re assentitur Diogenes Laertius, Axiochum recensens inter septem dialogos Æschinis, quos esse dicit τὸ Σωκρατικὸν ἦθος ἀπομεμαγμένους: nisi forte aliquis alius fuit eodem nomine, sed non eodem argumento, dialogus. Marsilius Ficinus Xenocratis esse credidit, qui Platonis fuit et ipse discipulus: atque id credendi occasionem illi præbuit fortasse non aliud quam quod apud Laertium legitur, in vita Xenocratis, scriptum ab eo esse dialogum de morte. Ego hoc unum affirmare ausim, a Platone scriptum non esse hunc dialogum, quod ejus sermonem a Platonico plane diversum esse animadvertam, et aliud genus μεγαλοφωνίας habere, quam quod habet Platonicus: qui parcius etiam quam ille poeticis vocibus utitur. STEPH.

Ἀξίοχος ἢ Περὶ Θανάτου] Ita laudatur hic Dialogus etiam a Thom. Mag. in verbis Βούλομαι et Ἐπιστρέφομαι: ubi tamen Audendorpius ostendit se in nullo suorum codicum verba ἐν τῷ Ἀξίοχος, ἢ περὶ θανάτου, invenisse. Certe nec in Phavorini Lexico, qui verba illa Tho. Magistri exscripsit, leguntur: et in Stobæi Eclogis, et Ethicis, et Physicis, simpliciter vocatur ὁ Ἀξίοχος. Sed in Cod. Vindobonensi 21. (apud Nesselium Catal. Mss. p. iv. p. 17.) inscriptus est ita, uti nos edidimus ex Ald. Bas. 1. 2. Steph. cum Horreo et Clerico: cujus tamen in exemplo post verba περὶ Ἀξιόχου addita sunt verba εἰ φοβερόν. Hoc certe exploratum satis esse putamus et indubitatum, Axiochum, qui restat hodie, prorsus diversum esse ab eo, qui compositus ab Socratico Æschine perhibetur ab Harpocratione, Athenæo, Laertio, et Polluce. Sed a quo profectus sit hic Axiochus, non audemus definire. Credimus tamen cum Stephano, Pe. Victorio (Varr. Lect. v. 6.) Gilb. Golmino

Σώκρατες. ὡς δὲ ἐπιστραφεὶς[d] περιεσκόπουν ὁπόθεν εἴη, Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου θέοντα ἐπὶ Καλλιρόην[e] μετὰ

τὸν εἰλισσὸν *ϛ.—[c] σου Υk.—[d] ἐπιστραφεὶς ΞVZ, περιστραφεὶς Ω, στραφεὶς Υk et pr Σ: ἐπι περιστραφεὶς *ϛ.—[e] καλλιρρόην ΦCVk, καλλιρροὴν Ψ.—[f] αὐτῷ ΑΘΥΦΩBCZ

(ad Theódori Prodromi Amarant. p. 564.) Tan. Fabro (ad Longin. c. 32. p. 175. Tol.) Joh. Ern. Grabio (ad Justini M. Apol. i. 8. p. 14.) et aliis, eum non conscriptum esse a Platone: unde etiam in libro Aldino, atque iis, qui inde ducti sunt, positus comparet in Dialogis philosophi νοθευομένοις. Ante nomina personarum, quæ loquentes ibi inducuntur, leguntur in Steph. verba τὰ τοῦ Διαλόγου πρόσωπα· sed in Ald. Bas. 1. 2. τοῦ Διαλόγου abest. Nobis placuit Stephani auctoritatem sequi, ut constantes reperiremur. Etenim in Platonis quoque Dialogorum Indicibus posuimus verba τὰ τοῦ Διαλόγου πρόσωπα. Fisch.

§. 1. Κυνόσαργες] Schol. Cod. 9. plut. 85. Codd. Mss. Grr. Bibl. Laurent. apud Bandinum Catal. p. 263. t. iii. Κυνόσαργες· τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ Κυνόσαργες καλούμενος, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. Ὠνομάσται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ, ἢ ταχέος. Καὶ γὰρ Ἡρακλεῖ θύοντας, κύνα τοῦτον ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία, αὐτοῦ καθεῖναι· καὶ ἐπερωτήσαντας τοὺς θεοὺς, ποῦ Ἡρακλέους ἱδρύσαι ἱερὸν, λαβεῖν χρησμὸν, ἐν ἐκείνῳ τῷ τόπῳ· ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι Ἡρακλῆς νόθος ὢν Διὸς υἱὸς, Ἀμφιτρύωνος γὰρ γνήσιος ἦν, ἴσα θεοῖς ἐτιμήθη. Λαμβάνεται δὲ καὶ εἰς παροιμίαν ἐπὶ ὕβρει καὶ ἀρᾷ, οἷον, ἴθι εἰς Κυνόσαργες. Add. Suid. h. v. et Eustath. ad Odys. B. p. 1430. et N. p. 1747. Rom. cujus verba Phavorinus in suum Lexicon transtulit v. Κυνόσαργες. Et posteriore quidem loco Eustathius de sede accentus in isto vocabulo hæc præcipit, ὅ τινες Κυνοσαργὲς ὀξυτόνως προέφερον, ὁμοίως τῷ περικαλλές· κρατεῖ δὲ ὅμως ἡ τοῦ προπαροξυτόνου ἀνάγνωσις, ὡς δηλοῖ τὸ ἐν Κυνοσάργει. Fisch.

γενομένῳ μοι] Vix crediderim auctorem ipsum hic repetiisse pronomen μοι. Scribitur autem et Ἰλισσὸς et Εἰλισσός. Steph.

μοι] Wolfio, et Stephano, atque ante eos jam Cornario (Eclogg. p. 140.) pronomen μοι redundare, atque adeo delendum, videbatur. Et abesse certe potest salva perspicuitate, neque in exemplo Wolfiano legitur. Tuetur tamen illud Horreus: recte. Neque enim insolens est et nova talis pronominum repetitio, etiam ubi oratio non est ambigua, præsertim si loquentes inducuntur ii, qui subito loqui videri velint. Sic apud Xen. Cyrop. i. 5. 7. Cyrus loquitur ita: ἐγὼ προσειλόμην ὑμᾶς, οὐ νῦν πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς—ἐκπονοῦντας· ubi Muretus censebat posterius ὑμᾶς inducendum esse. At repugnant non modo omnes libri veteres, sed etiam leges grammaticæ, quæ pronomen ὑμᾶς abesse, propter participia ὁρῶν et ἐκπονοῦντας, vetant. Conf. Valckenar. ad Eurip. Phœn. 501. qui etiam a Clotio eam in rem laudatus est in Actis Eruditt. Lipss. a. 1758. p. 595. Fisch.

Ἰλισσὸν] Cod. Vindob. 21. κατὰ τὴν Ελλισσόν: male. Scriptum nomen hujus fluvii legitur in libris Diog. L. vi. 79. et Pollucis viii. 122. ut apud Pausan. i. 19. p. 45: Εἰλισσός. At in libris Herodoti vii. 189. Plat. Phædr. t. iii. p. 229. B. Apollonii Rhod. i. 215. Dionysii Perieg. 424. 1023. Strabonis ix. p. 400. Cas. Apollodori iii. p. 247. Fab. Stephani Byzant. Suidæ, Æneæ Gazæi Theophrast. p. 6. Barth. aliorumque, scriptum est Ἰλισσός· quam ad scripturam accedit scriptura Cod. Palat. Apollodori Ἰλισὸς, quæ ab antiqua scribendi ratione profecta est. Etiam a Plinio H. N. iv. 7. et poetis Latinis, vocatur *Ilissus*, ita, ut primam syllabam, nunc longam, nunc brevem, esse jusserint. Itaque non dubitavimus pro Εἰλισσὸν rescribere Ἰλισσὸν, præsertim quum non ignoraremus, quam sæpe librarii litteram ι et diphthongum ει inter se permutassent. Conf. Berquelius ad Steph. Byzant. p. 415. Fisch.

Εἰλισσὸν] Nonnisi apud recentiores reperitur; Plato Herodotus aliique veteres exhibent Ἰλισσὸν, ut est in Monac. (313.): simplici σ excudendum curavi Ἰλισὸν, ut Κνωσὸς non Κνωσσὸς legitur in nummis et inscriptionibus, ut in optimis libris est Κηφισὸς, Μυκαλησὸς, Νῖσα, Γλίσας, Κρῖσα, Λυρνησὸς, Ταρτησὸς, Τευμησὸς, Παρνασὸς et similia. Boeckh.

Δάμωνος τοῦ μουσικοῦ καὶ Χαρμίδου τοῦ Γλαύκωνος· ἤστην δὲ αὐτῷ[f] ὁ μὲν διδάσκαλος τῶν κατὰ μουσικήν, ὁ δ' ἐξ ἑταιρείας[g] ἐραστὴς ἅμα καὶ ἐρώμενος. ἐδόκει οὖν μοι ἀφεμένῳ τῆς εὐθὺ ὁδοῦ ἀπαντᾷν[h] αὐτοῖς, ὅπως ῥᾷστα ὁμοῦ γενοίμεθα. [§. 2.] Δεδακρυμένος δὲ ὁ Κλεινίας,

[f] et pr Ƶ, αὐτῶν (ῷ) V: αὐτῶν °ς.—[g] ἑταιρίας Ƶ.—[h] ejus verbi media syllaba finitur

διῇξε] Codd. Vindobb. Ald. Bas. 1. 2. Steph. reliquique libri editi omnes, habent διῆξε. Sic etiam in Thesauro Stephanus legit, in verbo διήκω. Sed Wolfius edidit διῇξε, quod esset a verbo διαΐσσειν, s. διαΐσσειν s. διάττειν: nam Homerus, aliique poetæ, dixerunt ἀΐσσειν, sed Attici veteres scripsisse videntur ᾄσσειν, medii et recentiores ἄττειν, ut ἀετὸς pro αἰετὸς, κλάω pro κλαίω, κάω pro καίω. v. Etymol. M. v. αἰετός. Æschyl. Prom. p. 42. Steph. ᾖσσον· ubi Schol. ἀντὶ τοῦ ἤϊσσον. Eurip. Phœn. 343. ἀνῇξε. Hesych. Ἄττοντες· ὁρμῶντες. Ἄττουσα· ὁρμῶσα, πηδῶσα. v. Valckenarius ad Eurip. Phœn. p. 467. Hippolyt. p. 310. B. ad Theocrit. p. 286. Pierson. ad Mœr. p. 301. Quæ quidem lectio placuit nobis tantopere, ut eam receperimus. Etenim διῇξε est verbum elegans et exquisitum, quod exhauriat prorsus vim rei subjectæ: fere, ut apud Lucian. Halcyon. 1. τίς ἡ φωνὴ προσέβαλεν ἡμῖν—ἀλλά μοι ξένη τις τῷ ὄντι προσέπεσε, t. i. p. 168. Græv. et apud Plautum Rud. ii. 3. 2. 'cuja ad auris Vox mihi advolavit?' Et quis nescit, quam sæpe librarii commutaverint inter se duo ista verborum genera? v. Hemsterh. et Bergler. ad Aristoph. Plut. 733. Dorvill. ad Chariton. p. 257. Wesseling. et Valckenar. ad Herodot. p. 339. interpp. Luciani ad Peregr. 37. t. iii. p. 358. 368. Fisch.

περιστραφεὶς] Hæc est lectio Cod. Vind. 109. Ald. Bas. 1. 2. Steph. Sed Thom. Mag. in verbo Ἐπιστρέφομαι, et ex eo Phavorinus, legunt locum sic, ἐπιστραφεὶς δὲ Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου. Et mihi sane ob verbum sequens περιεσκόπουν lectio ἐπιστραφεὶς præferenda nuper videbatur vulgatæ, præsertim quum ἐπιστρέφεσθαι esset verbum hac in re proprium (v. Xenoph. Cyrop. vi. 4. 4. et Epictet. 7.) et in aliis quoque vocabulis præpositiones περὶ et ἐπὶ permutatas a librariis scirem; aut legendum στραφεὶς, ut Wolfius edidit, auctoritate libri scripti, quo Cornarius usus fuerat, vel potius ipsius Cornarii. Certe in Cod. Vindob. 21. diserte scriptum extat στραφεὶς. Etiam Abresch. ad Thom. Mag. p. 355. veram lectionem putabat esse ἐπιστραφεὶς, alteram περιστραφεὶς peperisse credebat verbum sequens περιεσκόπουν. Nos vero nunc aliter censemus. Nam quum περιστρέφεσθαι sit *se convertere, s. vertere, in omnes partes, huc et illuc circumferre corpus*, auctor dialogi verbo hoc non sine caussa usus videtur, quippe quod magis conveniret aviditati Socratis videndi et cognoscendi, unde vox illa lata esset, quam verba ἐπιστρέφεσθαι et στρέφεσθαι. Verte, *quæ unde lata esset, ut viderem, quum conversus in omnes partes, circumspicerem*—. Fisch.

Καλλιῤῥόην] Ita Cod. Vindob. 109. Bas. 1. 2. Perion. Wolf. In cæteris libris, ut Cod. Vindob. 21. Ald. Stephan. Cler. Hor. scribitur Καλλιρόην, simplici ρ, etiam apud Thucydidem ii. 15, Pausaniam, Hesychium, et alios, ab Meursio Ceram. gem. 14. laudatos: antiquo scilicet more scribendi, quo solebant litteras simplices pro duplicibus poni. V. ad Plat. Theæt. ii. 4. Sic apud Xen. Cyrop. vi. 1. 13. in Cod. Guelf. ἐρήθη scriptum est pro ἐῤῥήθη. Plura de diversa hujus vocabuli scriptura a Dorvillio disputantur ad Chariton. p. 184. Fisch.

αὐτῷ] αὐτῶν legitur in libris editis omnibus, et Codd. Vindob. Sed Cod. Medic. habet αὐτώ· ut Cornar. jam rescribi jusserat bene. Wolfio reponendum videbatur αὐτοῖν. Fisch.

ἑταιρείας] Wolfius habet ἑταιρίας· solenni hoc in genere scripturæ varietate: etsi Wolfium in notis video ἑταιρίαν hic distinguere ab ἑταιρείᾳ, ut Budæus Annotatt. in Pandectas t. ii. p. 12. Par. præcipit, ἑταιρίαν esse *amicitiam sodalitiam*, ἑταιρείαν *sodalitium, sodales*. Fisch.

Ω[i] Σώκρατες, ἔφη, νῦν ὁ[k] καιρὸς ἐνδείξασθαι τὴν ἀεὶ θρυλουμένην[l] πρὸς σοῦ σοφίαν. ὁ γὰρ[m] πατὴρ ἔκ τινος ὥρας

Ω.—[i] Ὦ add Φ.—[k] ὁ om V.—[l] θρυλουμένην ΑΘBCV et corr S: θρυλλουμένην *ς.—

§. 2. νῦν ὁ καιρὸς] Cod. Medic. νῦν καιρὸς, omisso articulo: ut apud Xenoph. Memor. iii. 5. 7. ὥρα ἂν εἴη λέγειν· Œcon. ii. 9. ἀλλ' ὥρα σοι προστατεύειν ἐμοῦ· et, qui loci huic magis similes sunt, Anab. iv. p. 309. Hutchins. νῦν οὖν μάλα σοι καιρός ἐστιν ἐπιδείξασθαι τὴν παιδείαν· et paulo post, ὥστε ὥρα καὶ σοὶ ἐπιδείκνυσθαι τὴν παιδείαν. Neque aliter Plato Phædon. 63. καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν. Nos vero retinuimus articulum, qui in omnibus libris editis, et in Codd. Vindobb. est, etiam propterea, quia, eo sublato, orationem videbamus fieri asperam, orique et auribus ingratam. Cæterum in Cod. Vindob. 109. legitur, Δεδακρυμένος δὲ Κλεινίας, ὦ Σώκρατες: recte, ut opinor. Fisch.

πρὸς σοῦ] Præpositione πρὸς opus hic non fuerit ad significandum, *sapientiam tuam quæ omnium hominum sermonibus celebratur*. Si autem reddatur, *sapientiam quæ de te celebratur*, (vel *vulgatur*) perinde reddetur hic locus ac si legeretur περὶ σοῦ non πρὸς σοῦ. Tertia lectio est ea quam habemus hic, qua significatur, *sapientiam quæ semper a te celebratur: sive sapientiam, quam tu semper celebras et in ore habes*. A qua lectione non video cur sit discedendum: quod si tamen ab ea discederetur, mallem πρὸς expungere quam in περὶ mutare. Steph.

πρὸς σοῦ] Wolfius Agricolam, Perionium, et Raianum, putabat legisse περὶ σοῦ· temere, etiam Stephano judice. Immo tribuerunt tantum particulæ πρὸς vim præpositionis περὶ, ut Pircamerus: sed contra usum loquendi auctoris dialogi, qui passivis præpositionem πρὸς, sequente casu secundo, ita addit, ut habeat vim præpositionis ὑπό. Vid. c. 3. et 21. Fisch.

ὥρας] Suspectus cuipiam esse possit genitivus ὥρας: quum pro χρόνου accipi non possit (ut accipiunt qui interpret. *ex aliquo jam tempore*) et alium satis aptum huic loco usum habere non videatur. Scio enim dici, ὥρας, id est *anni tempora* (sive *tempestates*) φέρειν νοσήματα, et talia esse quæ a Platone in 3. de Republ. vocantur ἐπέτεια: sed hic tamen ἔκ τινος ὥρας αἰφνιδίου non ausim interpretari, *ex quodam anni tempore repentino*, (vel, *ex quadam anni tempestate repentina*) accipiendo *tempestatem* simpliciter pro *tempore*. Quid si igitur μεταβολῆς deesse, et scribendum esse ἔκ τινος ὥρας μεταβολῆς αἰφνιδίου dicamus, ut de aëris mutatione repentina, quæ contingit in hoc vel illo anni tempore, intelligamus? Sic certe et ipse Hippocrates, αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα. Steph.

ὥρας] Wolfio suspectum videbatur. Ut nunc legitur locus, Horreus verba vertit, *ab hora fere repente*, ita ut adjectivum αἰφνιδίου positum sit pro adverbio αἰφνιδίως· ut Luc. xxi. 34. Hanc vero rationem, opinor, linguæ leges repudiant; nam αἰφνίδιος sic cohærere deberet cum verbis ἐξ ὥρας τινός; sed in illo loco Lucæ adjectivum αἰφνίδιος ad verbum ἐπιστῇ pertinet. Videndum igitur, annon rectius cum Cornario reddere possis simpliciter *derepente*, ita ut pro ὥρας reponatur συμφορᾶς, quod fieri potest, ut Wolfius quoque in mente habuerit, quia vertit, *inopinato quodam casu*, aut simile quid. Certe ὥρα αἰφνίδιος mihi non videtur sic dici posse. Stephani conjectura parum placet ob insolentiam et audaciam: nec interpretatio commoda est reique apta. Idem judicium faciendum videtur de conjectura Clotii, qui auctorem dialogi scripsisse putabat: ὁ γὰρ πατὴρ πρὸ ὥρας τοῦ βίου ἀδυνάτως ἔχει, καὶ πρὸς τῷ τέλει ἐστί. V. Acta Erudit. Lips. a. 1758. p. 595. Vocabula temporis non raro poni solent pro vocabulis rerum, quæ accidunt et eveniunt certo quodam tempore, ut apud Hebræos (vid. Obadi. v. 12.) ita etiam apud Græcos et Latinos, in partem fere malam. Sic ὥρα Marc. xiv. 35. et Joh. xii. 27. legitur de *incommodis atque nece*, Christo, optimo Servatori, paulo post afferenda. Suidas: Καιρός· καιροὺς ἡ γραφὴ καλεῖ συμφοράς. Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου. Posterior hic locus sumtus est e Gen. vi. 13. prior ille extat Ps. lxxx. 15. ad quem locum in exemplo Versionis Alex. Romano editum legitur hoc scholion, Καιρὸν τὰς συμφορὰς καλεῖ. Οὕτω γὰρ, καὶ Σύροι, καὶ Ἑβραῖοι, ταύτας εἰώθασιν ὀνομάζειν. Neque vero Latini aliter utun-

αἰφνιδίου ἀδυνάτως ἔχει καὶ πρὸς τῷ τέλει τοῦ βίου ἐστίν, ἀνιαρῶς τε φέρει τὴν τελευτήν, καί τοί γε τὸν πρόσθεν χρόνον διαχλευάζων τοὺς μορμολυττομένους τὸν θάνατον καὶ πράως ἐπιτωθάζων. ἀφικόμενος οὖν παρηγόρησον αὐτὸν ὡς εἴωθας, ὅπως ἀστενακτὶ[n] ἐς το χρεὼν ἴῃ, κἀμοὶ[o] σὺν τοῖς λοιποῖς ἵνα καὶ τοῦτο εὐσεβηθῇ. Ἀλλ' οὐκ ἀτυχήσεις μου, ὦ Κλεινία, οὐδενὸς τῶν μετρίων, καὶ ταῦτα ἐφ' ὅσια III. iii. 508.
παρακαλῶν. ἐπειγώμεθα δ'[p] οὖν· εἰ γὰρ οὕτως ἔχει, ὠκύτητος δεῖ.

ΚΛ. Ὀφθέντος σου μόνον, ὦ Σώκρατες, ῥαΐσει· καὶ γὰρ ἤδη πολλάκις αὐτῷ γέγονε συμπτώματος ἀνασφῆλαι.

§. 3. Ὡς δὲ θᾶττον τὴν[q] παρὰ τὸ τεῖχος ᾔειμεν ταῖς

[m] *γάρ μοι* V.—[n] *ἀστενακτεὶ* Z.—[o] libri *καί μοι*.—[p] *δ'* add ΑΦΖ.—[q] *τὴν* om Φ.—

ἣν ἀγαθοὶ] Cod. Aug. Vindob. et libri editi omnes, legunt ἥ ἀγαθοί εἰσιν. Miramur vero non parum, hanc lectionem nulli interpretum suspectam fuisse. Etenim etsi non negamus, eam per se quodammodo ferri posse: tamen reliqui horum dialogorum loci huic similes nos jubebant credere, legendum esse ἣν ἀγαθοί εἰσιν. Sic enim paulo post est, ἥνπερ οἱ σοφοὶ τέκτονες· c. 2. ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί· c. 5. ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφός· et Dial. ii. 18. ἣν—σοφοί εἰσιν. Neque ipse Plato loquitur aliter in Menone, ut c. 21. ταύτην τὴν ἀρετήν, ἣν αὐτοὶ ἀγαθοὶ ἦσαν—τὴν ἀρετήν, ἣν αὐτὸς ἀγαθὸς ἦν· Apol. 6. τῷ ὄντι γὰρ κινδυνεύω ταύτην (σοφίαν) εἶναι σοφός· et alibi. Fisch.

τί δαί] In dialogo 'de Virtute' maximam partem secutus sum recensionem Jo. Fr. Fischeri, abs quo nonnisi ibi recessi, ubi, quæ fuit ejus insignis perversitas, aperte falsa in textum admitteret, alia manifeste bona ejiceret, postremo ubi vocabulorum formas incautius mutaret, ut posuit ἴδομεν p. εἴδομεν, ἠβούλετο p. ἐβούλετο, et plurima ejusmodi, quæ piget annotare. Sic reduxi vetus τί δέ; Boeckh.

§. 2. ἀγαθοί τε] In Cod. Aug. deest τε. At etiam paulo post legitur σοφός τε καὶ ἀγαθός. Cic. Læl. 5. 'Negant enim, quenquam virum bonum esse, nisi sapientem.' Fisch.

Θεμιστοκλῆς] Themistocles, Aristides, et Pericles, conjunguntur etiam ab Æschine c. Timarch. t. ii. p. 20. Tayl. Et in margine Cod. Medic. nono plut. 85. adscripta extant verba hæc, Πατέρες· α' Θεμιστοκλῆς· β' Ἀριστείδης· γ' Περικλῆς· δ' Θουκυδίδης. Υἱοί. α' Κλεόφαντος· β' Λυσίμαχος· γ' Πάραλος καὶ Ξάνθιππος· δ' Μελησίας καὶ Στέφανος. Fisch.

Τάχα. Ἆρα ἵνα μὴ ἀντίτεχνοι αὐτοῖς γίγνοιντο, ὥς περ οἱ μάγειροί τε καὶ ἰατροὶ καὶ τέκτονες φθονοῦσιν;[k] οὐ γὰρ λυσιτελεῖ[l] αὐτοῖς πολλοὺς ἀντιτέχνους γίγνεσθαι οὐδὲ οἰκεῖν ἐν πολλοῖς αὐτοῖς[m] ὁμοίοις. ἆρ' οὖν οὕτω καὶ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς οὐ λυσιτελεῖ ἐν ὁμοίοις αὐτοῖς οἰκεῖν; Ἴσως. [§. 3.] Εἰσὶ δὲ οἱ αὐτοὶ οὐχὶ ἀγαθοί τε καὶ δίκαιοι; Ναί. Ἔστιν οὖν ὅτῳ λυσιτελεῖ μὴ ἐν ἀγαθοῖς οἰκεῖν ἀνδράσιν ἀλλ' ἐν κακοῖς;[n] Οὐκ ἔχω εἰπεῖν. Ἆρ' οὖν οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, πότερον ἔργον ἐστὶ τῶν μὲν ἀγαθῶν βλάπτειν, τῶν δὲ κακῶν ὠφελεῖν, ἢ τοὐναντίον; Τοὐναντίον.[o]
III. 377. Οἱ μὲν ἀγαθοὶ ἄρα ὠφελοῦσιν, οἱ δὲ κακοὶ βλάπτουσιν; Ναί. Ἔστιν οὖν ὅς τις βούλεται βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; Οὐ πάνυ. Οὐδεὶς[p] ἄρα βούλεται ἐν πονηροῖς οἰκεῖν μᾶλλον ἢ ἐν χρηστοῖς. Οὕτως. Οὐδεὶς ἄρα φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ,[q] ὥστε ἀγαθὸν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι. Οὔκουν φαίνεταί γε δὴ ἐκ τοῦ λόγου. [§. 4.] Ἀκήκοας οὖν ὅτι Θεμιστοκλεῖ Κλεόφαντος υἱὸς ἐγένετο; Ἀκήκοα. Οὐκοῦν δῆλον ὅτι οὐδὲ τῷ υἱεῖ ἐφθόνει ὡς βελτίστῳ γενέσθαι ὁ Θεμιστοκλῆς, ὅς γε ἄλλῳ οὐδενί, εἴ περ ἦν ἀγαθός; ἦν δέ, ὥς φαμεν. Ναί. Οἶσθα οὖν ὅτι Θεμιστοκλῆς τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο σοφὸν εἶναι καὶ ἀγαθόν· ἐπέβαινε γοῦν ἐπὶ τῶν ἵππων[r] ὀρθὸς ἑστηκώς,[s] καὶ

ΩBC.—[k] φρονοῦσιν s.—[l] λυσιτελεῖν Z.—[m] αὐτοῖς om Z.—[n] ἀλλ' ἐν κακοῖς om Z.—[o] alterum τοὐναντίον om Z.—[p] οὐδεὶς...οὕτως om Z.—[q] ἄλλῳ Ξs: ceteri ἀλλ'.—[r] τῶν ἵππων ΑΘΥΩBC, τὸν ἵππων Z: τὸν ἵππον °s.—[s] ἑστηκὼς...ὀρθὸς om Z.—

φρονοῦσιν] Scribendum est potius φθονοῦσιν; id est, *invident?* Steph.

φθονοῦσιν] Ald. Bas. 1. φρονοῦσιν φθονοῦσιν, Cod. Aug. Vindob. et Bas. 2. Auctor dialogi respexisse videtur ad Hesiod. (Ἔργ. 25.) Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων, Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ· qui versiculi laudati leguntur ab Aristotele Rhetor. ii. 4. 26. Dione Chrysost. Orat. lxxvii. p. 650. Themistio Orat. i. p. 30. Fisch.

§. 3. ἀλλ' ἐν κακοῖς] In Cod. Aug. hæc verba desunt quæ tamen abesse per seriem disputationis Socratis non possunt. Eandem quæstionem Socrates attingit apud Platon. Apol. 13. Fisch.

λόγου] In Cod. Aug. post λόγου additum legitur τούτου. Fisch.

§. 4. Θεμιστοκλῆς] Cod. Aug. ὁ Θεμιστοκλῆς: bene, ut paulo ante. At in Platonis quoque libris, Menon. c. 21. e quo loco petiit auctor dialogi ista verba, articulus deest. Fisch.

ἐπέβαινε] Horreus putabat restituendum, præeunte Platonis Menon. c. 21. ἐπέμενε. Ἐπέμονε quidem Ald. et Bas. 1. Ἐπέμενε diserte Bas. 2. Car. Segarus in Epist. Crit. ad Valckenarium (Traj. ad Rhen. a. 1766. 8.) p. 20. Horrei rationem non probabat: vertit, *ascendebat in equum, et rectus in eo stabat.* Fisch.

τὸν ἵππον] Cod. Aug. τῶν ἵππων.

ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθός, καὶ ἄλλα πολλὰ καὶ θαυμάσια[t] εἰργάζετο· καὶ ἄλλα πολλὰ ἐδίδαξε καὶ ἐποίησε σοφόν, ὅσα διδασκάλων ἀγαθῶν εἴχετο. ἢ ταῦτα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων; Ἀκήκοα. Οὐκ ἄρα τὴν φύσιν γέ τις τοῦ υἱοῦ αὐτοῦ αἰτιάσαιτ' ἂν κακὴν εἶναι. Οὐκ ἂν οὖν δικαίως γε ἐξ ὧν σὺ λέγεις. [§. 5.] Τί δὲ τόδε;[u] ὡς Κλεόφαντος ὁ Θεμιστοκλέους υἱὸς ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο, ἅ περ ὁ πατὴρ αὐτοῦ ἦν σοφός, ἤδη τοῦτο ἤκουσας ἢ νεωτέρου ἢ πρεσβυτέρου; Οὐκ ἤκουσα. Ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν ἑαυτοῦ υἱὸν παιδεῦσαι, ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφός, μηδὲν βελτίω αὐτὸν ποιῆσαι τῶν γειτόνων μηδενός, εἴ περ διδακτὸν ἦν ἡ ἀρετή; Οὔκουν εἰκός γε. [§. 6.] Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν ὑπεῖπες· ἄλλον δὲ δὴ σκεψώμεθα, Ἀριστείδην, III. iii. 524.

[t] καὶ θαυμάσια...πολλὰ om Θ.—[u] τί δὲ τόδε ΘΣΥΒC, τί δαὶ τόδε ΑΩΖ: τὸ δὲ Ξς.—

Apud Xen. Cyrop. iii. 3. 14. ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι· ubi ἐφ' ἵππον Cod. Guelf. et libri quibus Philelphus usus est. Similis locus est apud Joseph. Archæol. viii. 8. p. 240. Bas. ἐπιβὰς εὐθὺς ἐπὶ ἅρματος ἔφυγε. Neque tamen me fugit, etiam diligentissimos scriptores fuisse hoc in genere interdum inconstantes: ut Xen. Cyrop. iv. 1. 3. ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε. Vir doctus Observat. Miscell. v. ii. p. 164. recte tuetur lectionem ἐπέβαινε (tamen male interpretatur hoc verbum per *insidere*, *vehi*) atque adeo legendum contendit ἐπὶ τῶν ἵππων. Cf. Herodot. ii. 107. τοὺς δ' ἐπ' ἐκείνων ἐπιβαίνοντας· viii. 118. αὐτὸς δ' ἐπὶ νηὸς Φοινίσσης ἐπιβάς· viii. 120. ἐπιβῆναι ἐπὶ νῆα, ut iv. 22. ἐπιβὰς ἐπὶ τὸν ἵππον. Hom. Il. K. 513. 529. ἵππων ἐπεβήσατο. Fisch.

ἐπὶ τῶν ἵππων] Ita scripsi ex Cod. Aug. et Plat. Menon. p. 93. D. ἐπέμενε γοῦν ἐπὶ τῶν ἵππων, ut Xenoph. Cyrop. iii. 3. 27. est ἀναβάντας ἐφ' ἵππων, obtemperans in hac re viro docto in Obs. Misc. v. ii. p. 154. Boeckh.

§. 5. τὸ δὲ] Cod. Medic. τί δέ, τὸ δέ. Cod. Aug. τί δέ. τόδε. ὡς. Cod. Vindob. τί δὲ τὸ δέ. Scilicet legi debet τί δὲ τόδε; ut legitur in Menone Platonis c. 21. Fisch.

τόδε] Addidi illud ex Menone et Codd. Aug. Medic. Vindob. Boeckh.

§. 6. ὑπεῖπες] Si lectio sana est, de quo dubitari non potest: verbum ὑπειπεῖν non aliter, credo, explicari licet, quam explicavit illud Clericus, nempe sic, *hic igitur, cujus tu nomen, a me interrogatus, quinam Atheniensium boni fuissent, subjecisti*, s. *quem tu—nominasti* (c. 2.) *talis fuit virtutis magister*, h. e. *nullus*. Quæ quidem interpretatio, et lectio, adjuvari posse videtur verbis Socratis apud Platonem (Menon. c. 21.) his, ὃν καὶ σὺ ὁμολογεῖς ἐν τοῖς ἀρίστοις τῶν προτέρων εἶναι· pro quibus auctorem dialogi substituisse, more suo, verba ὃν ὑπεῖπες, quis non intelligit? Nam posset etiam legendum videri, οἷον ὑπεῖπες, ut verba hæc cohærerent cum pronomine τοιοῦτος, hoc modo, *hic igitur fuit talis virtutis magister, qualem tu eum fuisse quodammodo dedisti*, h. e. *nullus*: nam dedit is, quocum disputat Socrates, Themistoclem non potuisse tradere Cleophanto filio virtutem, neque adeo fuisse virtutis magistrum. Vero ὑπειπεῖν est aut *obscure* et tecte, non plane et aperte, *dicere*, *significare*, ut apud Aristoph. Plut. 998. aut *dicere*, *ostendere*: ut ὑποδείκνυσθαι Eryx. 13. est *ostendere*: quod Clericus negavit perperam, ut jam Hemsterh. ad Aristoph. Plut. p. 348. animadvertit, et ante eum vir doctus hist. Crit. reip. litterariæ vet. et recent. t. viii. p. 163. Præpositionem ὑπὸ in ullis verbis compositis habere vim præpositionis πρό. V. Ammon. Tho. Mag.

Τάχα. Ἆρα ἵνα μὴ ἀντίτεχνοι αὐτοῖς γίγνοιντο, ὥς περ οἱ μάγειροί τε καὶ ἰατροὶ καὶ τέκτονες φθονοῦσιν;[k] οὐ γὰρ λυσιτελεῖ[l] αὐτοῖς πολλοὺς ἀντιτέχνους γίγνεσθαι οὐδὲ οἰκεῖν ἐν πολλοῖς αὐτοῖς[m] ὁμοίοις. ἆρ' οὖν οὕτω καὶ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς οὐ λυσιτελεῖ ἐν ὁμοίοις αὐτοῖς οἰκεῖν; Ἴσως. [§. 3.] Εἰσὶ δὲ οἱ αὐτοὶ οὐχὶ ἀγαθοί τε καὶ δίκαιοι; Ναί. Ἔστιν οὖν ὅτῳ λυσιτελεῖ μὴ ἐν ἀγαθοῖς οἰκεῖν ἀνδράσιν ἀλλ' ἐν κακοῖς;[n] Οὐκ ἔχω εἰπεῖν. Ἆρ' οὖν οὐδὲ τοῦτ' ἔχεις εἰπεῖν, πότερον ἔργον ἐστὶ τῶν μὲν ἀγαθῶν βλάπτειν, τῶν δὲ κακῶν ὠφελεῖν, ἢ τοὐναντίον; Τοὐναντίον.[o]
III. 377. Οἱ μὲν ἀγαθοὶ ἄρα ὠφελοῦσιν, οἱ δὲ κακοὶ βλάπτουσιν; Ναί. Ἔστιν οὖν ὅς τις βούλεται βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; Οὐ πάνυ. Οὐδεὶς[p] ἄρα βούλεται ἐν πονηροῖς οἰκεῖν μᾶλλον ἢ ἐν χρηστοῖς. Οὕτως. Οὐδεὶς ἄρα φθονεῖ τῶν ἀγαθῶν ἀνδρῶν ἄλλῳ,[q] ὥστε ἀγαθὸν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαι. Οὔκουν φαίνεταί γε δὴ ἐκ τοῦ λόγου. [§. 4.] Ἀκήκοας οὖν ὅτι Θεμιστοκλεῖ Κλεόφαντος υἱὸς ἐγένετο; Ἀκήκοα. Οὐκοῦν δῆλον ὅτι οὐδὲ τῷ υἱεῖ ἐφθόνει ὡς βελτίστῳ γενέσθαι ὁ Θεμιστοκλῆς, ὅς γε ἄλλῳ οὐδενί, εἴ περ ἦν ἀγαθός; ἦν δέ, ὡς φαμέν. Ναί. Οἶσθα οὖν ὅτι Θεμιστοκλῆς τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο σοφὸν εἶναι καὶ ἀγαθόν· ἐπέβαινε γοῦν ἐπὶ τῶν ἵππων[r] ὀρθὸς ἑστηκώς,[s] καὶ

ΩBC.—[k] φρονοῦσιν s.—[l] λυσιτελεῖν Z.—[m] αὐτοῖς om Z.—[n] ἀλλ' ἐν κακοῖς om Z.—[o] alterum τοὐναντίον om Z.—[p] οὐδεὶς...οὕτως om Z.—[q] ἄλλῳ Ξs : ceteri ἀλλ'.—[r] τῶν ἵππων ΑΘΥΩBC, τὸν ἵππων Z : τὸν ἵππον *s.—[s] ἑστηκὼς...ὀρθὸς om Z.—

φρονοῦσιν] Scribendum est potius φθονοῦσιν; id est, *invident?* Steph.

φθονοῦσιν] Ald. Bas. 1. φρονοῦσιν· φθονοῦσιν, Cod. Aug. Vindob. et Bas. 2. Auctor dialogi respexisse videtur ad Hesiod. (Ἐργ. 25.) Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων, Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ· qui versiculi laudati leguntur ab Aristotele Rhetor. ii. 4. 26. Dione Chrysost. Orat. lxxvii. p. 650. Themistio Orat. i. p. 30. Fisch.

§. 3. ἀλλ' ἐν κακοῖς] In Cod. Aug. hæc verba desunt quæ tamen abesse per seriem disputationis Socratis non possunt. Eandem quæstionem Socrates attingit apud Platon. Apol. 13. Fisch.

λόγου] In Cod. Aug. post λόγου additum legitur τούτου. Fisch.

§. 4. Θεμιστοκλῆς] Cod. Aug. ὁ Θεμιστοκλῆς: bene, ut paulo ante. At in Platonis quoque libris, Menon. c. 21. e quo loco petiit auctor dialogi ista verba, articulus deest. Fisch.

ἐπέβαινε] Horreus putabat restituendum, præeunte Platonis Menon. c. 21. ἐπέμενε. Ἐπέμονε quidem Ald. et Bas. 1. Ἐπέμενε diserte Bas. 2. Car. Segarus in Epist. Crit. ad Valckenarium (Traj. ad Rhen. a. 1766. 8.) p. 20. Horrei rationem non probabat: vertit, *uscendebat in equum, et rectus in eo stabat.* Fisch.

τὸν ἵππον] Cod. Aug. τῶν ἵππων.

ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθός, καὶ ἄλλα πολλὰ καὶ θαυμάσια[t] εἰργάζετο· καὶ ἄλλα πολλὰ ἐδίδαξε καὶ ἐποίησε σοφόν, ὅσα διδασκάλων ἀγαθῶν εἴχετο. ἢ ταῦτα οὐκ ἀκή- III. iii. 524.
κοας τῶν πρεσβυτέρων; Ἀκήκοα. Οὐκ ἄρα τὴν φύσιν γέ τις τοῦ υἱοῦ αὐτοῦ αἰτιάσαιτ' ἂν κακὴν εἶναι. Οὐκ ἂν οὖν δικαίως γε ἐξ ὧν σὺ λέγεις. [§. 5.] Τί δὲ τόδε;[u] ὡς Κλεόφαντος ὁ Θεμιστοκλέους υἱὸς ἀνὴρ ἀγαθὸς καὶ σοφὸς ἐγένετο, ἅ περ ὁ πατὴρ αὐτοῦ ἦν σοφός, ἤδη τοῦτο ἤκουσας ἢ νεωτέρου ἢ πρεσβυτέρου; Οὐκ ἤκουσα. Ἆρ' οὖν ταῦτα μὲν οἰόμεθα βούλεσθαι αὐτὸν τὸν ἑαυτοῦ υἱὸν παιδεῦσαι, ἣν δὲ αὐτὸς σοφίαν ἦν σοφός, μηδὲν βελτίω αὐτὸν ποιῆσαι τῶν γειτόνων μηδενός, εἴ περ διδακτὸν ἦν ἡ ἀρετή; Οὔκουν εἰκός γε. [§. 6.] Οὗτος μὲν δή σοι τοιοῦτος διδάσκαλος ἀρετῆς, ὃν ὑπεῖπες· ἄλλον δὲ δὴ σκεψώμεθα, Ἀριστείδην,

[t] *καὶ θαυμάσια...πολλὰ* om Θ.—[u] *τί δὲ τόδε* ΘΣΥBC, *τί δαὶ τόδε* ΛΩΖ : *τὸ δὲ* Ξr.—

Apud Xen. Cyrop. iii. 3. 14. *ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι·* ubi *ἐφ' ἵππον* Cod. Guelf. et libri quibus Philelphus usus est. Similis locus est apud Joseph. Archæol. viii. 8. p. 246. Bas. *ἐπιβὰς εὐθὺς ἐπὶ ἅρματος ἔφυγε.* Neque tamen me fugit, etiam diligentissimos scriptores fuisse hoc in genere interdum inconstantes: ut Xen. Cyrop. iv. 1. 8. *ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλαυνε.* Vir doctus Observat. Miscell. v. ii. p. 164. recte tuetur lectionem *ἐπέβαινε* (tamen male interpretatur hoc verbum per *insidere, vehi*) atque adeo legendum contendit *ἐπὶ τῶν ἵππων.* Cf. Herodot. ii. 107. *τοὺς δ' ἐπ' ἐκείνων ἐπιβαίνοντας·* viii. 118. *αὐτὸς δ' ἐπὶ νηὸς Φοινίσσης ἐπιβάς·* viii. 120. *ἐπιβῆναι ἐπὶ νῆα,* ut iv. 22. *ἐπιβὰς ἐπὶ τὸν ἵππον.* Hom. Il. K. 513. 529. *ἵππων ἐπεβήσατο.* Fisch.

ἐπὶ τῶν ἵππων] Ita scripsi ex Cod. Aug. et Plat. Menon. p. 93. D. *ἐπέμενε γοῦν ἐπὶ τῶν ἵππων,* ut Xenoph. Cyrop. iii. 3. 27. est *ἀναβάντας ἐφ' ἵππων,* obtemperans in hac re viro docto in Obs. Misc. v. ii. p. 154. Boeckh.

§. 5. *τὸ δὲ*] Cod. Medic. *τί δὲ, τὸ δέ.* Cod. Aug. *τί δέ. τόδε. ὡς.* Cod. Vindob. *τί δὲ τὸ δέ.* Scilicet legi debet *τί δὲ τόδε*; ut legitur in Menone Platonis c. 21. Fisch.

τόδε] Addidi illud ex Menone et Codd. Aug. Medic. Vindob. Boeckh.

§. 6. *ὑπεῖπες*] Si lectio sana est, de quo dubitari non potest: verbum *ὑπειπεῖν* non aliter, credo, explicari licet, quam explicavit illud Clericus, nempe sic, *hic igitur, cujus tu nomen, a me interrogatus, quinam Atheniensium boni fuissent, subjecisti,* s. *quem tu—nominasti* (c. 2.) *talis fuit virtutis magister,* h. e. *nullus.* Quæ quidem interpretatio, et lectio, adjuvari posse videtur verbis Socratis apud Platonem (Menon. c. 21.) his, *ὃν καὶ σὺ ὁμολογεῖς ἐν τοῖς ἀρίστοις τῶν προτέρων εἶναι·* pro quibus auctorem dialogi substituisse, more suo, verba *ὃν ὑπεῖπες*, quis non intelligit? Nam posset etiam legendum videri, *οἷον ὑπεῖπες*, ut verba hæc cohærerent cum pronomine *τοιοῦτος*, hoc modo, *hic igitur fuit talis virtutis magister, qualem tu eum fuisse quodammodo dedisti,* h. e. *nullus:* nam dedit is, quocum disputat Socrates, Themistoclem non potuisse tradere Cleophanto filio virtutem, neque adeo fuisse virtutis magistrum. Vero *ὑπειπεῖν* est aut *obscure* et tecte, non plane et aperte, *dicere, significare,* ut apud Aristoph. Plut. 998. aut *dicere, ostendere:* ut *ὑποδείκνυσθαι* Eryx. 18. est *ostendere:* quod Clericus negavit perperam, ut jam Hemsterh. ad Aristoph. Plut. p. 348. animadvertit, et ante eum vir doctus hist. Crit. reip. litterariæ vet. et recent. t. viii. p. 163. Præpositionem *ὑπὸ* in ullis verbis compositis habere vim præpositionis *πρό.* V. Ammon. Tho. Mag.

ὃς ἔθρεψε μὲν τὸν Λυσίμαχον, ἐπαίδευσε δὲ κάλλιστα Ἀθηναίων, ὅσα διδασκάλων εἴχετο, ἄνδρα δὲ οὐδενὸς βελτίω ἐποίησε· τοῦτον γὰρ καὶ σὺ καὶ ἐγὼ εἴδομεν καὶ συνεγενόμεθα. Ναί. [§. 7.] Οἶσθα οὖν ὅτι Περικλῆς αὖ ἔθρεψεν υἱεῖς[v] Πάραλον καὶ Ξάνθιππον, ὧν καὶ σύ μοι δοκεῖς τοῦ ἑτέρου ἐρασθῆναι. τούτους μέντοι, ὡς[w] καὶ σὺ οἶσθα, ἱππέας μὲν ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων, καὶ μουσικὴν καὶ τὴν ἄλλην ἀγωνίαν καὶ τἆλλα ἐπαίδευσεν, ὅσα τέχνῃ διδάσκονται, οὐδενὸς χείρους· ἀγαθοὺς δὲ ἄρα ἄνδρας οὐκ ἐβούλετο ποιῆσαι; Ἀλλ' ἴσως ἂν ἐγένοντο,[x] ὦ Σώκρατες, εἰ μὴ νέοι ὄντες ἐτελεύτησαν. Σὺ μὲν εἰκότως βοηθεῖς τοῖς παιδικοῖς, Περικλῆς δὲ ἐκείνους, εἴ περ διδακτὸν ἦν ἀρετὴ[y] καὶ οἷός τ' ἦν ἀγαθοὺς ποιῆσαι, πολὺ πρότερον ἂν τὴν αὑτοῦ ἀρετὴν σοφοὺς ἐποίησεν ἢ μουσικὴν
III. 378. καὶ[z] ἀγωνίαν. [§. 8.] Ἀλλὰ μὴ οὐκ ᾖ διδακτόν, ἐπεὶ Θουκυδίδης αὖ δύο υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον, ὑπὲρ ὧν σὺ οὐκ ἂν ἔχοις εἰπεῖν, ἅ περ ὑπὲρ τῶν Περικλέους υἱῶν· τούτων γὰρ δὴ καὶ σὺ οἶσθα τόν γ' ἕτερον μέχρι γήρως βιοῦντα, τὸν δ' ἕτερον πόῤῥω πάνυ. καὶ μὴν καὶ τού-

[v] υἱεῖς om Ξr.—[w] ὡς om pr Ω.—[x] ἐγένετο Θ.—[y] ἡ ἀρετὴ ΞΣr.—[z] καὶ om Z.—

et Phavorin. v. ὑπάγειν, Suid. v. ὑπείπομεν, et Abresch. Auctar. Thucyd. p. 398. Fisch.

§. 7. ἔθρεψε] In Bas. 2. ἔθρεψεν υἱεῖς τὴν (lege τὸν) Πάραλον καὶ Ξάνθιππον. Cod. Medic. ἔθρεψε υἱεῖς Πάραλον καὶ Ξάνθιππον, ut in Cod. Aug. ἔθρεψεν υἱεῖς Πάραλόν τε καὶ Ξάνθιππον, similiter c. 8. υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον· quæ ipsa verba docent, articulum τὸν deleri debere. Sed ut, quod sentio, dicam, υἱεῖς migrasse huc e libris Platonis (Menon. c. 22.) videtur. Fisch.

διδάσκεται] In libris nostris omnibus legitur διδάσκονται. At vero ex iis, quæ ad Plat. Phædon. xix. 16. disputavimus, satis intelligitur, Atticam consuetudinem rescribi jubere διδάσκεται. Librarii innumeris in locis singularem numerum mutarunt hoc in genere in pluralem: ut apud Xen. Cyrop. v. 4. 4. Cod. Guelf. habet ἡλίσκοντο pro ἡλίσκετο, sed in eodem Cod. et Altorp. vi. 2. 11. ἤρτηται legitur pro ἤρτηνται. Eandem ob caussam apud Xen. Cyrop. vii. 1. 1. legendum videtur διέφερε τὰ Κύρου ὅπλα pro διέφερον, quæ est librorum omnium, etiam Cod. Alt. scriptura. Fisch.

ἐβούλετο] Forma est imperfecti communis: sponte restituimus ἠβούλετο, formam Atticam: v. Mœris v. ἤμελλον, et Stœber. ad Tho. Mag. p. 258. in Cyrop. i. 4. 28. God. Guelferb. bene ἠβούλου pro ἐβούλου. Fisch.

σοφοὺς ἐποίησεν] At in Protagora Plato Socratem facit istam Periclis patris illo in genere negligentiam libere et ita accusantem, p. 223. C. Ἐπεὶ Περικλῆς, ὁ τουτωνὶ τῶν νεανίσκων πατήρ, τούτους, ἃ μὲν διδασκάλων εἴχετο, καλῶς καὶ εὖ ἐπαίδευσεν· ἃ δὲ αὐτὸς σοφός ἐστιν, οὔτε αὐτὸς παιδεύει, οὔτε τῳ ἄλλῳ παραδίδωσιν· ἀλλ' αὐτοὶ περιϊόντες νέμονται, ὥσπερ ἄφετοι, ἐάν που αὐτόματοι περιτύχωσι τῇ ἀρετῇ. Fisch.

§. 8. δύο υἱεῖς] Cod. Aug. δύο αὖ υἱεῖς: non male. Alter vero verborum ordo etiam in libris Platonis est Menon. c. 22. Fisch.

τούτω] Ita edidimus e Cod. Aug. et

τω[a] ὁ πατὴρ ἐπαίδευσε τά τε ἄλλα εὖ καὶ ἐπάλαισαν κάλλιστα Ἀθηναίων· τὸν μὲν γὰρ Ξανθίᾳ[b] ἔδωκε, τὸν δὲ Εὐδώρῳ, οὗτοι δέ που ἐδόκουν κάλλιστα τῶν τότε παλαίειν. III. iii. 525. Ναί. [§. 9.] Οὐκοῦν δῆλον ὅτι οὗτος οὐκ ἄν ποτε οἷ μὲν ἔδει δαπανώμενον διδάσκειν, ταῦτα μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς ἑαυτοῦ, οἷ[c] δ' οὐδὲν ἔδει ἀναλώσαντα ἀγαθοὺς ἄνδρας ποιῆσαι, τοῦτο δὲ οὐκ ἂν ἐδίδαξεν, εἰ διδακτὸν ἦν; Εἰκός γε. Ἀλλὰ γὰρ ἴσως ὁ Θουκυδίδης φαῦλος ἦν, καὶ οὐχὶ ἦσαν αὐτῷ πλεῖστοι φίλοι Ἀθηναίων καὶ τῶν συμμάχων. καὶ οἰκίας ἦν μεγάλης καὶ ἐδύνατο μέγα[d] ἐν τῇ πόλει καὶ ἐν τοῖς ἄλλοις Ἕλλησιν, ὥστ' εἴ περ ἦν τοῦτο διδακτόν, ἐξεῦρεν ἂν ὅς τις αὐτοῦ[e] ἔμελλε τοὺς υἱεῖς ἀγαθοὺς ποιήσειν ἢ τῶν ἐπιχωρίων ἢ τῶν ξένων, εἰ αὐτὸς μὴ ἐσχόλαζε διὰ τὴν τῆς πόλεως ἐπιμέλειαν. ἀλλὰ γάρ, ὦ ἑταῖρε, μὴ οὐκ ᾖ διδακτὸν ἡ ἀρετή. Οὔκ, ἴσως. [§. 10.] Ἀλλὰ δὴ εἰ μὴ διδακτόν ἐστιν, ἆρα φύσει φύονται οἱ ἀγαθοί; καὶ τοῦτο τῇδέ πη σκοποῦντες ἴσως ἂν εὕροιμεν. φέρε γάρ· εἰσὶν ἡμῖν[f] φύσεις ἵππων ἀγαθῶν; Εἰσίν. Οὐκοῦν εἰσί τινες ἄνθρωποι τέχνην ἔχοντες ᾗ τὰς τῶν ἵππων τῶν ἀγαθῶν φύσεις γιγνώσκουσι, καὶ κατὰ τὸ σῶμα πρὸς δρόμον καὶ κατὰ τὴν ψυχήν, οἵ τινές τε θυμοειδεῖς καὶ ἄθυμοι; Ναί. Τίς[g] οὖν αὕτη ἡ τέχνη ἐστί; τί ὄνομα αὐτῇ; Ἱππική. Οὐκοῦν καὶ[h] περὶ τοὺς κύνας ὡσαύτως ἔστι τις τέχνη ᾗ τὰς ἀγαθὰς καὶ τὰς κακὰς φύσεις τῶν κυνῶν διακρίνουσιν; Ἔστιν. Τίς αὕτη; Ἡ κυνηγετική. Ἀλλὰ μὴν καὶ

[a] τούτων ς.—[b] ξανθίᾳ om ΣΥ.—[c] ὅπου Θ cum mg BC.—[d] μέγας Z.—[e] αὐτῷ ΞΣς.—[f] ἡμῖν om pr Ξ.—[g] τί Z.—[h] καὶ om Z.—[i] τε καὶ χρησταὶ Θ.—[k] ἔσεσθαι om ΘΥ

Vindob. pro τούτων. Apud Plat. Menon. c. 22. est simpliciter, καὶ τούτους ἐπαίδευσε. Fisch.

Εὐδώρῳ] Ab Plinio H. N. xxxv. 11. t. iii. p. 602. Gron. commemoratur Eudorus pictor, ut dubitari non possit, quin vocabulum magistri luctandi, qui hic laudatur a Socrate, apud Platonem in Menone (c. 22.) male scribatur Εὔδωρος. Fisch.

§. 9. μέγα] Cod. Aug. μεγάλα: bene. At etiam in Menon. c. 22. est singularis, et Lysias Ἀπολ. καταλύσ. δήμου p. 212. Tayl. min. dixit μέγα δύνασθαι ἐν τῇ πόλει. Fisch.

ἐξεῦρεν] Bas. 2. ἐξευρεῖν. Fisch.

§. 10. οἵτινές τε] Legendum videtur οἵτινες θυμοειδεῖς τε, aut dicendum, post καί, ante ἄθυμοι, repeti debere pronomen οἵτινες. Fisch.

ἐστι τί] Sermonis usu flagitante interpunxi: τίς οὖν αὕτη ἡ τέχνη ἐστί; τί ὄνομα αὐτῇ; Boeckh.

περὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον εἰσὶν ἡμῖν δοκιμασταί, οἵτινες ὁρῶντες κρίνουσι τό τε βέλτιον καὶ τὸ χεῖρον; Εἰσίν. Τίνας οὖν τούτους καλεῖς; Ἀργυρογνώμονας. [§. 11.] Καὶ μὴν οἱ παιδοτρίβαι γιγνώσκουσι σκοπούμενοι τὰς φύσεις τὰς τῶν σωμάτων τῶν ἀνθρώπων, ὁποῖαί τε χρησταὶ καὶ[i] ὁποῖαι μὴ πρὸς ἑκάστους τῶν πόνων, καὶ τῶν πρεσβυτέρων καὶ νέων, ὅσα μέλλει τῶν σωμάτων ἄξια λόγου ἔσεσθαι[k] καὶ ἐν οἷς ἐλπίς ἐστι[l] πολλὴ τὰ ἔργα, ὅσα σώματος
III. iii. 526. ἔχεται, εὖ ἀπεργάσασθαι.[m] Ἔστι ταῦτα. [§. 12.]
Πότερον οὖν σπουδαιότερόν ἐστι ταῖς πόλεσιν ἵπποι καὶ κύνες ἀγαθοὶ καὶ τἄλλα τὰ τοιαῦτα, ἢ ἄνδρες ἀγαθοί; Ἄνδρες
III. 379. ἀγαθοί. Τί οὖν; οἴει ἄν, εἴ περ ἦσαν φύσεις ἀγαθαὶ πρὸς ἀρετὴν[n] ἀνθρώπων, οὐκ ἂν πάντα μεμηχανῆσθαι τοὺς ἀνθρώπους ὥστε διαγιγνώσκειν αὐτάς; Εἰκός γε.[o] Ἔχεις οὖν τινὰ εἰπεῖν τέχνην ἥ τίς ἐστιν ἐπὶ ταῖς φύσεσι ταῖς τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἀποδεδειγμένη, ὥστε δύνασθαι αὐτὰς κρίνειν; Οὐκ ἔχω. Καὶ μὲν δὴ πλείστου ἂν ἦν ἀξία καὶ οἱ ἔχοντες αὐτήν· οὗτοι γὰρ ἂν ἡμῖν ἀπέφαινον[p] τῶν νέων τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι ἔτι παῖδας ὄντας, οὓς ἂν[q] ἡμεῖς παραλαβόντες ἐφυλάττομεν ἐν ἀκροπόλει δημοσίᾳ, ὥς περ τὸ ἀργύριον, καὶ μᾶλλόν τι, ἵνα μή τι φλαῦρον

BC.—[l] ἐλπίς ἐστι ΑΩΖ : ἔστιν ἐλπὶς *ς.—[m] ἀπεργάσεσθαι Ξ.—[n] ἀγαθῶν (adscripto in mg ἀρετὴν) Ζ.—[o] γε om pr Ξ.—[p] ἀπεφαίνοντο Ω, ἀποφαίνοντο Ζ.—[q] ἂν om Ζ.

τὸ χρυσίον] Cod. Aug. περὶ τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου. Quæ quidem lectio temere rejici non debet. Plato Apol. 12. ἦ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν—. Οὐχ οὕτως ἔχει, ὦ Μέλιτε, καὶ περὶ ἵππων: v. omnino Abreschius Auctar. Thucyd. p. 387. Fisch.

ἀπεργάσεσθαι] Ita rescribere ausi sumus pro ἀπεργάσασθαι, quæ est librorum editorum omnium, etiam Cod. Aug. et Vindob. lectio. Similiter apud Xen. Cyrop. i. 5. 7. recte legitur in libris editis antiquis, ἐλπίζοντες—διαπράξεσθαι· sed Cod. Brem. et Guelf. habent διαπράξασθαι, ita tamen, ut aliæ manus revocarint in utroque libro futurum. Alia hujus peccati exempla sunt apud Plat. Phædon. xlvi. 14. Fisch.

§. 12. καὶ τἄλλα] Cod. Med. τά τε ἄλλα τὰ τοιαῦτα: non male. Fisch.

καὶ μὴν δὴ] In omnibus libris nostris legitur μὲν pro μήν. Apud Plat. Parmenid. 25. pro ἀλλὰ μὲν legendum esse conjecimus ἀλλὰ μήν, ut diserte scriptum est in Cod. Tub. Conf. Ernest. ad Xen. Mem. ii. 7. 1. Fisch.

ἀπέφαινον] Cod. Aug. ἀποφαίνοντο· Bas. 2. ἀπεφαίνοντο. Quanquam non nescio, ἀποφαίνειν interdum pro ἀποφαίνεσθαι dici, ut apud Xen. Mem. i. 7. 4. tamen non memini, medium uspiam pro activo legi. Etiam in Menone Platonis c. 18. est, ἐκείνων ἀποφηνάντων. In aliis quoque locis, medium ἀποφαίνεσθαι pro activo ἀποφαίνειν a librariis substitutum invenitur: ut apud Plat. Parmenid. 3. pro ἀπέφαινεν ἀνόμοια Cod. Tub. ἀπεφαίνετο ἀνόμοια. Fisch.

ἡμῖν πάθοιεν μήτε ἐν μάχῃ μήτε ἐν ἄλλῳ μηδενὶ κινδύνῳ, ἀλλ' ἀπέκειντο[r] τῇ πόλει σωτῆρές τε καὶ εὐεργέται, ἐπειδή γε[s] εἰς τὴν ἡλικίαν ἀφίκοντο.[t] ἀλλὰ γὰρ[u] κινδυνεύει οὔτε φύσει οὔτε μαθήσει ἡ ἀρετὴ τοῖς ἀνθρώποις παραγίγνεσθαι. [§. 13.] Πῶς οὖν ἂν ὦ Σώκρατές σοι δοκοῦσι γίγνεσθαι, εἰ μήτε φύσει μήτε μαθήσει γίγνονται; τίν' ἄλλον τρόπον γίγνοιντ' ἂν οἱ ἀγαθοί; Οἶμαι μὲν οὐκ ἂν ῥᾳδίως αὐτὸ δηλωθῆναι, τοπάζω μὲν δὴ[v] θεῖόν τι μάλιστα εἶναι τὸ κτῆμα καὶ γίγνεσθαι τοὺς ἀγαθοὺς ὥς περ οἱ[w] θεῖοι τῶν μάντεων καὶ οἱ[x] χρησμολόγοι. οὗτοι γὰρ[y] οὔτε φύσει τοιοῦτοι γίγνονται οὔτε τέχνῃ, ἀλλ' ἐπιπνοίᾳ ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦτοί εἰσιν. οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς πόλεσιν ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι ἐκ θεοῦ ἐπιπνοίας πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ οἱ χρησμῳδοί. λέγουσι δέ[z] που καὶ αἱ γυναῖκες ὅτι Θεῖος ἀνὴρ οὗτός ἐστι· καὶ Λακεδαιμόνιοι ὅταν τινὰ μεγαλοπρεπῶς[a] ἐπαινῶσι, θεῖον ἄνδρα φασὶν εἶναι.

—[r] ἀπέκειντο Ξs et corr Θ: ceteri ἐπέκειντο.—[s] δὲ ΑΘΣΤΩΒC.—[t] ἀφίκοιντο s.—[u] γὰρ add ΘΣΤΩΒCZ.—[v] δὴ om pr Ξ.—[w] οἱ om Z.—[x] οἱ om s.—[y] μὲν γὰρ Σ.—[z] γὰρ Ξs.—[a] μεγαλοπρεπὲς Ω.—[b] παραγίγνεται ΑΘΞΤΩΒCZ.

ἀπέκειντο] Cod. Aug. et Medic. ἐπέκειντο. Fisch.

ἐπειδή γε] Cod. Medic. ἐπειδὴ δὲ, ut Cod. Aug. ἐπειδὴ δή: male. Neque vero ἀφίκοντο, quod erat in iisdem libris, præferam lectioni alteri, quæ etiam in Menone habetur c. 18. Fisch.

ἀλλὰ γὰρ] Ald. Bas. 1. ἀλλὰ, omissa particula altera. Fisch.

§. 13. πῶς οὖν ἂν κ. τ. λ.] Hæc particula dialogi extat apud Stob. in Eclog. Eth. c. 1. p. 27. Gesn. Fisch.

μέντοι] Cod. Aug. Vindob. et libri editi omnes, legunt μὲν δή. Nos vero e libris Stobæi edidimus μέντοι. Fisch.

οἱ θεῖοι] Bas. 2. οἱ θεοὶ—: male. Ab eodem ceterisque libris editis, Cod. Med. et Aug. abest ante nomen χρησμολόγοι articulus, quem e Cod. Vindob. legum linguæ jussu, addidimus. Sic apud ipsum Platon. Apol. 7. est, οἱ θεομάντεις, καὶ οἱ χρησμῳδοί· et Menon. c. 26. οἱ χρησμῳδοί τε καὶ οἱ θεομάντεις· qui homines ab eo ibidem dicuntur χρησμῳδοὶ καὶ μάντεις, ut Ion. p. 60. Muller. οἱ χρησμῳδοὶ καὶ οἱ μάντεις οἱ θεῖοι. Fisch.

ἀποβησόμενα] Bas. 2. ἀποβλησόμενα: vitiose. Fisch.

λέγουσι] Cod. Aug. et Bas. 2. λέγουσι δέ τοι· quæ lectio si non extitit e δήπου, quod legitur in Menone Platonico c. 26. vera videri et genuina possit. Nam δὲ non raro ponitur pro γὰρ, ut Schrader. docuit ad Musæum v. 64. et ante eum Raphel. ad 1. Thess. ii. 16. t. ii. p. 542. Leid. sed librarii talibus in locis pro δὲ substituerunt γάρ· ut apud Xen. Cyrop. iv. 2. 19. legitur ἔχομεν γὰρ, sed Cod. Guelf. habet ἔχομεν δ', ita tamen, ut alia manus superscripserit γάρ· qui ipse Codex vi. 3. 7. pro δίκαιον γὰρ, ut Junta edidit, habet δίκαιον δὲ, sed ita, ut similiter superscriptum sit γάρ. Fisch.

καὶ οἱ] Libri nostri omnes habent, etiam Stob. καὶ Λακεδαιμόνιοι. In Menone c. 26. est, καὶ οἱ Λάκωνες. Fisch.

μεγαλοπρεπῶς] Cod. Aug. μεγαλοπρεπῆ: male, ut opinor. Nam auctor dialogi verba μεγαλοπρεπῶς ἐπαινῶσι substituit pro verbo ἐγκωμιάζωσι, quod legitur in Menon. c. 26. Fisch.

θεῖον] In Menone Platonis c. 26. est,

III. iii. 527. πολλαχοῦ δὲ καὶ Ὅμηρος τῷ αὐτῷ τούτῳ καταχρῆται καὶ οἱ ἄλλοι ποιηταί. καὶ ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλις, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός. οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίγνεσθαι[b] κτωμένοις.

καὶ οἱ Λάκωνες ὅταν τινὰ ἐγκωμιάζωσιν ἀγαθὸν ἄνδρα, θεῖος ἀνὴρ, φασὶν, οὗτος: ubi Casaub. ad Athen. viii. 16. p. 681. docuit, ut legeretur σεῖος ἀνήρ: nam ut Lacones σιὸς, vel σίορ, ut habet Hesychius, dixissent pro θεὸς, ita eosdem pro θεῖος dixisse σεῖος, ostendit ex Aristotele (Nicomach. vii. 1.) καθάπερ οἱ Λάκωνες εἰώθασι προσαγορεύειν, ὅταν ἀγασθῶσι σφόδρά του, Σεῖος ἀνήρ φασιν· ubi in m. γρ. Θεῖος. FISCH.

Ὅμηρος] Maxim. Tyr. dissert. 22. p. 222. Davis. min. Ὁ δὲ αὐτὸς (Homerus) καὶ τοὺς ἀγαθοὺς ἅπαντας δίους καλεῖ, διότι ἦσαν, οἶμαι, οὐ κατὰ τέχνην ἀγαθοὶ, ἀλλὰ ἔργον Διός. Legitur autem in Homeri Carminibus non modo ipsum vocabulum δῖος, ut Il. A. 121. Odyss. A. 196. et θεῖος, ut Odys. A. 65. sed etiam verba idem valentia, ut θεοείκελος, Il. A. 131. θεοειδής, Il. B. 623. ἰσόθεος, Il. B. 565. ἀντίθεος, Odyss. A. 21. FISCH.

ἄνδρας] Cod. Aug. omittit ἄνδρας, et in Eclogis S. Maximi Antonii p. 911. pro ἐνεποίησεν legitur ἐποίησεν: male: nam ad verbum ἐνεποίησεν eleganter refertur verbum ἐξεῖλε. FISCH.

πράξειν] Eclogæ Antonii habent πρᾶξαι πόλιν. At verba ὅταν μέλλῃ πράξειν non pendere a nomine θεὸς, ut verba ὅταν βούληται, ita, ut πόλις sit subjectum enuntiationis, vel ex eo manifestum est, quia sequitur ἐξεῖλε—ὁ θεός· neque constructio verbi μέλλω cum aoristo ejusmodi est, ut præoptari alteri debeat. Ceterum conferri cum hoc loco jussit vir doctus, hist. Crit. reip. litter. vet. et recent. t. viii. p. 165. locum Esaiæ c. iii. 1—3. ἰδοὺ δὴ ὁ δεσπότης κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ Ἱερουσαλὴμ καὶ ἀπὸ τῆς Ἰουδαίας—θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. FISCH.

ἐκ] In Eclogis Antonii deest ἐκ. FISCH.

παραγίγνεται] Steph. edidit, nescio an ex ingenio, παραγίγνεσθαι· quod Clericus et Horreus servarunt in suis exemplis. Nos vero restituimus παραγίγνεται ex Cod. Aug. Vindob. Ald. Bas. 1. 2. et Stobæo. FISCH.

ΔΗΜΟΔΟΚΟΣ.

§. 1. Σὺ μὲν δὴ κελεύεις με, ὦ Δημόδοκε, ξυμβουλεύειν III. 380. III. iii. 528.
ὑμῖν περὶ ὧν ἂν ξυνέρχησθε[a] βουλευσόμενοι· ἐμοὶ δὲ σκοπεῖσθαι ἐπέρχεται τί ποτε δύναται ἡ ξύνοδος ὑμῶν καὶ ἡ τῶν οἰομένων ξυμβουλεύειν ὑμῖν προθυμία καὶ ἡ ψῆφος ἣν φέρειν ἕκαστος ὑμῶν διανοεῖται. τοῦτο μὲν γάρ, εἰ μὴ ἔστιν ὀρθῶς καὶ ἐμπείρως ξυμβουλεύειν περὶ ὧν ξυνέρχεσθε[b] βουλευσόμενοι, πῶς οὐ γελοῖόν ἐστι ξυνέρχεσθαι βουλευσομένους περὶ ὧν ξυμβουλεύειν οὐκ ἔστιν ὀρθῶς; τοῦτο δέ, εἰ μὲν ἔστιν[c] ὀρθῶς ξυμβουλεύειν καὶ ἐμπείρως περὶ τῶν τοιούτων, ἐπιστήμη[d] δ'[e] ἀφ' ἧς ἔστιν ὀρθῶς ξυμβουλεύειν[f] περὶ τούτων[g] μηδεμία ἐστί,[h] πῶς οὐκ ἄτοπον; εἰ δέ τις ἐπιστήμη ἀφ' ἧς ἔστι τὰ τοιαῦτα ὀρθῶς ξυμβουλεύειν,[i] οὐκ ἀνάγκη καὶ ἐπισταμένους εἶναί τινας ξυμβουλεύειν ὀρθῶς περὶ τῶν τοιούτων; ὄντων δέ τινων ἐπισταμένων ξυμβουλεύειν περὶ ὧν ξυνέρχεσθε[k] βουλευσόμενοι, οὐκ ἀνάγκη ἐστὶ καὶ ὑμᾶς[l] ἤτοι ἐπίστασθαι περὶ τούτων ξυμβουλεύειν ἢ μὴ ἐπίστασθαι; ἢ τοὺς μὲν ἐπίστασθαι ὑμῶν, τοὺς δὲ μὴ ἐπίστασθαι; εἰ μὲν οὖν ἐπίστασθε

CODICES NOVEM,

ΑΘΞΣΥΩBCZ.

[a] ἂν ἂν ξυνέρχησθε ΘΥBC, ἂν ξυνέρχησθε Σ: ἂν ξυνέρχεσθε *ς.—[b] ἂν συνέρχεσθε ΑΩ, ἂν ξυνέρχεσθε Z: ἂν ἂν ξυνέρχησθε ς.—[c] μὲν ἔστιν in mg ponunt ΑΩ.—[d] τοιούτων ἐστιν ἐπιστήμη Ω.—[e] δ' om pr ΑΩ.—[f] ξυμβουλεύειν καὶ ἐμπείρως Ω.—[g] τούτων καὶ ἐμπείρως Α.—[h] ἐστὶ om ΘΥBC.—[i] ξυμβουλεύειν οἷόν τε ΘΣΥBC.—

πάντες, τί δεῖ ἔτι[m] ὑμᾶς συνέρχεσθαι βουλευσομένους; ξυμβουλεύειν γὰρ ἱκανὸς[n] ἕκαστος ὑμῶν. εἰ δ' αὖ πάντες μὴ[o] ἐπίστασθε, πῶς ἂν δύναισθε[p] βουλεύεσθαι; ἢ τί ὑμῖν[q]
III. iii. 529. προὔργου τῆς ξυνόδου ταύτης εἴη ἂν μὴ δυναμένων γε[r] βουλεύεσθαι; εἰ δὲ οἱ μὲν ἐπίστανται, οἱ δὲ οὐκ ἐπιστάμενοί εἰσιν ὑμῶν,[s] οὗτοι δὲ[t] ξυμβουλῆς δέονται, εἰ ἄρα δυνατόν ἐστι ξυμβουλεύειν ἔμφρονα ἄνδρα τοῖς[u] ἀπείροις, ἱκανὸς δή πού ἐστι καὶ[v] εἷς ξυμβουλεῦσαι τοῖς ἐπισταμένοις ὑμῖν. ἢ οὐ ταὐτὰ οἱ[w] ἐπιστάμενοι ξυμβουλεύουσι πάντες; ὥστ' ἀκούσαντας ὑμᾶς[x] τούτου[y] ἀπαλλάττεσθαι προσήκει. νῦν δ' οὐ ποιεῖτε τοῦτο ἀλλὰ βούλεσθε πολλῶν ξυμβουλευόντων ἀκούειν. οὐ γὰρ ὑπολαμβάνετε εἰδέναι τοὺς ἐπιχειροῦντας ὑμῖν[z] ξυμβουλεύειν, περὶ ὧν ξυμβουλεύουσιν. εἰ γὰρ ὑπελαμβάνετε[a] εἰδέναι τοὺς ξυμβουλεύοντας ὑμῖν,[b] ἑνὸς
III. 381. μόνου ἀκούσασιν ἐξήρκει ἂν ὑμῖν.[b] τὸ οὖν ξυνέρχεσθαι ἀκουσομένους μὴ εἰδότων, ὡς προὔργου τι ποιοῦντας, πῶς οὐκ ἄτοπόν ἐστι; Καὶ περὶ μὲν τῆς ξυνόδου ὑμῶν ἀπορῶ ταύτῃ.

§. 2. Περὶ δὲ τῆς τῶν οἰομένων ὑμῖν ξυμβουλεύειν προθυμίας ἐκεῖνο ἄπορον. εἰ μὲν γὰρ μὴ ταὐτὰ ξυμβουλεύουσι περὶ τῶν αὐτῶν ξυμβουλεύοντες, πῶς ἂν πάντες καλῶς ξυμβουλεύοιεν, μὴ ξυμβουλεύοντες ἃ ξυμβουλεύει ὁ[c] ὀρθῶς ξυμβουλεύων; ἢ πῶς οὐκ ἂν[d] ἄτοπος εἴη ἡ προθυμία τῶν προθυμουμένων ξυμβουλεύειν περὶ ὧν ἀπείρως ἔχουσιν; οὐ γὰρ δὴ[e] ἔμπειροι ὄντες προαιρήσονται ξυμβουλεύειν[f] μὴ[g] ὀρθῶς. εἰ δ' αὖ ταὐτὰ ξυμβουλεύουσι,[h] τί δεῖ πάντας αὐτοὺς ξυμβουλεύειν; εἷς γὰρ αὐτῶν τὰ αὐτὰ ξυμβουλεύων ἱκανὸς ἔσται. τὸ οὖν τοιαῦτα προθυμεῖσθαι ἃ οὐδὲν προὔργου ἂν γένοιτο, πῶς οὐ γελοῖον; οὔτε οὖν ἡ τῶν ἀπείρων προθυμία οὐκ ἂν ἄτοπος εἴη, τοιαύτη γε οὖσα, οὔτε οἱ[i] ἔμφρο-

[k] ξυνέρχεσθε ΣΥΒC.—[l] ἡμᾶς Z.—[m] ἔστιν Z.—[n] ἱκανῶς Θ.—[o] μὴ πάντες Z.—[p] δύνασθε ΑΩΖ: δύνησθε °r.—[q] ἡμῖν ΑΞΣΒC: ὑμῖν cum r corr Ω.—[r] γε om Z.—[s] ἡμῶν ΞΣΖ.—[t] οὐδὲ corr A.—[u] τοῖς...ξυμβουλεῦσαι in mg posuit Z.—[v] καὶ om mg Z.—[w] οἱ om A et pr Ω.—[x] ἡμᾶς Ω, ἡμᾶς ceteri.—[y] τούτου omnes præter Ξ.—[z] ἡμῖν...ξυμβουλεύοντας om Z.—[a] ὑπολαμβάνετε ΑΘΣΥΩΒC.—[b] ἡμῖν Θ.—[c] ὁ om ΣΥ.—[d] ἂν οὐκ ΑΩΖ: οὐκ ἂν °r.—[e] δή γε τε Ω.—[f] μὴ om pr Ω.—[g] μὴ...ξυμβουλεύειν om ΣΥ.—[h] ξυμβουλεύσουσι Θ.—[i] οἱ om ΑΘΣΥΒC et pr Ω.—[k] γε Ω, τε ΑΘΞ

νες ἂν τοιαῦτα προθυμηθεῖεν, εἰδότες ὅτι καὶ εἷς τις αὐτῶν τὸ αὐτὸ πράξει, ξυμβουλεύων γε[k] ὡς προσήκει. ὥστε πῶς οὐ γελοῖός[l] ἐστιν ἡ προθυμία τῶν οἰομένων ὑμῖν ξυμβουλεύειν, οὐ δύναμαι εὑρεῖν.

§. 3. Τὸ δὲ περὶ τῆς ψήφου ἧς φέρειν διανοεῖσθε, τί δύναται, ἀπορῶ μάλιστα. πότερον γὰρ τοὺς εἰδότας ξυμβου- III. iii. 380.
λεύειν κρίνετε; ἀλλ' οὐ πλείονες[m] ἑνὸς ξυμβουλεύσουσιν, οὐδὲ ἄλλως καὶ ἄλλως περὶ τοῦ αὐτοῦ. ὥστε περὶ τούτων μὲν[n] τὴν ψῆφον φέρειν ὑμᾶς οὐ δεήσει. ἀλλὰ τοὺς ἀπείρους καὶ[o] ὡς μὴ δεῖ ξυμβουλεύοντας κρίνετε;[p] ἢ τοῖς τοιούτοις ὡς μαινομένοις οὐκ[q] ἐπιτρέπειν ξυμβουλεύειν προσήκει; εἰ δὲ μήτε τοὺς ἐμπείρους μήτε τοὺς ἀπείρους κρινεῖτε, τίνας[r] κρινεῖτε;[s] ἀρχὴν δὲ[t] τί δεῖ[u] πάντως ἄλλους[v] ξυμβουλεύειν ὑμῖν, εἴ περ κρίνειν τὰ τοιαῦτα ἱκανοί ἐστε; εἰ δ' αὖ[w] μὴ ἐστὲ ἱκανοί, τί καὶ[x] δύνανται ὑμῖν[y] αἱ ψῆφοι; ἢ πῶς οὐ γελοῖόν ἐστι ξυνέρχεσθαι μὲν ὑμᾶς ξυμβουλευσομένους, ὡς δεομένους ξυμβουλίας καὶ οὐχ ἱκανοὺς ὄντας αὐτούς, ξυνελθόντας δὲ οἴεσθαι δεῖν ψηφίζεσθαι ὡς κρίνειν ἱκανοὺς ὄντας; οὐ γὰρ δὴ καθ' ἕνα μὲν ὄντες οὐκ οἴδατε, ξυνελθόντες δὲ φρόνιμοι γίγνεσθε· οὐδ'[z] αὖ ἰδίᾳ μὲν ἀπορεῖτε, ἐλθόντες δὲ εἰς τὸ αὐτὸ οὐκέτι ἀπορεῖτε, ἀλλ' ἱκανοὶ γίγνεσθε[a] ξυνορᾶν ποῖα πρακτέα ἐστὶν ὑμῖν,[b] καὶ ταῦτα παρ' οὐδενὸς μαθόντες[c] οὐδ' αὐτοὶ εὑρόντες, ὅ ἐστι δεινότατον ἁπάντων. οὐ γὰρ δή, μὴ δυνάμενοί γε ξυνορᾶν ἃ πρακτέον ἐστί, III. 382.
κρίνειν ἱκανοὶ ἔσεσθε τὸν ὀρθῶς ξυμβουλεύοντα περὶ τούτων ὑμῖν. οὐδ' αὖ τοῦτό γε ἐρεῖ εἷς ὢν ὁ ξυμβουλεύων[d] ὑμῖν οὗτος[e] ὑμᾶς διδάξειν[f] ἃ πρακτέον ὑμῖν ἐστί, καὶ κρινεῖν[g] τοὺς κακῶς καὶ μὴ ξυμβουλεύοντας ὑμῖν, οὕτως ἐν ὀλίγῳ χρόνῳ καὶ ὄντας τοσούτους. τοῦτο δὲ ἐκείνου οὐδὲν ἧττον ἂν

ΤΒCZ.—[l] γελοῖος Ω: γελοία Ξs.—[m] πλείονος Ω, πλείονος ΑΘΞΒCZ.—[n] μὲν add ΑΩΖ.—[o] καὶ om ΑΩΖ.—[p] κρίνετε Ω, κρίνει τὸ Z.—[q] οὐκ Ω.—[r] κρίνητε, τίνας mg Ω.—[s] τίνας κρίνετε in mg habet A, om Z: κρίνετε etiam ΘΞΣΥΒC.—[t] δὲ om A et pr Ω, post τί ponunt ΘΞΣΥΒC.—[u] δεῖ om ΘΣΥΒ.—[v] ἄλλως ΑΩ, ἄλλωσε Z.—[w] αὖ ΑΘΥΩΒCZ: σὺν [e]s.—[x] καὶ om ΑΩΖ.—[y] ἡμῖν Θ.—[z] εἰ δ' ΘΥΒC.—[a] γίγνεσθαι ΥC.—[b] ἡμῖν Ξ.—[c] μαθόντες παρ' οὐδενὸς Z.—[d] ξ. omnes præter Ξ.—[e] οὗτος s.—[f] διδάξει ΑΩΖ.—[g] κρίνειν omnes.—[h] ἐν om ΑΩΖ.—[i] ξ. Z.—[k] ἱκανὸς pr ΑΩ.—[l] ποιεῖ

φανείη δεινὸν ὄν.[h] εἰ δὲ μήθ' ἡ ξύνοδος μήθ' ὁ ξυμβουλεύων[i] ὑμῖν ἱκανοὺς[k] κρίνειν ποιεῖ[l] ὑμᾶς, τίς χρεία τῶν ψήφων[m] ἐστὶν ὑμῖν; ἢ πῶς οὐκ ἐναντιοῦται ἡ ξύνοδος ὑμῶν ταῖς ψήφοις καὶ αἱ ψῆφοι τῇ τῶν ξυμβουλευόντων ὑμῖν[n] προθυμίᾳ; ἡ μὲν γὰρ ξύνοδός ἐστιν ὑμῶν ὡς οὐχ ἱκανῶν ἀλλὰ ξυμβούλων δεομένων, αἱ[o] δὲ ψῆφοι φέρονται ὡς οὐ ξυμβούλων δεομένων ἀλλὰ καὶ κρίνειν καὶ ξυμβουλεύειν δυναμένων. καὶ ἡ μὲν προθυμία τῶν ξυμβουλευόντων ὑμῖν ὡς
III. iii. 531. εἰδότων ἐστίν, αἱ δὲ παρ' ὑμῶν[p] ψῆφοι ὡς οὐκ εἰδότων τῶν ξυμβουλευόντων φέρονται. καὶ εἴ τις ὑμᾶς[q] ἔροιτο τοὺς ψηφισαμένους καὶ τὸν ξυμβουλεύσαντα ὑμῖν, περὶ ὧν ἂν ψηφίσησθε, πότερον ἴστε ὅ τι ἔσται οὗ ἕνεκα πράττειν[r] διανοεῖσθε ἃ ἐψηφίσασθε,[s] οὐκ[t] οἴομαι ἂν φῆσαι ὑμᾶς.[u] τί δ', εἰ γένοιτο οὗ ἕνεκα πράττειν ἂν[v] διανοεῖσθε, ἴστε ὅτι ξυνοίσει τοῦτο ὑμῖν; οὐδὲ τοῦτο ἂν φῆσαι οἴομαι ὑμᾶς οὐδὲ[w] τὸν ξυμβουλεύοντα ὑμῖν. τῶν ἀνθρώπων δὲ τίνα ὑπολαμβάνετε εἰδέναι τι τούτων;[x] εἴ τις προσέροιτο ὑμᾶς, οὐδὲ τοῦτο ξυγχωρεῖν ἂν[y] οἴομαι ὑμᾶς. ὅταν οὖν περί τε ὧν[z] ξυμβουλεύετε ᾖ τοιαῦτα οἷα ὑμῖν μὴ δῆλα εἶναι, οἵ τε ψηφιζόμενοι καὶ οἱ ξυμβουλεύοντες ἄπειροι ὦσιν, εἰκότως καὶ ὑμεῖς[a] φήσετε ξυμπίπτειν ἀπιστεῖν καὶ μεταμέλεσθαι πολλάκις αὐτοῖς καὶ περὶ ὧν ἂν[b] ξυμβουλεύσωνται καὶ περὶ ὧν ἂν ψηφίσωνται. τοῖς ἀγαθοῖς δὲ τοιαῦτα ξυμβαίνειν[c] οὐ προσήκει. ἴσασι γὰρ καὶ περὶ ὧν ξυμβουλεύουσιν, ὁποῖά[d] τ' ἐστί, καὶ τοῖς πεισθεῖσιν αὐτοῖς ὅτι βεβαίως ὑπάρχει ὧν ἕνεκα ξυμβουλεύουσι, καὶ ὅτι οὔτε αὐτοῖς οὔτε τοῖς πεισθεῖσιν αὐτοῖς πώποτε μεταμελήσει. περὶ τοιούτων οὖν ἔγωγε τοὺς νοῦν ἔχοντας ξυμβουλεύειν ἀξιοῦν[e] ὑπελάμβανον, ἀλλ' οὐ περὶ ὧν σὺ κελεύεις με ξυμβουλεύειν. ἀπὸ μὲν γὰρ τῆς ἐκείνων ξυμβουλίας τὸ τέλος εὐτυχία,[f] ἀπὸ δὲ τῆς τούτων φλυαρίας ἀτυχία ἐστίν.

---

om pr Ω.—[m] ψόφων Σ.—[n] ἡμῖν Θ.—[o] αἱ...δεομένων om Σ.—[p] ἡμῶν ΣΥ.—[q] ἡμᾶς ΘΞΥΒC.—[r] πράττειν ἂν Θ.—[s] ἃ ἐψηφίσασθε om ΘΖ.—[t] οὐκ...διανοεῖσθε om Ζ.—[u] ἡμᾶς Θ.—[v] ἂν om ΑΩ.—[w] οὐδὲ om Ζ.—[x] τῶν Θ.—[y] ἂν om Ζ.—[z] οὖν Θ.—
ἶν
[a] ὑμεῖς Ω.—[b] ἂν om ΘΞΥΒC.—[c] ξ. ΑΘΞΥΩΒCΖ.—[d] ποῖά ΘΞΥΒC et pr Ω.—

§. 4. Παραγενόμην δ' ἀνθρώπῳ τινὶ νουθετοῦντι ἑαυτοῦ ἑταῖρον, διότι ἐπίστευε[g] τῷ κατηγοροῦντι οὐκ ἀκούσας τοῦ ἀπολογουμένου ἀλλὰ μόνον[h] τοῦ κατηγοροῦντος. ἔλεγεν οὖν ὡς δεινὸν πρᾶγμα ποιοῖ[i] καταγιγνώσκων τοῦ ἀνθρώπου, οὔτε αὐτὸς παραγενόμενος οὔτε τῶν φίλων ἀκούσας παραγενο- III. 383.
μένων, οἷς εἰκὸς ἦν αὐτὸν λέγουσιν πιστεύειν· οὐδ' αὖ ἀμφοτέρων ἀκούσας, οὕτω προπετῶς ἐπίστευσε τῷ κατηγο- III. iii. 532.
ροῦντι. δίκαιον δὲ εἶναι καὶ τοῦ ἀπολογουμένου ἀκοῦσαι πρὸ τοῦ ἐπαινεῖν ἢ μέμφεσθαι, ὥσπερ καὶ τοῦ κατηγοροῦντος. πῶς γὰρ ἄν τις ἢ δίκην καλῶς δικάσαι ἢ ἀνθρώπους κατὰ τρόπον κρῖναι[k] δύναιτο, μὴ ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσας; τοὺς γὰρ λόγους παραβαλλομένους, ὥσπερ τὴν πορφύραν καὶ τὸ χρυσίον, ἄμεινον κρίνεσθαι. ἢ τίνος ἕνεκεν[l] ἢ χρόνον ἀμφοτέροις δίδοσθαι τοῖς ἀντιδίκοις, ἢ ὀμνύειν τοὺς δικαστὰς ἀκροάσεσθαι[m] ὁμοίως ἀμφοτέρων, εἰ μὴ ὑπελάμβανεν ὁ νομοθέτης τὰς δίκας δικαιότερον ἂν[n] καὶ βέλτιον κρίνεσθαι ὑπὸ τῶν δικαστῶν; σὺ δέ μοι δοκεῖς οὐδὲ τοῦτο τὸ[o] ὑπὸ τῶν πολλῶν λεγόμενον ἀκηκοέναι. τὸ ποῖον; ἔφη.—

Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

καί τοι οὐκ ἂν οὕτω τοῦτο περιεφέρετο, εἰ μὴ καλῶς ἐλέγετο καὶ ὡς προσήκει. ξυμβουλεύω οὖν σοι, ἔφη, τοῦ λοιποῦ μὴ προπετῶς οὕτως τοὺς ἀνθρώπους μήτε μέμφεσθαι μήτ' ἐπαινεῖν.

Ὁ οὖν ἕτερος[p] ἄτοπον ἔφη αὐτῷ[q] καταφαίνεσθαι, εἰ ἕνα μὲν γνῶναι λέγοντα πότερον ἀληθεύει ἢ ψεύδεται οὐ δυνατόν, δύο δὲ λέγοντας γνῶναι δυνατὸν ἔσται· καὶ παρὰ μὲν τοῦ ἀληθῆ λέγοντος μαθεῖν οὐ δυνατόν, ὑπὸ τούτου δ' αὐτοῦ καὶ ἄλλου ψευδομένου διδαχθῆναι οἷόν τε·[r] καὶ εἰ ὁ

[e] ἀξιοῦν (ἐξιοῦν) Ω.—[f] εὐτυχία Θ.—[g] ἐπίστευσε Z.—[h] μόνου Z.—[i] ποιοῖ ΑΞΩΖ, ποιοῖτο ceteri: ποιεῖ ς.—[k] κρίνας ΑΘΞΒC: κρῖναι cum ς corr ΥΩ.—[l] εἵνεκεν ΘΥΩCZ.—

[m] ἀκροάσασθαι (ἀκροάσεσθαι) mei omnes.—[n] ἂν om pr Ω.—[o] τὸ om Ω.—[p] ἕτερος Υ.—[q] ἑαυτῷ ΑΩΖ.—[r] διδαχθῆναι δυνατὸν ταῦτα οἷόν τε ΑΘΩΒΖ, διδαχθῆναι ταῦτα οἷόν τε ΥC.—

ἕνεκεν] Post ἕνεκεν aut post ἀντιδίκοις videtur deesse ἔδει, sive ἐχρῆν, vel aliquid hujusmodi. Steph.

μὲν εἷς ὀρθῶς καὶ ἀληθῆ λέγων ἐμφανίσαι ἃ λέγει[s] οὐ δυνήσεται, δύο δέ, ὧν ὁ ἕτερος ψεύσεται καὶ οὐκ ὀρθῶς ἐρεῖ, δυνήσονται ἐμφανίσαι τοῦτο ὃ ὁ[t] λέγων ὀρθῶς ἐμφανίσαι οὐχ οἷός τ' ἦν. ἀπορῶ δ', ἔφη, κἀκεῖνο, πῶς ποτε ἐμφαίνουσι.[u] πότερον γὰρ σιωπῶντες ἢ λέγοντες; εἰ μὲν γὰρ σιωπῶντες ἐμφανιοῦσιν, οὐδετέρου[v] ἂν δέοι, μή τί γε[w] ἀμφοτέρων, ἀκούειν· εἰ δὲ λέγοντες ἀμφότεροι ἐμφανιοῦσιν, ἀμφότεροι δὲ κατ' οὐδένα τρόπον[x] λέγουσιν[y]—ἐν μέρει γὰρ λέγειν ἑκάτερον ἀξιοῦσι—πῶς ἀμφοτέρους ἐμφανίσαι ἅμα οἷόν τε; εἰ γὰρ ἐμφαίνουσιν ἅμα[z] ἀμφότεροι, καὶ ἐροῦσι
III. iii. 383. τότε ἅμα. τοῦτο δ' οὐκ ἔστιν.[a] ὥστε λοιπόν, εἴ περ λέγοντες ἐμφαίνουσιν, ἑκάτερος εἰπὼν ἐμφανιεῖ· καὶ[b] ὁπότε γε[c] ἐρεῖ ἑκάτερος, τότε καὶ ἐμφανιεῖ ἑκάτερος αὐτῶν. ὥστ' ἐρεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος, καὶ[d] ἐμφανιεῖ ὁ μὲν πρότερος, ὁ δ' ὕστερος. καί τοι εἴ περ ταὐτὸ[e] ἐν μέρει ἐμφανιοῦσιν ἑκάτεροι, τί δεῖ ἔτι τοῦ ὑστέρου ἀκούειν; ὑπὸ γὰρ
III. 384. τοῦ πρότερον εἰπόντος ἤδη φανερὸν ἔσται. ἐκεῖνο δ', ἔφη,[f] εἴ περ ἀμφότεροι ἐμφανιοῦσι, πῶς οὐ[g] καὶ ὁ ἕτερος αὐτῶν ἐμφανιεῖ; ὧν γὰρ ὁ ἕτερος οὐκ ἐμφανιεῖ, οὗτοι ἀμφότεροι πῶς ἂν ἐμφανίσαι δύναιντο; εἰ δ' ἑκάτερος ἐμφανιεῖ, δῆλον ὅτι ἐρεῖ πρότερος καὶ ἐμφανιεῖ πρότερος· ὥστ' ἐκείνου μόνου[h] ἀκούσαντα, γνῶναι πῶς ἐστὶν οὐχ οἷόν τε.

Ἐγὼ γοῦν ἀκούων αὐτῶν ἠπόρουν καὶ κρίνειν οὐχ οἷός τ' ἦν· οἱ μὲν γὰρ ἄλλοι ἔφασαν οἱ παρόντες τὸν πρῶτον λέγειν ἀληθῆ. εἰ οὖν τι ἔχεις ξυμβαλέσθαι[i] μοι περὶ τούτων, πότερόν ἐστιν ἑνὸς λέγοντος γνῶναι τί λέγει, ἢ προσδεῖται τοῦ ἀντεροῦντος,[k] εἰ μέλλει τις γνώσεσθαι πότερον ὀρθῶς λέγει·[l] ἢ οὐκ ἀναγκαῖόν ἐστιν ἀμφοτέρων ἀκούειν. ἢ πῶς νομίζεις;

---

§. 5. Πρώην τις ἐνεκάλει[m] ἀνθρώπων τινὶ ὅτι αὐτῷ ἀργυ-

[s] λέγειν Z.—[t] ὁ om ΑΩΖ.—[u] ἐμφανιοῦσι γρ ΩΖ.—[v] οὐδετέρου...ἐμφανιοῦσιν om Θ.
χ ν
—[w] μήτοιγε Ξς.—[x] τρόπον Ω, χρόνον γρ Z.—[y] λέγουσιν ante τρόπον ponit Z.—
[z] ἅμα om Z.—[a] οὐκ ἀθῶσιν Z.—[b] καὶ om Θ.—[c] γε om ΞΩς.—[d] καὶ...πρότερος om Θ, καὶ...ὕστερος om Σ.—[e] αὐτὸ Z.—[f] ἔφης Α, φῂς Ω, ἔφης Z.—[g] οὐν ΘΞΣΥΒC.—
[h] μόνου ἐκείνου Z.—[i] ξυμβάλλεσθαί ΑΩ.—[k] ἀντεροῦν Z.—[l] λέγειν Z.—[m] ἀνενεκάλει

ρίου χρῆσαι οὐκ ἠθέλησεν οὐδὲ πιστεῦσαι. κἀκεῖνος μὲν ᾧ[n] ἐνεκάλει, ἀπελογεῖτο· ἄλλος δέ τις τῶν παρόντων ἠρώτησε τὸν ἐγκαλοῦντα, πότερον ὁ μὲν μὴ[o] πιστεύσας αὐτῷ μηδὲ χρήσας ἥμαρτε· σὺ δ', ἔφη, οὐ πείσας σοι χρῆσαι οὐχ ἡμάρτηκας; ὁ δέ, Τί γὰρ ἥμαρτον; εἶπε. Πότερος[p] δ', ἔφη, σοὶ δοκεῖ ἁμαρτάνειν; ὁ ἀποτυχὼν ὧν ἤθελεν ἢ ὁ μή; Ὁ ἀποτυχών, εἶπεν. Οὐκοῦν, εἶπε, σὺ μὲν ἀπέτυχες, χρήσασθαι ἐθέλων; ὁ δέ σοι μὴ προέσθαι, οὐκ ἀπέτυχε τούτου; Ναί, εἶπεν· ἀλλ' ἐγὼ τί ἥμαρτον, καὶ[q] εἰ μὴ ἐκεῖνός μοι ἔδωκεν; Ὅτι εἰ μὲν ἐδέου αὐτοῦ, ἔφη, ὧν οὐκ ἐχρῆν, III. iii. 384.
πῶς οὐκ οἴει ἁμαρτάνειν; ἐκεῖνος δὲ ὁ μὴ προέμενος ὀρθῶς ἔπραξεν. εἰ δὲ ὧν χρῆν ἐδέου αὐτοῦ, ἀποτυχὼν τούτου, πῶς οὐχ ἥμαρτες ἐξ ἀνάγκης; Ἴσως, εἶπεν. ἀλλ' ἐκεῖνος πῶς οὐχ ἥμαρτεν, ὁ μὴ πιστεύσας μοι; Ἆρ' οὖν, ἔφη, εἰ προσωμίλησας[r] αὐτῷ ὡς προσήκει, οὐκ ἂν ἥμαρτες οὐδέν; Οὐ γὰρ δή. Νῦν ἄρα οὐχ ὡς προσήκει αὐτῷ προσωμίλησας.[s] Φαίνομαι, εἰπεῖν.[t] Εἰ οὖν ὡς μὴ προσήκει ὁμιλοῦντός σου μὴ ἐπείσθη, πῶς ἂν δικαίως ἐγκαλοίης ἐκείνῳ; Οὐκ ἔχω εἰπεῖν. Οὐδὲ[u] ὅτι τοῖς κακῶς χρωμένοις οὐ προσεκτέον ἐστίν, ἔχεις εἰπεῖν; Καὶ μάλ', ἔφη, τοῦτό γε. Ἀλλ' οὖν οὐχ οἱ ὡς οὐ προσήκει ὁμιλοῦντες, ἔφη, κακῶς χρῆσθαί σοι δοκοῦσιν; Ἔμοιγε, ἔφη. Τί οὖν ἥμαρτεν εἴ σοι μὴ προσέσχε κακῶς χρωμένῳ; Οὐδὲν φαίνεται, εἰπεῖν.[v] Τί οὖν ποτὲ οἱ ἄνθρωποι, ἔφη, τοιαῦτα ἐγκαλοῦσι πρὸς ἀλλήλους; καὶ τοῖς μὲν δὴ[w] πεισθεῖσιν αὐτοῖς, ὅτι οὐκ ἐπείσθησαν μέμφονται· αὐτοῖς δέ, ὅτι οὐκ ἔπεισαν, οὐδ' ὁτιοῦν ἐγκαλοῦσιν; Καὶ ἄλλος τις παρών, Ὅταν τε γάρ τις, ἔφη, εὖ χρήση- III. 385.
ταί τῳ καὶ[x] βοηθήσῃ, εἶτα ἀξιῶν αὐτῷ ὁμοίως χρήσασθαι μὴ τυγχάνῃ τούτου, πῶς οὐκ εἰκότως μέμφοιτ' ἂν ὁ τοιοῦτος; Οὐκοῦν, ἔφη, ὃν ἀξιοῖ ὁμοίως αὐτῷ χρῆσθαι, ἤτοι[y] δυνατός ἐστι χρῆσθαι αὐτῷ καλῶς ἢ οὐ δυνατός; καὶ εἰ μὲν μὴ δυνατός ἐστιν, πῶς ἂν καλῶς ἀξιοίη,[z] ἀξιῶν αὐτὸν

Σ.—[n] ὃ Θ.—[o] μὴ om ΘZ.—[p] πέρος Θ.—[q] καὶ add ΑΘΣΥΩBC.—[r] προσομιλήσας (omisso εἰ) Z.—[s] προσομιλήσας Z.—[t] εἰπεῖν (e) Ω.—[u] εἰ δὲ Ω, εἰ δὲ (οὐ) ΑΘΣΥBCZ.—[v] εἰπεῖν (e) Ω.—[w] μὴ om ΘZ.—[x] καὶ om pr Σ.—[y] εἴτε (ἤ) Ω, εἴτε (οι) ΑΘΣΥBCZ.—[z] libri

ὃ οὐ[a] δυνατός ἐστιν; εἰ δὲ δυνατός ἐστι, πῶς τοιοῦτοι ἄνθρωπον οὐκ ἔπεισεν; ἢ πῶς τοιαῦτα[b] λέγοντες καλῶς λέγουσιν; Ἀλλὰ νὴ Δί', ἔφη, τοῦτο δεῖ[c] ἐγκαλεῖν, ὅπως οὗτός τε τοῦ λοιποῦ βέλτιον χρῆται αὐτῷ, καὶ οἱ ἄλλοι φίλοι ἀκούσαντες αὐτοῦ ἐγκαλοῦντος. Βέλτιον δὲ χρήσεσθαι,[d] ἔφη, οἴει[e] τινὰς ἀκούοντας ὀρθῶς λέγοντος καὶ ἀξιοῦντος,[f] ἢ ἁμαρτάνοντος; Ὀρθῶς λέγοντος, ἔφη. Ὁ δέ γε οὐκ ὀρθῶς ἀξιοῦν ἐδόκει σοι; Ναί, ἔφη. Πῶς οὖν ἀκούοντες
III. iii. 585. τοιαῦτα ἐγκαλοῦντος βέλτιον χρήσονται; Οὐδαμῶς, ἔφη. Τοῦ[g] οὖν ἕνεκα τοιαῦτά τις ἐγκαλεῖ;[h] Ἀνευρεῖν ἔφη οὐκ ἂν δύνασθαι.

---

§. 6. Ἀνθρώπου τις κατηγόρει[i] εὐήθειαν ὅτι ταχέως καὶ τοῖς τυχοῦσιν ἀνθρώποις λέγουσι πιστεύοι. πολίταις μὲν γὰρ καὶ οἰκείοις λέγουσι πιστεύειν εἰκός[k] ἐστι· τοιούτοις δ' ἀνθρώποις οὓς οὔτε εἶδεν οὔτε ἤκουσε πρότερον αὐτῶν,[l] πιστεύειν, καὶ ταῦτα οὐκ ἀγνοοῦντα[m] ὅτι οἱ πλεῖστοι τῶν ἀνθρώπων εἰσὶν ἀλαζόνες καὶ πονηροί, ἠλιθιότητος σημεῖον οὐ σμικρὸν εἶναι. Καὶ τῶν παρόντων τις ἔφη, Ἐγὼ δὲ ᾤμην σὲ τὸν ταχὺ καὶ[n] τοῦ τυχόντος ἂν αἰσθανόμενον πολλοῦ νομίζειν ἄξιον εἶναι μᾶλλον ἢ τὸν βραδέως. Καὶ γὰρ νομίζω, εἶπεν ἐκεῖνος. Τί οὖν, ἔφη, ἐγκαλεῖς, εἰ ταχὺ καὶ τοῖς τυχοῦσι πιστεύει τἀληθῆ λέγουσιν; Ἀλλ' οὐ τοῦτο[o] ἐγκαλῶ,[p] εἶπεν,[q] ἀλλ' ὅτι πιστεύει ταχέως ψευδῆ λέγουσιν. Εἰ δ' ἐν πλείονι χρόνῳ καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευε καὶ ἠτιᾶτο, οὐκ ἂν ἐνεκάλεσας αὐτῷ μᾶλλον; Ἔγωγ' ἄν, εἶπεν.[q] Ἆρα διότι γε βραδέως καὶ οὐ τοῖς τυχοῦσιν ἐπίστευεν; Μὰ Δί', εἶπεν. Οὐ γὰρ οἶμαί γ', ἔφη, διὰ τοῦτ'

οἱ ταῦτα
ἀξιοῦντος...ἔφη—[a] οὐ om Z.—[b] τοιαῦτα Ω.—[c] δὴ ΣΖ.—[d] χρῆσθαι mei omnes.—[e] οἴει ...ἔφη om Σ.—[f] καὶ ἀξιοῦντος om pr Ξ.—[g] τοῦ Z cum corr Ω et γρ A, τί ΘΣΥΒC: τίνος *ς.—[h] ἐγκαλοῖ ΑΩΘΒCZ.—[i] κατηγοροῖ Θ.—[k] εἰκὸς...πιστεύειν om Z.—[l] αὐτὸν Ζς.—[m] ἀγνοοῦντες Θ.—[n] τὸν ταχὺ καὶ ΑΩΖ: καὶ τὸν ταχὺ

χρήσεσθαι] Male χρῆσθαι in præced. edit. ubi etiam desiderantur quæ sunt inter ἔφη et Ὁ δέ γε. STEPH.

πῶς οὖν] Malim legere Πῶς οὖν; ἀκούοντες etc. Paulo post autem Τί οὖν pro Τίνος οὖν manifesto errore in præced. edit. scriptum est. STEPH.

ἐγκαλεῖν ἀνθρώπῳ ἄξιον εἶναι ὑπολαμβάνεις, ἀλλὰ διότι πιστεύει λέγουσιν ἄπιστα. Ἔγωγ', εἶπεν.[q] Πότερον οὖν, ἔφη, διὰ μὲν τὸ βραδέως καὶ μὴ τοῖς[r] τυχοῦσιν πιστεύειν οὐκ[s] οἴει ἄξιον εἶναι ἐγκαλεῖν αὐτῷ, διὰ δὲ τὸ ταχέως καὶ τοῖς τυχοῦσι πιστεύειν ἄξιον; Οὐκ ἔγωγ', εἶπεν.[q] Τί οὖν, ἔφη, ἐγκαλεῖς αὐτῷ; Ὅτι ἁμαρτάνει, πρὸ τοῦ σκέψασθαι ταχέως πιστεύων[t] τοῖς τυχοῦσιν. Ἀλλ' εἰ βραδέως ἐπίστευσε[u] πρὸ τοῦ σκέψασθαι, οὐκ ἂν ἡμάρτανεν; Μὰ Δί', III. 386.
εἶπεν, ἀλλὰ καὶ οὕτως ἡμάρτανεν ἂν οὐδὲν ἧττον. ἀλλ' οὐ[v] τοῖς τυχοῦσιν οἶμαι[w] δεῖν πιστεύειν. Εἰ δὲ μὴ πιστεύειν τοῖς τυχοῦσιν, ἔφη, οἴει δεῖν, ἀλλὰ[x] τοῖς ἀγνῶσι[y] πῶς προσήκει ταχέως πιστεύειν; ἀλλὰ πρότερον οἴει δεῖν III. iii. 586.
σκέψασθαι εἰ ἀληθῆ λέγουσιν. Ἔγωγ', εἶπεν. Ἐπεὶ οἰκείων καὶ συνήθων, ἔφη, ὄντων, οὐ δεῖ σκοπεῖσθαι εἰ λέγουσιν ἀληθῆ. Ἐγὼ μὲν φαίην[z] ἄν, εἶπεν.[a] Ἴσως γὰρ καὶ τούτων τινές, ἔφη, λέγουσιν ἄπιστα. Καὶ μάλα, εἶπεν. Τί οὖν μᾶλλον, ἔφη, τοῖς οἰκείοις καὶ συνήθεσιν εἰκὸς πιστεύειν, ἢ τοῖς τυχοῦσιν, ἐστίν; Οὐκ ἔχω, ἔφη, εἰπεῖν. Τί δ'; εἰ οὐ[b] μᾶλλον τοῖς οἰκείοις πιστεύειν δεῖ ἢ τοῖς τυχοῦσιν,[c] οὐκ ἀπίστους αὐτοὺς δεῖ[d] νομίζειν μᾶλλον ἢ τοὺς τυχόντας; Πῶς γὰρ οὔκ; ἔφη. Ἐὰν οὖν τοῖς μὲν οἰκεῖοι ὦσι, τοῖς δ' ἀγνῶτες, πῶς οὐ δεήσει τοὺς αὐτοὺς μᾶλλον αὐτῷ πιστοὺς νομίζειν; οὐ γὰρ ὁμοίως πιστοὺς αὐτοὺς δεῖ νομίζειν τοὺς οἰκείους καὶ τοὺς ἀγνῶτας, ὡς φῄς. Οὐκ ἀρέσκει μοι, εἶπεν.[e] Ὁμοίως δ',[f] ἔφη,[g] καὶ τὰ λεγόμενα ὑπ' αὐτῶν οἱ μὲν πιστεύουσιν, οἱ δ' οὐ πιστὰ ἡγήσονται, καὶ οὐδέτεροι ἁμαρτήσονται αὐτῶν. Ἄτοπον καὶ τοῦτ', εἶπεν. Ἔπειτα, ἔφη, εἰ ταὐτὰ λέγουσι οἱ οἰκεῖοι καὶ οἱ[h] τυχόντες, πῶς οὐχ

*s.—[o] οὔτ' Θ.—[p] ἐγκαλῶν Ξs.—[q] εἶπεν Ω : εἰπεῖν *s.—[r] τοῖς om Z.—[s] οὐκ... πιστεύειν om Θ.—[t] πιστεύειν Z.—[u] ἐπίστευε Z.—[v] ἀλλὰ καὶ ΑΘΣΥΒC et fortasse pr Ω.—[w] οἶμαι...τυχοῦσιν in mg ponit Ω.—[x] ἀλλὰ...δεῖν om ΣΥ.—[y] ἀγνώμοσι γρ ΩΖ.—[z] ἂν φαίην Z.—[a] εἶπεν Ω : εἰπεῖν *s.—[b] οὐ om mei omnes.—[c] ἀπίστοις Z. —[d] δεῖν ΘΞΣΥΒC.—[e] εἶπεν Ω : εἰπεῖν *s.—[f] δ' om pr Ω.—[g] ἔφην omnes præter

μᾶλλον αὐτῷ] Vide annon scribendum sit, τοὺς αὐτοὺς μᾶλλον τῶν αὐτῶν πιστοὺς νομίζειν; Steph.

ὁμοίως τὰ λεγόμενα πιστὰ εἴη ἂν ἢ ἄπιστα; Ἀνάγκη, εἶπεν. Οὐκοῦν καὶ τοῖς λέγουσιν αὐτὰ ὁμοίως πιστευτέον λέγουσιν αὐτά; Πιθανόν, εἶπεν.

Ταῦτ' οὖν λεγόντων αὐτῶν ἠπόρουν τίσι ποτὲ δεῖ πιστεύειν καὶ τίσιν οὔ, καὶ πότερον τοῖς πιστοῖς καὶ τοῖς[i] εἰδόσι περὶ ὧν[k] λέγουσιν ἢ τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις. περὶ τούτων οὖν πῶς σὺ νομίζεις;

Ξ. item inf.—[h] οἱ om ς.—[i] alterum τοῖς om Θ.—[k] ὃ Z.

λέγουσιν αὐτὰ] Scribendum puto λέγουσι ταυτὰ, utrobique: aut saltem in posteriore loco: nisi potius verba hæc male sunt repetita. Steph.

Σ Ι Σ Υ Φ Ο Σ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΣΙΣΥΦΟΣ.

§. 1. Ἡμεῖς δὲ καὶ χθές σε πολὺν χρόνον ἀνεμείναμεν, III. 387.
ὦ Σίσυφε, ἐπὶ τῇ Στρατονίκου ἐπιδείξει, ὅπως ἂν ξυνηκροῶ III. iii. 537.
ἡμῖν ἀνδρὸς σοφοῦ, πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα καὶ λόγῳ καὶ ἔργῳ· καὶ ἐπεὶ σὲ οὐκέτι ᾠόμεθα παρέσεσθαι,[a] αὐτοὶ ἤδη ἠκροώμεθα τἀνδρός.

ΣΙ. Ναὶ μὰ τὸν Δία· ἀσχολία γάρ μοί τις ἐγένετο ἀναγκαιοτέρα, ὥστε μὴ παραμελῆσαι αὐτῆς. οἱ γὰρ ἄρχοντες ἡμῶν ἐβουλεύοντο χθές· ξυμβουλεύειν οὖν αὐτοῖς[b] ἠνάγκαζόν με. ἡμῖν δὲ τοῖς Φαρσαλίοις καὶ νόμος ἐστὶ τοῖς ἄρχουσι πείθεσθαι, ἂν κελεύωσι ξυμβουλεύειν τινὰ ἡμῶν αὐτοῖς.

ΣΩ. Ἀλλὰ καλὸν τό τε τῷ νόμῳ πείθεσθαι, τό τε ὑπὸ τῶν πολιτῶν δεδοξάσθαι εὔβουλον εἶναι, ὥς περ καὶ σὺ δεδόξασαι εὔβουλος εἶναι εἷς τῶν Φαρσαλίων. ἀτάρ, ὦ Σί-

CODICES NOVEM,
ΑΘΞΣΥΩΒΟΖ.

[a] παρέσεσθαι ᾠόμεθα Θ et pr B.—[b] αὐτοῖς omnes.—[c] οὐ Ξγ.—[d] ἀλλὰ καὶ περὶ

συφε, ἐγὼ γὰρ οὔ πω[c] περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους ἂν δυναίμην ποιήσασθαι πρὸς σέ, ἡγούμενος καὶ σχολῆς εἶναι πολλῆς καὶ λόγου μακροῦ, ἀλλὰ περὶ[d] αὐτοῦ
III. iii. 588. τοῦ[e] βουλεύεσθαι πρῶτον,[f] ὅ τι ἔστιν, ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. ἆρ' οὖν ἔχοις[g] ἄν μοι εἰπεῖν αὐτὸ τὸ βουλεύεσθαι[h] ὅ τί ποτ' ἔστι; μή μοι ἢ τὸ εὖ ἢ κακῶς ἢ τὸ καλῶς πως, ἀλλ' αὐτὸ μόνον τὸ βουλεύεσθαι, ὁποῖόν τι ἐστίν. ἢ καὶ πάνυ ῥαδίως αὐτός γε οὕτως εὔβουλος ὤν; ἀλλὰ μὴ ἐμὴ περιεργία ᾖ καὶ τὸ ἐρωτῆσαί σε περὶ τούτου;

ΣΙ. Ἦ σοι γὰρ ἄγνωστόν ἐστιν ὅ τι τὸ βουλεύεσθαι ἐστίν;

ΣΩ. Ἔμοιγε, ὦ Σίσυφε, εἴ γε[i] τι ἄλλο ἐστὶν ἢ ὅ περ τὸ μὴ ἐπιστάμενόν τινα περὶ ὧν ἂν δέῃ τι πράττειν, διαμαντευόμενον καὶ σχεδιάζοντα λέγειν ὅ τι ἂν τύχῃ, εἰκάζοντα καὶ κατὰ ταὐτὰ αὐτῷ, ὥς περ καὶ οἱ ἀρτιάζοντες[k] τῶν ἀνθρώπων, οὐδὲν ἐπιστάμενοι δή που περὶ τῶν ἀρτίων τε καὶ περιττῶν ὧν ἂν ἐν ταῖς χερσὶ ταῖς αὑτῶν ἔχωσιν,[l] ὅμως
III. 388. ἐπιτυγχάνουσι λέγοντες περὶ τῶν αὐτῶν τἀληθῆ. πολλάκις μὲν οὖν τοιοῦτόν τι καὶ τὸ βουλεύεσθαί ἐστιν, οἷον μηδὲν ἐπιστάμενον περὶ ὧν ἂν βουλεύηταί τις, ἀπὸ τύχης εἰπόντα ἐπιτυγχάνειν τἀληθῆ. εἰ[m] μὲν οὖν τοιοῦτόν[n] ἐστι, γιγνώσκω δὴ οἷον τὸ βουλεύεσθαι ἐστίν· εἰ μέντοι γε μὴ τοιοῦτόν ἐστιν, οὐκ ἄν πω ἐπισταίμην αὐτό.

ΣΙ. Οὐ τοίνυν τοιοῦτόν ἐστιν οἷόν περ[o] μὴ ἐπίστασθαι κομιδῇ μηδέν,[p] ἀλλ' οἷον τὸ μὲν εἰδέναι τι τοῦ πράγματος ἤδη, τὸ δὲ μηδέπω ἐπίστασθαι.

§. 2. ΣΩ. Ἆρα τοιόνδε τι λέγεις τὸ βουλεύεσθαι πρὸς τοῦ Διός; ὥς περ γὰρ ἂν καὶ αὐτὸς ὑπομαντεύεσθαί μοι δοκῶ τὴν διάνοιάν σου περὶ τοῦ εὖ βουλεύεσθαι·[q] οἷον τὸ ζητεῖν τὰ βέλτιστα ἐξευρεῖν τινὰ ἑαυτῷ διαπράξασθαι,[r] μηδέπω δὲ ἐπίστασθαι σαφῶς, ἀλλ' ὥς περ ἐν νοήσει τινὶ[s] εἶναι τοῦτο. οὐχ οὕτω πως λέγεις;

ΣΙ. Ἔγωγε.

ΣΣ.—[e] τοῦ om Ω.—[f] πρῶτον add ΑΩΖ.—[g] ἔχεις Θ, ἔχοι Σ.—[h] βούλεσθαι Θ.—[i] εἴτε ΑΘΣΥΩΒCΖ.—[k] ἁρπάζοντες ΑΘΣΥΩΒCΖ.—[l] ἔχοντες (γρ ἔχωσι) Ζ.—[m] εἰ ...ἐστίν om Ζ.—[n] οὖν τὸ τοιοῦτον Σ.—[o] ὅπερ ΩΖ, ὅπερ τὸ Α.—[p] μηδέ τι ΑΩ, μηδ' ἔτι Ζ.—[q] βούλεσθαι Ω.—[r] διαπράξασθαι in mg ponit Ω.—[s] τινὰ omnes præter Σ.—

ΣΩ. Ζητοῦσι δ' οἱ ἄνθρωποι πότερον ἃ ἂν ἐπιστῶνται τῶν πραγμάτων, ἢ καὶ ἃ ἂν μὴ ἐπιστῶνται;

ΣΙ. Ἀμφότερα. III. iii. 389.

ΣΩ. Ἆρ' οὖν καὶ τοῦθ' οὕτω πως λέγεις, τὸ ζητεῖν ἀμφότερα τοὺς ἀνθρώπους, ἃ ἄν τε[t] ἐπιστῶνται καὶ[u] ἃ ἂν[v] μὴ ἐπιστῶνται; ὅμοιον ὥς περ εἴ[w] τις[x] Καλλίστρατον γιγνώσκοι[y] μέν, ὅς τις ὁ Καλλίστρατος, μὴ[z] μέντοι ἐπίσταιτο ὅπου εἴη ἐξευρεῖν, οὐχ[a] ὅς τις εἴη ὁ Καλλίστρατος. ἆρ' οὕτω πως λέγεις τὸ ζητεῖν εἶναι ἀμφότερα;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν ἐκεῖνο μὲν οὐκ ἂν ζητοίη, τὸν Καλλίστρατον εἰδέναι, ὅ γε[b] εἰδώς;

ΣΙ. Οὐ γάρ.

ΣΩ. Ὅπου δέ γε εἴη, ζητοίη ἂν[c] αὐτόν.

ΣΙ. Ἔμοιγε[d] δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδὲ τοῦτο ἐζήτει, ὅπου ἦν ἐξευρεῖν αὐτόν, εἰ ᾔδει· ἀλλ' ἐξεῦρεν ἂν εὐθέως;

ΣΙ. Ναί.

ΣΩ. Οὐκ ἄρα ταῦτά γε δὴ ζητοῦσιν ἅττ' ἂν[e] ἐπιστῶνται[f] οἱ ἄνθρωποι, ἀλλὰ ἃ ἂν μὴ[g] ἐπιστῶνται, ὡς ἔοικεν. εἰ δὲ σοὶ οὗτος ὁ λόγος ἐριστικὸς εἶναι δοκεῖ, ὦ Σίσυφε, καὶ μὴ τοῦ πράγματος ἕνεκα λέγεσθαι ἀλλ' αὐτοῦ τοῦ διαλέγεσθαι μόνον, σκόπει δὲ[h] καὶ ὧδε ἐὰν δοκῇ σοι οὕτως ἔχειν ὥς περ καὶ[i] νῦν λέγεται. ἆρα γὰρ οὐκ ἐν τῇ γεωμετρίᾳ οἶσθα τοῦτο γιγνόμενον; ἀγνοουμένην τὴν διάμετρον τοῖς γεωμέτραις, οὐκ εἰ διάμετρός ἐστιν ἢ μή, οὐδὲ γὰρ οὐδὲ[k] ζητεῖται τοῦτο ὑπ' αὐτῶν εὑρεθῆναι, ἀλλ' ὁπόση τίς ἐστι μέτρῳ πρὸς τὰς πλευρὰς τῶν χωρίων ὧν ἂν διατέμνῃ; ἆρ' οὐ τοῦτό ἐστιν αὐτὸ τὸ ζητούμενον περὶ αὐτῆς;

[t] τε...ἂν om Z.—[u] καὶ...ἐπιστῶνται in margine ponit Ω.—[v] om Θ.—[w] εἰ εἴτις ς.—[x] εἴτις om Z.—[y] γιγνώσκ^{η}ει Z.—[z] μὴ...καλλίστρατος om ΣΥ.—[a] οὐχ om Ξ.—[b] ὅτε ΑΘΣΥΓΩBCZ.—[c] ἂν om ς.—[d] ἐμοὶ Z.—[e] ἅττα ἃ ἂν ΑΩΖ.—[f] ἐπιστῶνται...ἂν om Θ.—[g] ἂν μὴ Z.—[h] δὲ om Ξ.—[i] καὶ om Z.—[k] οὐδὲ add ΑΘΩBCZ.—[l] δαὶ A.—[m] εἰ ὁ

ὅμοιον ὥσπερ] Nisi pleonasmum hic esse dicamus, scribendum videtur ὥσπερεὶ εἴτις. Steph.

σκόπει δὲ] Rectius δὴ hoc loco scriberetur. Steph.

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ὅ περ καὶ ἀγνοεῖται. ἦ γάρ;

ΣΙ. Πάνυ γε.

ST. iii. 388. ΣΩ. Τί δαί;[l] ὁ τοῦ κύβου διπλασιασμὸς οὐκ οἶσθ' ὅτι ζητεῖται τοῖς γεωμέτραις ὁπόσος τίς ἐστιν εὑρεθῆναι λόγῳ; αὐτὸς δὲ ὁ κύβος οὐ ζητεῖται αὐτοῖς εἰ κύβος ἐστὶν ἢ μή, ἀλλ' ἐπίστανται τοῦτό γε. ἦ γάρ;

ΣΙ. Ναί.

ST. 388. ΣΩ. Οὐκοῦν καὶ περὶ τοῦ ἀέρος Ἀναξαγόραν τε καὶ Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τοὺς μεταρσιολέσχας ἅπαντας οἶσθα ζητοῦντας πότερον ἄπειρός ἐστιν ἢ πέρας ἔχων;

ΣΙ. Ναί.

ΣΩ. Ἀλλ' οὐκ ἐκεῖνο, εἰ ἀήρ[m] ἐστιν. ἦ γάρ;

ΣΙ. Οὐ δῆτα.

§. 3. ΣΩ. Συγχωρήσαις ἂν οὖν μοι καὶ κατὰ τῶν ἄλλων πάντων οὕτως ἔχειν ἤδη[n] μηδὲν μηδενὶ εἶναι ζητεῖν τῶν ἀνθρώπων, ὧν ἂν[o] ἐπίστηταί τις, ἀλλὰ μᾶλλον ὧν ἂν μὴ ἐπίστηται;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ τὸ βουλεύεσθαι τοῦτο ἐδόκει ἡμῖν εἶναι αὐτό, τὸ ζητεῖν τὰ βέλτιστά τινα ἐξευρεῖν περὶ ὧν ἂν δέοιτο διαπράττεσθαι αὐτῷ;

ΣΙ. Ναί.

ΣΩ. Τὸ δὲ ζητεῖν γε, ὅ περ τὸ βουλεύεσθαι ἦν περὶ τῶν πραγμάτων. ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν σκεπτέον ἡμῖν ἐστὶ νῦν ἤδη τί[p] ἐστιν[q] ἐμποδὼν τοῖς ζητοῦσι περὶ ὧν ἂν τὴν ζήτησιν ποιῶνται εἰς τὸ ἐξευρεῖν.

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἆρ' οὖν ἄλλο τι φαίημεν ἂν αὐτοῖς ἐμποδὼν εἶναι ἢ τὴν ἀνεπιστημοσύνην;

ΣΙ. Σκοπῶμεν νὴ Δία.[r]

ἀὴρ ΘΞΥBCs.—[n] ἃ δὴ Z, ἢ δὴ °s.—[o] ἂν om s.—[p] τὸ Ξ.—[q] ἐστιν om Ξs.—[r] σκο-

ΣΩ. Ὑπερφυῶς μὲν οὖν, τὸ λεγόμενόν γε, πάντα κάλων[s] ἐφέντες[t] καὶ πᾶσαν φωνὴν ἐφιέντες. ἄθρει δὲ[u] δὴ μετ' ἐμοῦ τόδε· ἆρά γε νομίζεις οἷόν τέ[v] τι εἶναι ἀνθρώπῳ περὶ μουσικῆς βουλεύεσθαι, μήτε ἐπισταμένῳ περὶ μουσικῆς, III. iii. 541.
μηδὲ ὅπως ἂν κιθαριστέον εἴη αὐτῷ ἢ ἄλλο τι τῶν κατὰ μουσικὴν ποιητέον;

ΣΙ. Οὐκ ἔγωγε.

ΣΩ. Τί δαὶ περὶ στρατηγίας ἢ κυβερνητικῆς; τὸν μὴ ἐπιστάμενον μηδέτερα τούτων οἴει ἔχειν[w] ἄν τι βουλεύσασθαι περὶ τούτων τοῦ ἑτέρου, ὅ τι ποιητέον εἴη αὐτῷ; ὅπως[x] ἢ στρατηγητέον ἢ κυβερνητέον[y] ἐκείνῳ αὐτῷ τῷ[z] μὴ ἐπισταμένῳ μήτε στρατηγεῖν μήτε κυβερνᾶν;

ΣΙ. Οὐχί.

ΣΩ. Ἦ καὶ[a] περὶ τῶν ἄλλων οὖν ἁπάντων οὕτως ἀξιοῖς ἔχειν, περὶ ὧν ἂν μὴ[b] ἐπίστηταί τις, μὴ εἰδέναι μηδὲ βουλεύεσθαί πω δυνατὸν τῷ μὴ ἐπισταμένῳ περὶ αὐτῶν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Ἀλλὰ ζητεῖν περὶ ὧν ἄν τις μὴ ἐπιστήμων ᾖ. ἢ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τὸ μὲν αὐτὸ ἄρα οὐκ ἂν ἔτι εἴη τὸ ζητεῖν τῷ βουλεύεσθαι.

ΣΙ. Πῶς δή;

ΣΩ. Ὅτι τὸ μὲν ζητεῖν ἐστὶ δή που ἐπὶ τούτοις οἷς ἂν μὴ ἐπιστῆταί[c] τις, τὸ δὲ βουλεύεσθαι οὐχ οἷόν τ' εἶναι δοκεῖ περὶ ταῦτα ἀνθρώπῳ, περὶ ἃ ἄν τις μὴ[d] ἐπιστήμων ᾖ. ἢ οὐχ οὕτως ἐλέχθη;

ΣΙ. Πάνυ γε.[e]

ΣΩ. Οὐκοῦν ὑμεῖς χθὲς ἐζητεῖτε τὰ βέλτιστα ἐξευρεῖν τῇ πόλει, οὐκ ἠπίστασθε δὲ[f] αὐτά. εἰ γὰρ ἠπίστασθε, οὐκ ἂν ἔτι δή που ἐζητεῖτε αὐτά,[g] ὥς περ οὐδὲ ἄλλο οὐδὲν ἂν ἂν ἐπιστώμεθα ζητοῦμεν. ἢ γάρ;

τῦφον νὴ Δία] hæc Sisypho dedi cum ΑΞΩΖ.—[s] κάλων Α, κάλον ΩΞ.—[t] malim ἀφιέντες.—[u] δὲ add ΑΩΖ.—[v] libri γέ.—[w] ἔχων Ζ.—[x] ὅπως om ς.—[y] ἢ κυβερνητέον om Ζ.—[z] τῷ om Ξς.—[a] καὶ om Θ.—[b] μὴ δὲ Ζ.—[c] ἐπίσταται Ζ.—[d] μὴ om omnes præter Ξς.—[e] οὐ πάνυ γε Ζ.—[f] ἐπίστασθε δὲ Ζ.—[g] αὐτὸ Ζ.—[h] σε Ζ.

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πότερον οὖν σοι[h] δοκεῖ χρῆναι, ὦ Σίσυφε, ἂν μὴ ἐπίστηταί[i] τις, ζητεῖν ἢ μανθάνειν;

ΣΙ. Μανθάνειν ἔμοιγε νὴ Δία.

III. 390. III. iii. 542. ΣΩ. Ὀρθῶς γέ σοι δοκεῖ. ἀλλ' ἆρά γε καὶ[k] διὰ τοῦτό σοι δοκεῖ χρῆναι μανθάνειν μᾶλλον ἢ ζητεῖν, διότι θᾶττον ἂν καὶ ῥᾷον ἐξεύροι τις, εἰ παρὰ τῶν ἐπισταμένων μανθάνοι, ἢ εἰ αὐτὸς ὁ[l] μὴ εἰδὼς ζητοίη; ἢ δι' ἄλλο τι;

ΣΙ. Οὔκ, ἀλλὰ διὰ τοῦτο.

§. 4. ΣΩ. Τί οὖν οὐκ ἀμελήσαντες χθὲς ὑμεῖς τοῦ βουλεύεσθαι περὶ ὧν ἂν μὴ ἐπίστασθε, καὶ τοῦ ζητεῖν τὰ βέλτιστα διαπράττεσθαι ἐν τῇ πόλει, ἐμανθάνετε παρὰ τῶν[m] ἐπισταμένων τινός, ὅπως ἂν ἐδύνασθε τὰ βέλτιστα διαπράττεσθαι τῇ[n] πόλει; ἀλλ' ἐδοκεῖτέ μοι τὴν ἡμέραν ὅλην τὴν χθὲς αὐτοσχεδιάζοντες καὶ διαμαντευόμενοι[o] καθῆσθαι περὶ ὧν οὐκ ἠπίστασθε, ἀμελήσαντες μανθάνειν, οἵ τε ἄρχοντες τῆς πόλεως καὶ σὺ μετὰ τούτων. ἴσως δ' ἂν φαίης ταῦτα ἐμοί τε εἶναι πεπαιγμένα πρὸς σέ, τοῦ διαλεχθῆναι μόνον εἵνεκα, σοί τε οὐκ ἐσπουδασμένως ἀποδεδεῖχθαι· ἀλλὰ τοῦτό γε πρὸς Διός, ὦ Σίσυφε, σκόπει νῦν σπουδῇ· εἰ δοθείη τὸ[p] βουλεύσασθαί τι εἶναι, καὶ μὴ ὥς περ νῦν οὐδὲν ἐξευρίσκεται ἀλλοῖον ἢ ὅ περ[q] ἐπιστήμη τε καὶ εἰκασία καὶ σχεδιασμός, ὀνόματι σεμνοτέρῳ μόνον κεχρημένον τούτῳ, ἄλλῳ δ' οὐδενί· ἆρ' ἂν οἴει αὐτῷ διενεγκεῖν τι ἑτέρους[r] ἑτέρων πρὸς τὸ εὖ βουλεύεσθαί τε καὶ εὐβούλους εἶναι, ὥς περ καὶ ἐν ταῖς ἄλλαις ἐπιστήμαις ἁπάσαις διαφέρουσιν ἕτεροι ἑτέρων, τέκτονες τεκτόνων ἰατροί τε ἰατρῶν αὐληταί τε αὐλητῶν; οἵ τε ἄλλοι δημιουργοὶ ἅπαντες, αὐτοί τε αὐτῶν διαφέρουσιν; ὥς περ καὶ οὗτοι οἱ ἐν ταύταις ταῖς τέχναις, ἢ οὕτω καὶ[s] ἐν τῷ βουλεύεσθαι οἴει ἄν τι διενεγκεῖν ἑτέρους ἑτέρων;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰπὲ δή μοι· οὐχ ἅπαντες οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς περὶ μελλόντων τινῶν ἔσεσθαι βουλεύονται;

—[i] ἐπιστῆται, ut solet, A.—[k] καὶ add ΑΘΩΖ.—[l] ἢ ὁ ΥΩ, ἢ ὁ Ζ, ἢ ὁ ΘΣΩΒC.—[m] τῶν μὴ ΑΘΣΥΒC et pr (ut videtur) Ω.—[n] ἐν τῇ Θs.—[o] μαντευόμενοι ΩΖ.—[p] τῷ

ΣΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν ἢ τὰ μέλλοντα οὔ πω ἐστίν;

ΣΙ. Οὐ γὰρ δή. III. iii. 542.

ΣΩ. Εἰ γὰρ εἴη,[t] οὐκ ἂν ἔτι δή που[u] μέλλοι ἔσεσθαι, ἀλλ' εἴη ἂν ἤδη. ἦ γάρ;

ΣΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἰ μή πω[v] ἐστίν, οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;

ΣΙ. Οὐ γάρ.

ΣΩ. Οὐκοῦν εἰ μή πω μηδὲ γέγονεν, οὔ πω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν.

ΣΙ. Οὐ γὰρ οὖν.

§. 5. ΣΩ. Ἄλλο τι οὖν οἵ[w] τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς ἅπαντες βουλεύονται περὶ πραγμάτων οὔτε ὄντων οὔτε γεγενημένων οὔτε φύσιν οὐδεμίαν ἐχόντων, ὅταν περὶ τῶν μελλόντων βουλεύωνται;

ΣΙ. Φαίνονταί γε.

ΣΩ. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι τοῦ μὴ ὄντος τυχεῖν τινὶ ἢ εὖ ἢ κακῶς;

ΣΙ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Ἐγώ σοι φράσω, ὅ γε βούλομαι εἰπεῖν. σκόπει III. 391. γάρ. πῶς ἂν τοξοτῶν πολλῶν διαγνοίης τόν τε χρηστὸν καὶ τὸν πονηρὸν ὅς τις εἴη αὐτῶν; ἢ τοῦτο μὲν οὐ χαλεπὸν εἰδέναι; ἴσως γὰρ ἂν κελεύοις αὐτοὺς ἐπὶ σκοποῦ τινὸς τοξεύειν. ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ τὸν πλειστάκις βάλλοντα τοῦ σκοποῦ κατ' ὀρθὸν κρίνοις ἂν νικᾶν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰ δὲ σκοπὸς μηδεὶς εἴη κείμενος αὐτοῖς τοῦ τοξεύειν, ἀλλ' ἕκαστος βάλλοι[x] ὅπως βούλοιτο, πῶς ἂν διαγνοίης[y] τὸν εὖ ἢ κακῶς τοξεύοντα αὐτῶν;

ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν καὶ τοὺς βουλευομένους ἢ εὖ ἢ κακῶς, εἰ

omnes praeter Ξς.—[q] ὅπως Z.—[r] ἑτέρους om Z.—[s] καὶ om Z.—[t] οἴει Z.—[u] τοῦ Z.—[v] πως Zς.—[w] οὖν ἢ οἱ libri.—[x] βάλοι Z.—[y] διαγνοίης om ΞΥC.—[z] δοκεῖ ΑΩΖ,

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πότερον οὖν σοι[h] δοκεῖ χρῆναι, ὦ Σίσυφε, ἂν μὴ ἐπίστηταί[i] τις, ζητεῖν ἢ μανθάνειν;

ΣΙ. Μανθάνειν ἔμοιγε νὴ Δία.

III. 390. III. iii. 542. ΣΩ. Ὀρθῶς γέ σοι δοκεῖ. ἀλλ' ἆρά γε καὶ[k] διὰ τοῦτό σοι δοκεῖ χρῆναι μανθάνειν μᾶλλον ἢ ζητεῖν, διότι θᾶττον ἂν καὶ ῥᾷον ἐξεύροι τις, εἰ παρὰ τῶν ἐπισταμένων μανθάνοι, ἢ εἰ αὐτὸς ὁ[l] μὴ εἰδὼς ζητοίη; ἢ δι' ἄλλο τι;

ΣΙ. Οὔκ, ἀλλὰ διὰ τοῦτο.

§. 4. ΣΩ. Τί οὖν οὐκ ἀμελήσαντες χθὲς ὑμεῖς τοῦ βουλεύεσθαι περὶ ὧν ἂν μὴ ἐπίστασθε, καὶ τοῦ ζητεῖν τὰ βέλτιστα διαπράττεσθαι ἐν τῇ πόλει, ἐμάνθανετε παρὰ τῶν[m] ἐπισταμένων τινός, ὅπως ἂν ἐδύνασθε τὰ βέλτιστα διαπράττεσθαι τῇ[n] πόλει; ἀλλ' ἐδοκεῖτέ μοι τὴν ἡμέραν ὅλην τὴν χθὲς αὐτοσχεδιάζοντες καὶ διαμαντευόμενοι[o] καθῆσθαι περὶ ὧν οὐκ ἠπίστασθε, ἀμελήσαντες μανθάνειν, οἵ τε ἄρχοντες τῆς πόλεως καὶ σὺ μετὰ τούτων. ἴσως δ' ἂν φαίης ταῦτα ἐμοί τε εἶναι πεπαιγμένα πρὸς σέ, τοῦ διαλεχθῆναι μόνον εἵνεκα, σοί τε οὐκ ἐσπουδασμένως ἀποδεδεῖχθαι· ἀλλὰ τοῦτό γε πρὸς Διός, ὦ Σίσυφε, σκόπει νῦν σπουδῇ· εἰ δοθείη τὸ[p] βουλεύσασθαί τι εἶναι, καὶ μὴ ὥς περ νῦν οὐδὲν ἐξευρίσκεται ἀλλοῖον ἢ ὅ περ[q] ἐπιστήμη τε καὶ εἰκασία καὶ σχεδιασμός, ὀνόματι σεμνοτέρῳ μόνον κεχρημένον τούτῳ, ἄλλῳ δ' οὐδενί· ἆρ' ἂν οἴει αὐτῷ διενεγκεῖν τι ἑτέρους[r] ἑτέρων πρὸς τὸ εὖ βουλεύεσθαί τε καὶ εὐβούλους εἶναι, ὥς περ καὶ ἐν ταῖς ἄλλαις ἐπιστήμαις ἁπάσαις διαφέρουσιν ἕτεροι ἑτέρων, τέκτονες τεκτόνων ἰατροί τε ἰατρῶν αὐληταί τε αὐλητῶν; οἵ τε ἄλλοι δημιουργοὶ ἅπαντες, αὐτοί τε αὑτῶν διαφέρουσιν; ὥς περ καὶ οὗτοι οἱ ἐν ταύταις ταῖς τέχναις, ἢ οὕτω καὶ[s] ἐν τῷ βουλεύεσθαι οἴει ἄν τι διενεγκεῖν ἑτέρους ἑτέρων;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰπὲ δή μοι· οὐχ ἅπαντες οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς περὶ μελλόντων τινῶν ἔσεσθαι βουλεύονται;

—[i] ἐπιστῆται, ut solet, A.—[k] καὶ add ΛΘΩΖ.—[l] ἢ ὁ ΥΩ, ἢ ὁ Ζ, ἢ ὁ ΘΞΩΒC.—[m] τῶν μὴ ΛΘΞΥΒC et pr (ut videtur) Ω.—[n] ἐν τῇ Θs.—[o] μαντευόμενοι ΩΖ.—[p] τῷ

ΣΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν ἢ τὰ μέλλοντα οὔ πω ἐστίν;

ΣΙ. Οὐ γὰρ δή. III. iii. 512.

ΣΩ. Εἰ γὰρ εἴη,[t] οὐκ ἂν ἔτι δή που[u] μέλλοι ἔσεσθαι, ἀλλ' εἴη ἂν ἤδη. ἦ γάρ;

ΣΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἰ μή πω[v] ἐστίν, οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;

ΣΙ. Οὐ γάρ.

ΣΩ. Οὐκοῦν εἰ μή πω μηδὲ γέγονεν, οὔ πω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν.

ΣΙ. Οὐ γὰρ οὖν.

§. 5. ΣΩ. Ἄλλο τι οὖν οἵ[w] τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς ἅπαντες βουλεύονται περὶ πραγμάτων οὔτε ὄντων οὔτε γεγενημένων οὔτε φύσιν οὐδεμίαν ἐχόντων, ὅταν περὶ τῶν μελλόντων βουλεύωνται;

ΣΙ. Φαίνονταί γε.

ΣΩ. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι τοῦ μὴ ὄντος τυχεῖν τινὶ ἢ εὖ ἢ κακῶς;

ΣΙ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Ἐγώ σοι φράσω, ὅ γε βούλομαι εἰπεῖν. σκόπει III. 391.
γάρ. πῶς ἂν τοξοτῶν πολλῶν διαγνοίης τόν τε χρηστὸν καὶ τὸν πονηρὸν ὅς τις εἴη αὐτῶν; ἢ τοῦτο μὲν οὐ χαλεπὸν εἰδέναι; ἴσως γὰρ ἂν κελεύοις αὐτοὺς ἐπὶ σκοποῦ τινὸς τοξεύειν. ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ τὸν πλειστάκις βάλλοντα τοῦ σκοποῦ κατ' ὀρθὸν κρίνοις ἂν νικᾶν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰ δὲ σκοπὸς μηδεὶς εἴη κείμενος αὐτοῖς τοῦ τοξεύειν, ἀλλ' ἕκαστος βάλλοι[x] ὅπως βούλοιτο, πῶς ἂν διαγνοίης[y] τὸν εὖ ἢ κακῶς τοξεύοντα αὐτῶν;

ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν καὶ τοὺς βουλευομένους ἢ εὖ ἢ κακῶς, εἰ

omnes præter Ξs.—[q] ὅπως Z.—[r] ἑτέρους om Z.—[s] καὶ om Z.—[t] οἴει Z.—[u] τοῦ Z.—[v] πως Zs.—[w] οὖν ἢ οἱ libri.—[x] βάλοι Z.—[y] διαγνοίης om ΞΥC.—[z] δοκεῖ ΛΩΖ,

μὴ ἐπίσταιντο περὶ ὅτου βουλεύοιντο, ἀπορήσειας ἂν διαγνῶναι;

III. iii. 544. ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν εἰ περὶ μελλόντων πραγμάτων βουλεύονται οἱ βουλευόμενοι, περὶ τῶν οὐκ ὄντων βουλεύονται;

ΣΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τοῦ γε μὴ ὄντος οὐχ οἷόν τ' οὐδενὶ τυχεῖν ἐστί. πῶς γὰρ ἄν τίς σοι δοκεῖ[1] τοῦ μὴ ὄντος δύνασθαι τυχεῖν;

ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν ἐπειδὴ οὐκ ἔστι τοῦ μὴ ὄντος τυγχάνειν οἷόν τε, οὐδεὶς ἂν ἔτι περὶ τῶν μὴ ὄντων βουλευόμενος τυγχάνοι. τὰ γὰρ μέλλοντα τῶν οὐκ ὄντων ἐστίν. ἢ γάρ;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδ' ὁ μὴ τυγχάνων τῶν μελλόντων, οὐδεὶς ἂν οὔτ' εὔβουλος οὔτε κακόβουλος εἴη ἀνθρώπων ἔτι.

ΣΙ. Οὐ φαίνεται.

ΣΩ. Οὐδέ γε εὐβουλότερος οὐδὲ κακοβουλότερος ἕτερος ἑτέρου εἶναι, εἰ καὶ μὴ ἐπιτυχέστερος καὶ ἀποτυχέστερος[a] εἴη τοῦ μὴ ὄντος.

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πρὸς τί[b] οὖν ποτὲ ἀποβλέποντες ἄνθρωποι πρᾶγμα ἀποκαλοῦσιν ἀνθρώπους εὐβούλους τε καὶ κακοβούλους εἶναί τινας; ἆρά γε ἄξιόν ἐστι καὶ αὖθίς ποτε περὶ αὐτοῦ ἐνθυμηθῆναι, ὦ Σίσυφε;

[1] δοκῇ ceteri : δοκοῖ ς.—[a] ἀτυχέστερος Z.—[b] τίνα ΩZ.

ΕΡΥΞΙΑΣ.

---

§. 1. Ἐτυγχάνομεν περιπατοῦντες[a] ἐν τῇ στοᾷ τοῦ III. 392.
Διὸς τοῦ ἐλευθερίου ἐγώ τε καὶ Ἐρυξίας ὁ Στειριεύς·[b] III. iii. 545.

CODICES SEPTEM,
ΑΘΣΩΒCZ.

[a] περιπατοῦν Z.—[b] στιριεὺς ΑΩΖ.—[c] προσηλθέτην ΘΣΒC, προηλθέτην ΑΩΖ:

Ἐρυξίας] De hujus dialogi auctore non una fuit eademque omnium veterum sententia. Fuisse enim, qui eum ab ipso Platone profectum opinarentur, ex eo intelligitur, quia Diog. L. (iii. 62.) eum referri haud dubie inter fetus Platoni suppositos debere monet. Verba ejus hæc sunt, *Νοθεύονται δὲ τῶν Διαλόγων ὁμολογουμένως—Ἐρυξίας, ἢ Ἐρασίστρατος*. Unde etiam in Codicibus Platonis, editionibusque antiquis, in numero dialogorum *νοθευομένων* positus cernitur; etsi in exemplo Eclogarum Ethicarum Stobæi Veneto Platoni tribuitur, ut c. 90. H h, 4. A. c. 92. H h, 7. B. et c. 95. Ii. 6. A. add. Hemsterh. ad Polluc. p. 1053. Sed alii eum ab Socratico Æschine compositum credidere; quorum auctoritatem Suidas sequutus est, vel potius is, cui Suidas sua debet: apud quem, in nomine *Αἰσχίνης*, hæc leguntur, *Διάλογοι δὲ αὐτοῦ—καὶ οἱ καλούμενοι Ἀκέφαλοι—Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος*—: quæ posteriora verba sunt procul dubio mendosa. Arbitror enim, aut scribendum esse, ut Clericus p. 35. monuit, *περὶ Ἀρετῆς, Ἐρυξίας ἢ Ἐρασίστρατος*, ut sint duo unius dialogi indices; ut Epicharmus composuerat fabulam, quæ inscripta esset *Πύῤῥα, ἢ Προμαθεύς*· v. Hemsterh. ad Polluc. p. 1251. aut delendum omnino *Ἐρασίστρατος*. Et prior quidem ratio confirmari posse videtur auctoritate, et Laertii, et Codicis Medicei, in quo inscriptus erat dialogus, *Ἐρυξίας ἢ Ἐρασίστρατος*. Posteriori autem emendationi nescio, an ponderis aliquid accedat eo, quod in aliis olim codicibus titulus dialogi fuit *Ἐρυξίας*, ut in Cod. Medic. notatum erat; in aliis *Ἐρασίστρατος*, ut colligi potest e verbis, quæ in Ald. Bas. 1. 2. et Stephan. titulo *Ἐρυξίας ἢ περὶ πλούτου* adjecta sunt his, *ἐν ἄλλῳ· Ἐρασίστρατος*. Horreus Suidam ipsum putabat errasse, et ex indice unius dialogi fecisse indices dialogorum duorum. Fisch.

§. 1. *ἐλευθερίου*] In Catal. Cod. Gr. bibl. Laurent. t. iii. p. 264. editum est e Cod. nono plut. 85. scholion hoc: *Τὸν Μῆδον ἐκφυγόντες Ἀθηναῖοι ἱδρύσαντο τὸν ἐλευθέριον Δία· τοῦτον δὲ ἔνιοι καὶ Σωτῆρά φασιν. Τιμᾶται δὲ ἐλευθέριος Ζεὺς καὶ ἐν Συρακούσαις, καὶ Ταραντίνοις, καὶ Πλαταιαῖς, καὶ Καρίᾳ*. Fisch.

εἶτα προσηλθέτην[c] ἡμῖν Κριτίας τε καὶ Ἐρασίστρατος ὁ Φαίακος τοῦ Ἐρασιστράτου ἀδελφιδοῦς. ἐτύγχανε δὲ[d] τότε νεωστὶ παρὼν ἀπὸ Σικελίας καὶ τῶν τόπων τούτων ὁ Ἐρασίστρατος. προσελθὼν δ' ἔφη, Χαῖρε, ὦ Σώκρατες. Καὶ σύ γε, ἦν δ' ἐγώ· τί γάρ; καλόν τι ἀπὸ Σικελίας ἔχεις λέγειν ἡμῖν; Καὶ πάνυ. ἀλλὰ βούλεσθ', ἔφη, πρῶτον καθιζώμεθα;[e] κέκμηκα γὰρ χθὲς βαδίσας Μεγαρόθεν. Πάνυ γ', εἰ δοκεῖ. Τί οὖν, ἔφη, βούλεσθε πρῶτον ἀκούειν τῶν ἐκεῖ; πότερον περὶ αὐτῶν ἐκείνων ὅ τι πράττου-

προσελθέτην s.—[d] δὲ om Σ.—[e] καθεζώμεθα ΘC, καθιζοίμεθα Σ.—[f] ἔχουσαν Σ.—

ἀδελφιδοῦς] Ita Ald. et Bas. 1. 2. Neque dubitari potest, quin recte ediderint: nam Erasistratus fuit filius fratris Phæacis, Erasistrati filii, non filius Phæacis, ut docuit Taylor. in Lect. Lysiacis p. 695. Sed Steph. et cum eo Clericus atque Horreus, qui putarent, Erasistratum priorem fuisse filium Phæacis, verba ita distinxerunt, atque distinguenda censuerunt, ὁ Φαίακος, τοῦ Ἐρασιστράτου ἀδελφιδοῦς. At tum auctor dialogi serviisset, credo, perspicuitati sic, ut scriberet Ἐρασίστρατος, ὁ Φαίακος παῖς, τοῦ Ἐρασιστράτου ἀδελφιδοῦς, ut Herodot. vi. 94. Ἀρταφέρνεα, τὸν Ἀρταφέρνεος παῖδα, ἀδελφιδεὸν ἑωϋτοῦ. Fisch.

καλόν τι] Mihi suspectum est vocabulum καλόν. Neque enim responsio Erasistrati sic satis congruere Socratis quæstioni reperietur. Suspicor igitur, emendandum esse καινόν· qua in sententia jam Corradum, ne quid dissimulasse videar, fuisse reperi: cujus tamen ea fuit diligentia, ut in versione Latina utrumque vocabulum, et καινὸν et καλὸν, exprimeret: reddidit enim totum locum sic, *ecquid novi nobis ex Sicilia affers? an habes pulcri aliquid, quod nobis referas?* Etiam apud Plat. Polit. iii. p. 402. Bas. 1. καινὸν pro καλὸν, quod est in Ald. et Bas. 1. reponendum vidit Cornar. sed jam in Bas. 2. legitur καινὸν, quod Steph. inde in suum exemplum transtulit. Fisch.

Μεγαρόθεν] Nam Megara aberant Athenis millia passuum paulo amplius viginti: v. Gellius vi. 10. Fisch.

ἐκείνων] Verba hæc referri debent ad Σικελιωτῶν, vel Σικελῶν, quod continetur nomine Σικελίας, quod præcedit, et verbis τῶν ἐκεῖ. Quam formam loquendi quum Abreschius (Auctar. Thucyd. p. 364. 382.) aliique viri docti, ut Hemsterh. ad Aristoph. Plut. p. 172. explicarint: nobis quoque licebit exempla ejus pauca, sed exquisita tamen, quæ notavimus inter legendum, afferre. Plat. Theæt. 2. εἰ μὲν τῶν ἐν Κυρήνῃ μᾶλλον ἐκηδόμην—τὰ ἐκεῖ ἄν σε, καὶ περὶ ἐκείνων ἀνηρώτων. Hom. Odyss. A. 387. ὅ τοι γενεῇ πατρώϊόν ἐστι· et 390. Καί κεν τοῦτ' ἐθέλοιμι, Διός γε διδόντος, ἀρέσθαι· intell. τὸ βασιλεύειν, quod latet in vocabulo βασιλῆα 386. Odys. Ω. 299. ἢ ἔμπορος εἰλήλουθας Νηὸς ἐπ' ἀλλοτρίης· οἱ δ' ἐκβήσαντες ἔβησαν· ad quem locum Eustath. p. 1961. Rom. hæc notavit, Ἔνθα ὅρα καὶ τὸ οἱ δὲ, ἀντὶ τοῦ ναῦται, νοηθέντες Ἀττικῶς ἐκ τῆς νηός. Herodot. iv. 43. ὁ Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον, καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τουτέων· et vi. 105. ἄλλως δὲ ἡμεροδρόμον τε, καὶ τοῦτο μελετῶντα: add. v. 63. viii. 121. 227. Sic apud Eurip. Phœn. 12. τοῦτο—πατὴρ ἔθετο, pronomen τοῦτο referri debet ad ὄνομα, quod continetur præcedenti verbo καλοῦσιν. Aristoph. Plut. 502. πολλοὶ—πλουτοῦσι—Ἀδίκως αὐτὰ ξυλλεξάμενοι· intell. χρήματα e verbo πλουτοῦσι, add. v. 524. 566. Conf. Davis. ad Cic. de divinat. ii. 61. 1. Imitati sunt Græcos etiam hoc in genere Latini, ut Cortius notavit ad Sallust. Catil. xviii. 1. Sic Cic. Tusc. i. 2. 'in Græcia musici floruerunt, discebantque id omnes.' Brut. 73. 'quo enim uno vincebamur a victa Græcia, id aut ereptum illis est, aut certe nobis cum illis communicatum.' Nep. Alcib. ii. 3. 'postquam inde expulsus Thebas venerit, adeo studiis eorum inseruisse.' Fisch.

σιν, ἢ ὅπως πρὸς τὴν πόλιν ἔχουσι[f] τὴν ἡμετέραν; ἐκεῖνοι γὰρ ἐμοὶ δοκοῦσι πεπονθέναι πρὸς ἡμᾶς οἷόν περ οἱ σφῆκες. καὶ γὰρ τούτους ἐάν τις κατὰ σμικρὸν ἐρεθίζων ὀργίσῃ, ἄμαχοι γίγνονται, ἕως τις αὐτοὺς ἐπιθέμενος πανοικὶ ἐξέλῃ. οὕτως οὖν καὶ οἱ Συρακόσιοι,[g] εἰ μή τις ἔργον ποιησάμενος σφόδρα μεγάλῳ στόλῳ ἥξει ἐκεῖσε, οὐκ ἔστιν ὅπως ἐκείνη ἡ πόλις ἔσται ποτὲ ἡμῖν ὑποχειρία. ὑπὸ δὲ τῶν σμικρῶν τούτων ἂν μᾶλλον ὀργίζοιντο,[h] οὕτως ὡς ἂν μάλιστα χαλεπώτατοι εἴησαν. πεπόμφασι δὲ καὶ νῦν ὡς ἡμᾶς πρέσβεις, ὡς μὲν ἐμοὶ δοκεῖ, βουλόμενοί τι ἐξαπατῆσαι τὴν πόλιν. [§. 2.] Μεταξὺ δὲ ἡμῶν διαλεγομένων ἐτυχέτην οἱ III. iii. 546.
Συρακόσιοι[i] πρέσβεις παριόντες. εἶπεν οὖν ὁ Ἐρασίστρατος, δείξας εἰς τὸν ἕνα τῶν πρέσβεων, Οὑτοσὶ μέντοι, ἔφη, ὦ Σώκρατες, πλουσιώτατός ἐστι τῶν Σικελιωτῶν καὶ Ἰταλιωτῶν. πῶς δ' οὐχί, ἔφη, ᾧ γε[k] ὑπάρχει[l] γῆ τε ἄφθονος οὕτως, ὥς τε εὐπορίαν εἶναι, εἴ τις βούλοιτο, πάνυ πολλὴν γεωργεῖν; καὶ αὕτη[m] μὲν τοιαύτη οἵα οὐχ ἑτέρα ἄλλη ἔν γε[n] τοῖς Ἕλλησιν. ἔτι δὲ τἆλλα τὰ εἰς πλοῦτον ἥκοντα ἁπλᾶ,[o] τὰ ἀνδράποδα καὶ ἵπποι[p] καὶ χρυσὸς καὶ ἄργυρος.

[g] συρακόσιοι ΛΩ, συρακόσσιοι ΘΒ, συρρακούσιοι C: συρακούσιοι *ς.—[h] ὀργίζοιτο Ω Ζ.—[i] συρακόσιοι ΛΩ, συρακόσσιοι ΘΣΒC.—[k] ὧδε Ζ.—[l] ὑπάρχειν Θ.—[m] αὐτὴ ΛΘΣΒ

ἕως τις αὐτοὺς—ἐξέλῃ] Videtur legendum ἕως τις ἂν αὐτοὺς—ἐξέλῃ. Fisch.

Συρακόσιοι] Libri editi omnes habent h. l. et c. 2. Συρακούσιοι. Sed in Cod. Med. utroque loco legitur Συρακόσιοι· quæ quidem scriptura repudiari temere non debet. Nam, et Steph. Byz. notavit gentile Συρακοσεὺς, et apud Diodor. Sic. t. ii. p. 490. Συρακόσα legitur pro Συρακοῦσαι· ubi v. Wesseling. et Dorvill. ad Chariton. p. 592. Accedit, quod in libris Xenophontis Sympos. ii. 1. 13. 16. —scriptum est Συρακόσιος, ut in numis antiquis, auctore Havercampio in dissert. de veteri et varia litterarum apud Græcos scriptura et usu c. 10. p. 258. Revocare igitur non dubitavimus hanc scripturam pro illa altera. Fisch.

Συρακόσιοι] Scripsi simplici σ, ex cod. Medic. variantibus passim libris, de quo v. Dorvill. ad Chariton. p. 562. Nummi quidem, quamquam uno consensu habent Συρακοσίων, parum me movent, quum Doriensium civitatum scriptura normam præbere Atticis scriptoribus haud possit: sed quum pro notiore Συρακούσιοι optimi libri passim reconditius illud habeant, prius a librariis profectum esse apparet, iisque imperitioribus. V. Xenoph. Sympos. ii. 13. 16. vi. 6. vii. 5. viii. 1. ix. 2. Boeckh.

§. 2. παριόντες] Cornar. *aderant*: perinde ac si legi debeat παρόντες. Fisch.

ἁπλᾶ] Rectissime Horreus ἁπλᾶ defendit, quod Cornarius sibi mutandum videbatur in ἅπαντα. At ἁπλᾶ dictum est pro ἁπλῶς, atque hoc significat *omnino*, *universe*. Hanc tamen loci interpretationem, quæ haud dubie verissima est, displicuisse scimus primo viro cuidam docto, qui sub nomine Rubenii latere voluit, hist. Crit. reip. litter. vet. et recent. t. viii. p. 166. deinde Hemsterhusio, et post eum Toupio. Et Hemsterhusio quidem auctor

Ὁρῶν δ' ἐγὼ αὐτὸν ἀναγόμενον, ὡς ἀδολεσχήσοντα[q] περὶ
III. 393. τῆς οὐσίας τῆς τοῦ ἀνθρώπου, ἠρόμην, Τί δαί,[r] ὦ Ἐρασίστρατε; ἀνὴρ ποῖός τις εἶναι δοκεῖ ἐν τῇ Σικελίᾳ; Οὗτος, ἔφη, Σικελιωτῶν καὶ Ἰταλιωτῶν καὶ δοκεῖ καὶ ἔστι πλεῖν[s] πάντων πονηρότατος ἢ ὅσῳ πλουσιώτατος, οὕτως ὥς τ' εἴ τινα βούλει Σικελιωτῶν ἐρωτᾷν ὅν τινα[t] πονηρότατον νομίζει[u] εἶναι καὶ πλουσιώτατον, οὐδεὶς ἂν φήσειεν ἄλλον ἢ τοῦτον. [§. 3.] Οἰηθεὶς δ' αὐτὸν ἐγὼ οὐ περὶ σμικρῶν[v] τὸν λόγον ποιεῖσθαι, ἀλλὰ περὶ τῶν μεγίστων δοκούντων εἶναι,[w] ἀρετῆς τε πέρι καὶ πλούτου, ἠρόμην πότερον ἂν φαίη πλουσιώτερον εἶναι ἄνθρωπον, ὅτῳ δύο[x] τυγχάνει τάλαντα[y] ἀργυρίου, ἢ ὅτῳ ἀγρὸς ἄξιος δυοῖν ταλάντοιν. Οἶμαι μὲν ἐγώ, ἔφη, ὅτῳ ἀγρός. Οὐκοῦν, ἔφην ἐγώ, κατὰ τὸν αὐτὸν λόγον, καὶ εἰ τυγχάνοι[z] τῳ ἱμάτια ὄντα ἢ στρώματα ἢ τἆλλα ἔτι[a] πλέονος ἄξια ἢ ὅσου[b] τῷ ξένῳ, οὗτος εἴη ἂν[c] πλουσιώτερος. Συνέφη καὶ ταῦτα. Εἰ δέ τίς σοι διδοίη αἵρεσιν τούτοιν, πότερον ἂν βούλοιο; Ἐγὼ μὲν ἄν, ἔφη, τὸ πλείστου[d] ἄξιον. Ποτέρως ἂν οἰόμενος πλουσιώτερος εἶναι;

C.—[n] τε Ω, τε ἐν Z: om A.—[o] ἀπλὰ Z.—[p] οὔπποι Z.—[q] ἀδολεσχήσοντα Ω.—[r] δαὶ ΑΩΖ.—[s] πλείω Z.—[t] ὅτινα Θ.—[u] νομίζειν Z.—[v] σμικρῶν ΑΘΣΩC, σμικρὸν Z: μικρῶν *ς.—[w] εἶναι om Θ.—[x] ὃν ΑΘΞΩΒCZ, οὖν corr A.—[y] τάλαντον Z.—[z] τυγχάνοι ΑΩ: τυγχάνει *ς.—[a] ἐπὶ mei omnes.—[b] ὅσον Z.—[c] εἴη ἂν ΑΩΖ: ἂν εἴη *ς.

dialogi scripsisse videbatur ἔπιπλα, aut τἄπιπλα· quam ejus emendationem assensú suo comprobarunt Albert. ad Hesych. t. i. p. 1376. et Kœn. ad Gregor. p. 245. sed Toup. Opusc. Crit. t. ii. p. 162. Lips. scribi malebat τὰ ἔπιπλα, sic, τὰ εἰς πλοῦτον ἥκοντα, τὰ ἔπιπλα, τὰ ἀνδράποδα. Cf. Xen. Memor. ii. 4. 2. καὶ γὰρ οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα, καὶ σκεύη, κτωμένους. Si quid vero mutandum sit, malim cum viro docto, quem supra laudavimus pro ἀπλᾶ τὰ legere ἄπλατα h. e. *immensa*. Hæc enim emendatio, et simplicissima est, et orationi Erasistrati accommodatissima, quæ eandem etiam concinniorem reddat, γῆ ἄφθονος—τἄλλα τὰ εἰς πλοῦτον ἥκοντα ἄπλατα. Mœris: Ἄπλατον, Ἀττικῶς· ἄπλετον, Ἑλληνικῶς: add. Pollux iii. 88. et nos ad Plat. Soph. xxxiii. 10. Herodot. i. 215. ὁ δὲ χαλκὸς καὶ ὁ χρυσὸς, ἄπλετος. FISCH. τἄπιπλα est verissima correctio Hemsterhusii et Toupii. BOECKH.

§. 3. ὃν τυγχάνει] Ita Cod. Medic. Cf. paulo post εἰ τυγχάνει—ὄντα· c. 8. εἴγε τυγχάνοιεν ὄντες, et ἥτε χρῆσις πολλὴ τυγχάνει οὖσα· c. 13. εἰ μὲν αὐτὸς ἐτύγχανον ἱππικὸς ὤν· et c. 14. εἰ μὲν πλούσιος τυγχάνει ὤν. Aristoph. Plut. 35. ὥσπερ ἂν μόνος μοι τυγχάνει. Atque sic scriptores veteres et probi semper loquuti sunt: sed librarii sæpenumero particip. verbi εἰμὶ omiserunt: v. ad Plat. Apol. xxviii. 8. Sic apud Plat. Alcib. i. p. 436. A. Francof. in omnibus libris editis legitur, τυγχάνει δὲ δυνατὸν ἀποδεῖξαι, sed legi debet e Cod. Tub. δυνατὸν ὂν ἀποδ. FISCH.

ὃν τυγχάνει] Recepi necessariam scripturam libri Medicei. BOECKH.

ἔτι] Ald. Bas. 1. 2. ἐπί. Similiter apud Xen. Cyrop. vii. 1. 4. in Junt. Ald. et Cod. Gu. est ἐπιπρόσω pro ἔτι πρόσω, ut scriptum legitur in Cod. Bodl. et Alt. FISCH.

Οὕτως.[e] Νυνὶ μὲν ἄρα φαίνεται οὗτος ἡμῖν ἂν πλουσιώ-
τατος, ὅς τις πλείστου[d] ἄξια κέκτηται; Ναί, ἔφη. [§. 4.]
Οὐκοῦν, ἦν δ' ἐγώ, οἱ ὑγιαίνοντες τῶν καμνόντων πλουσιώ-
τεροι ἂν εἴησαν, εἴ περ ἡ ὑγίεια[f] πλείονος ἄξιον κτῆμα ἢ
τὰ[g] τοῦ κάμνοντος χρήματα. οὐδείς γ'[h] ἂν οὖν ὅς τις οὐ-
χὶ προτιμήσειεν ὑγιαίνειν ὀλίγον κεκτημένος ἀργύριον, μᾶλ- III. iii. 547.
λον ἢ τὰ βασιλέως τοῦ μεγάλου χρήματα κεκτημένος νο-
σεῖν, δῆλον ὅτι πλείονος ἄξιον οἰόμενος εἶναι τὴν[i] ὑγίειαν.
οὐ γὰρ ἄν ποτε προῃρεῖτο, εἰ μὴ προτιμότερον ἡγεῖτο εἶναι
τῶν χρημάτων. Οὐ γάρ. Οὐκοῦν καὶ εἴ τι ἄλλο φαί-
νοιτο πλείονος ἄξιον τῆς ὑγιείας, ὁ τοῦτο κεκτημένος, οὗτος
ἂν πλουσιώτατος εἴη. Ναί. Εἰ δὲ δή τις ἡμᾶς νυνὶ προσ-
ελθὼν ἔροιτο, Ὦ Σώκρατες καὶ Ἐρυξία καὶ Ἐρασίστρατε,
ἔχοιτ' ἂν εἰπεῖν μοι τί ἐστιν ἀνθρώπῳ πλείστου ἄξιον κτῆ-
μα; ἆρά γε τοῦτο ὃ κτησάμενος ἄνθρωπος ἄριστα βου-
λεύοιτο περὶ τούτου, ὅπως ἂν βέλτιστα λίαν πράττοι[k] τά
τε αὐτὸς αὑτοῦ πράγματα καὶ τὰ τῶν φίλων; τί ἂν εἶναι
τοῦτο φήσαιμεν; Ἐμοὶ μὲν δοκεῖ,[l] ὦ Σώκρατες, εὐδαιμονία
πλείστου ἄξιον ἀνθρώπῳ εἶναι. Καὶ οὐ κακῶς γ', ἔφην
ἐγώ· ἀλλ' ἆρά γε τούτους[m] ἂν τῶν ἀνθρώπων εὐδαιμονε-
στάτους ἡγησαίμεθα εἶναι, οἵ τινες μάλιστα εὖ πράττοιεν;
Ἐμοὶ γοῦν δοκοῦσιν. [§. 5.] Οὐκοῦν ἂν οὗτοι ἄριστα
πράττοιεν, ὅσοι περ καὶ ἐλάχιστα ἐξαμαρτάνοιεν περὶ σφᾶς
αὐτοὺς καὶ περὶ τοὺς ἄλλους ἀνθρώπους, τὰ δὲ πλεῖστα
κατορθοῖεν; Πάνυ γε. Οὐκοῦν οἱ ἐπιστάμενοι τὰ κακὰ
καὶ τὰ ἀγαθά, καὶ ὅσα πρακτέα καὶ ὅσα μή, οὗτοι ἂν ὀρ- III. 394.
θότατα πράττοιεν καὶ ἐλάχιστα ἐξαμαρτάνοιεν; Συνεδό-
κει καὶ ταῦτα. Νῦν ἄρα ἡμῖν φαίνονται οἱ αὐτοὶ ἄνδρες
σοφώτατοί τε καὶ ἄριστα πράττοντες καὶ εὐδαιμονέστατοι[n]
καὶ πλουσιώτατοι,[o] εἴ περ ἄρα ἡ σοφία τοῦ πλείστου[p]

—[d] πλεῖστον Z.—[e] οὕτως C: οὕτω *ς.—[f] ὑγία Θ.—[g] κατὰ Θ.—[h] γὰρ ς.—[i] τὴν ...εἶναι om Z.—[k] πράττοιτο mei omnes.—[l] δοκεῖ om Z.—[m] τούτοις C.—[n] εὐδαιμονοῦντες Z.—[o] post πλουσιώτατοι iterum ponit illa, καὶ εὐδαιμονέστατοι Θ.—[p] πλεί-

§. 4. οὐδεὶς γὰρ ἂν οὖν] Cod. Medic. οὐδεὶς γὰρ οὖν. Fisch.

πράττοι τὰ] Ald. Bas. 1. 2. πράττοιτο τά. Steph. recte πράττοι dedit. Confirmat istam emendationem etiam Cod. Med. Fisch.

§. 5. τοῦ πλείστου] Lectio τὸ πλείστου ἄξιον est ex sola conjectura profecta:

[illegible] ὁ [illegible] ἐν τῷ [illegible] σοφία [illegible] γε οὐδὲν [illegible] ἐκπλήξειν; [illegible] Ἀλλὰ τοίνυν, [illegible] ποτε, εἰ [illegible] οὐδὲν [illegible] καὶ [illegible] §. 6. Εἰ γε τυγχάνοιμι, [illegible] σοφίαν, ἐπεὶ εἰ γε [illegible] περὶ πλείονος [illegible] πολὺ μᾶλλον [illegible] δεόμενος

[illegible] C [illegible] Z [illegible] Z [illegible] Θ et [illegible] Z [illegible] Θ [illegible] Z [illegible] ἔχει [illegible]: ἔχει [illegible].—

[illegible] c. 4. [illegible] Boeckh.

'Ἐρυξίας] Ita edidimus pro ὁ 'Ἐρασίστρατος, quod nomen est in omnibus libris, et verborum καὶ οὗτος, et totius sermonis, jussu atque auctoritate. Adjuvant hanc emendationem verba Socratis c. 5. ὦ Ἐράσιστρατε, καὶ 'Ἐρυξία, καὶ 'Ἐρασίστρατε. Fisch. Eryxiæ nomen optime restituit editor Lipsiensis, cui in Eryxia et Axiocho dialogis plura eximia debentur. Boeckh.

Πολυτίωνος] Meursius Athen. Att. i. 3. p. 18. hic, et c. 24. corrigi jubebat Πουλυτίωνος. Quæ quidem emendatio nisi ratione non caret; nam in Cod. Med. c. 24. prima manus scripserat Πολυτίωνος, sed manus correctrix ex ο fecerat ου neque libri Isocratis, Andocidis, Plutarchi, Pausaniæ, aliorum, aliter scriptum hoc nomen exhibent: tamen non est penitus [illegible]: nam in multis [illegible] nominibus inserta reperitur litera υ quod genus Πουλυδάμας, pro Πολυδάμας v. Sylburg. ad Pausan. p. 463. Kuhn. atque πούλυπον Attici dixerunt, non tantum πόλυπον: v. Eustath. ad Odyss. E p. 1541. Rom. et apud Suid. v. [illegible] legitur, ἐν τῇ οἰκίᾳ Πουλυτίωνος leg. Πουλυτίωνος quæ tamen verba, non minus, quam nomen τοῦ [illegible], omisit in Lexico suo Phavorinus. At quia tamen hæc nominis scriptura recentioribus librariis deberi videtur, non dubitavimus nunc auctoritati Meursii, et hoc loco, et infra c. 24. parere, et pro Πουλυτίωνος, quod est in libris editis omnibus, reponere Πολυτίωνος. Fisch.

καὶ βούλοιτο καὶ αὐτὴν καὶ τὰ ἔργα τὰ[z] ἀπὸ ταύτης διατίθεσθαι. ἢ τῆς μὲν οἰκίας ἥ τε χρῆσις πολλὴ[a] τυγχάνει οὖσα καὶ ἀναγκαία,[b] καὶ μεγάλα τῷ ἀνθρώπῳ τὰ διαφέροντα τὰ πρὸς τὸν βίον, ἐν τῇ τοιαύτῃ οἰκίᾳ οἰκεῖν μᾶλλον ἢ ἐν σμικρῷ καὶ φαύλῳ οἰκιδίῳ· τῆς δὲ σοφίας ἥ τε χρεία ὀλίγου ἀξία καὶ τὰ διαφέροντα σμικρά, ἢ σοφῷ ἢ ἀμαθεῖ εἶναι περὶ τῶν μεγίστων; ἢ τούτου[c] μὲν καταφρονεῖν τοὺς ἀνθρώπους καὶ μὴ εἶναι ὠνητάς, τῆς δὲ κυπαρίττου τῆς ἐν τῇ οἰκίᾳ καὶ Πεντελικῶν[d] λίθων πολλοὺς τοὺς δεομένους τε καὶ βουλομένους πρίασθαι; οὔκουν ἂν εἴ γε σοφὸς εἴη κυβερνήτης, οὐδὲ ἰατρὸς σοφὸς τὴν τέχνην, ἤ τιν' ἄλλην τῶν τοιουτοτρόπων τεχνῶν[e] εὖ καὶ καλῶς[f] δύναιτο μεταχειρίζεσθαι, οὐδενὸς ὅτου οὐκ ἂν ἐντιμότερος εἴη τῶν κατὰ τὰς οὐσίας μεγίστων κτημάτων· ὁ δὲ δυνάμενος εὖ βολυεύεσθαι καὶ αὐτὸς αὑτοῦ πέρι καὶ ἑτέρου, ὅπως ἂν ἄριστα πράττοι, οὐκ ἂν ἄρα δύναιτο διατίθεσθαι, εἴ περ βούλοιτό γε τοῦτο πράττειν; [§. 7.] Ὑπολαβὼν δὲ καὶ ὑποβλέ- III. 395.
ψας[g] ὁ Ἐρυξίας, ὥς πέρ τι ἀδικούμενος, Σὺ γὰρ ἄν, ἔφη, ὦ Σώκρατες, εἰ δέοι σε τἀληθῆ λέγειν, φαίης ἂν εἶναι Καλ- III. iii. 549.
λίου τοῦ Ἱππονίκου πλουσιώτερος. καί τοι οὐκ ἂν ἀμαθέστερός γε[h] ὁμολογήσαις ἂν εἶναι περὶ οὐδενὸς τῶν μεγίστων, ἀλλὰ σοφώτερος· καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο πλουσιώτερος εἶ. Ἴσως γάρ, ἦν δ' ἐγώ, σὺ οἴει, ὦ Ἐρυξία, τουτουσὶ

[y] τυγχάνοι ΣCZ et pr B: τυγχάνει *ς.—[z] τὰ post ἔργα om Σ.—[a] πολὺ Σ.—[b] ἀναγκαῖα ΘΣBC.—[c] τούτων Z.—[d] πεντελικῶν A, πεντελικων Ω, πεντελίθων B, πεντελέθων (adscripto πεντελίκων) Σ, πεντελέκων C: πεντελίκων ς.—[e] τεχνῶν om Z.—[f] κακῶς Z.—[g] ὑποκλέψας (ut videtur) Z.—[h] γε om ς.—[i] παιδείαν pr Ω.—[k] τε

§. 6. ἔχει] Ald. Bas. 1. 2. Steph. Cler. ἔχει, et τυγχάνει. Sed nos cum Horreo, ἔχοι reposuimus e Medic. Cod. ita tamen, ut putemus, post μᾶλλον excidisse particulam ἄν. Fisch.

τυγχάνοι] Edidi τυγχάνοι: sed ἔχει non mutandum est in optativum, nisi post μᾶλλον addas ἄν. Boeckh.

οὔκουν] Est hoc Clerici vice οὐκοῦν, frustra obloquente Jo. Fr. Fischero. Boeckh.

τέχνην] Verba hæc sana sunt et integra, ut, neque οὐδὲ in εἴγε mutandum sit cum Clerico: quippe quæ mutatio etiam linguæ indoli adversetur; neque cum Horreo post σοφὸς inserendum ὃς, quum sic existat sensus sane incommodus: neque cum Cornario pro εἴγε—οὐδὲ reponendum εἴτε—εἴτε. Pircamerus rectissime interpretatus erat; vertit enim: *Porro si peritus quispiam navis gubernator, aut medicus in arte sua excellens, aut alius quispiam, simili arte præditus esset.* Fisch.

§. 7. ἀμαθέστερος γε] Restituimus e Cod. Med. particulam γε, quæ in libris editis non extat. Fisch.

μὲν τοὺς λόγους, οὓς νυνὶ διαλεγόμεθα, εἶναι παιδιάν,[i] ἐπεὶ οὐκ ἀληθῶς γε[k] οὕτως ἔχειν, ἀλλ' ὥς περ ἐν τῇ πεττείᾳ εἶναι πεττούς, οὓς εἴ τις φέροιτο, δύναιτ' ἂν τοὺς ἀντιπαίζοντας ποιεῖν ἡττᾶσθαι οὕτως ὥς τε μὴ ἔχειν ὅ τι πρὸς ταῦτα ἀντιφέρωσιν.[l] ἴσως οὖν καὶ περὶ τῶν πλουσίων οἴει μὲν οὐδέν τι[m] μᾶλλον οὕτως ἔχειν, λόγους δέ τινας εἶναι τοιούτους οὐδέν τι μᾶλλον ἀληθεῖς ἢ ψευδεῖς, οὓς λέγων ἄνθρωπος περιγίγνοιτ' ἂν τῶν ἀντιλεγόντων, ὡς οἱ σοφώτατοι καὶ πλουσιώτατοι ἡμῖν εἰσί, καὶ ταῦτα[n] τοιαῦτα[o] ψευδῆ λέγων ἀληθῆ λεγόντων. καὶ οὐδὲν μὲν ἴσως θαυμαστόν, ὁμοίως ὥς περ[p] εἰ δύ' ἀνθρώπω περὶ γραμμάτων λεγοίτην,[q] ὁ μὲν φάσκων τοῦ Σωκράτους ἄρχειν σίγμα,[r] ὁ δ' ἕτερος ἄλφα· οὗτος ἂν εἴη κρείττων ὁ λόγος ὁ τοῦ λέγοντος ἄλφα ἢ[s] τοῦ φάσκοντος σῖγμα[t] ἀρχήν. [§. 8.] Περιβλέψας δὲ πρὸς τοὺς παρόντας ὁ Ἐρυξίας, ἅμα γελῶν τε καὶ ἐρυθριῶν, ὥς περ οὐ παρὼν τοῖς ἔμπροσθεν λελεγμένοις, Ἐγὼ μέν, ἔφη, ὦ Σώκρατες, οὐ τοιούτους ᾤμην δεῖν τοὺς λόγους εἶναι, οἷς μήτ' ἂν πεῖσαι δύναιτό τις μηδένα τῶν παρόντων, μήτ' ἂν[u] ὠφεληθείη μηδὲν ἀπ' αὐτῶν· τίς γὰρ ἂν ἀνθρώπων ποτὲ πεισθείη νοῦν ἔχων, ὡς οἱ σοφώτατοι ἡμῖν πλουσιώτατοι; ἀλλὰ μᾶλλον, ἐπειδὴ περὶ τοῦ πλουτεῖν διαλέγεσθαι δεῖ,[v] ὁπόθεν καλόν ἐστι πλουτεῖν καὶ ὁπόθεν αἰσχρόν, καὶ αὐτὸ τὸ πλούσιον εἶναι ὁποῖόν[w] τί ἐστι, πότερον ἀγαθὸν ἢ κακόν. Εἶεν, ἔφην ἐγώ· τοιγαροῦν τὸ λοιπὸν δὴ

ΑΩΖ.—[l] ἀντιφέρουσιν ΘΣBCς.—[m] τοι Θ.—[n] ταῦτα μὲν ΑΘΣBC.—[o] τοιαῦτα om Ζ, delet Ω.—[p] ὡς περὶ Ω.—[q] λεβοίτην περὶ πραγμάτων Ζ.—[r] σῖγμα ΘΣBC : σίγμα *ς.—[s] ἢ ὁ τοῦ Ζ.—[t] τὸ σῖγμα ΘΣBC.—[u] τῶν παρόντων μηδ' ἕνα Ζ.—[v] δεῖν omnes.—

ταῦτα, τοιαῦτα] Cod. Med. *καὶ ταῦτα μὲν τοιαῦτα*. At particula *μὲν* verbis *καὶ ταῦτα et quidem* addi sic, quod sciam, non solet: vid. c. 18. Fortassis vero auctor dialogi scripsit, *καὶ ταῦτα μέντοι*, ut c. xiv. 24. Fisch.

§. 8. *οὐ παρὼν*] Miror, Cornario verba *οὐ παρὼν* potuisse adeo suspecta esse, ut auctorem dialogi scripsisse *οὐτάμενος* putaret. Quomodo enim homo vulneratus dici possit ridere et erubescere? Fisch.

δεῖ] Ald. Bas. 1. 2. habent *δεῖν* quod Steph. intelligenter correxit. Cornar. legit, *ἀλλὰ μᾶλλον δὴ περὶ πλουτεῖν διαλέγεσθαι δεῖν*. Fisch.

ὁποῖόν ἐστι] Verba hæc absunt ab Ald. et Bas. 1. cura Arlenii ex Italicis Codicibus adjecta in Bas. 2. et inde, aut e Cornarii Eclog. p. 144. in exemplum Steph. ex hoc in editos libros cæteros, translata. Bas. 2. *ἀνθρωπίαν*, quod Steph. cum Cornar. mutavit in *ἄνθρωπον*, quum mutari debuisset et emendari sic, *ἄνθρωπον ὁποῖόν τι ἐστι*, ut legitur in Med. Cod. Fisch.

φυλαξόμεθα· καλῶς[x] δὲ καὶ σύ[y] ποιεῖς παραινῶν. ἀλλὰ
τί οὐκ αὐτός, ἐπεί περ εἰσηγεῖ τὸν λόγον, ἐπεχείρησας εἰ-
πεῖν πότερον σοὶ δοκεῖ ἀγαθὸν εἶναι τὸ πλουτεῖν ἢ κακόν;
ἐπειδή περ οἵ γ' ἔμπροσθεν λόγοι οὐ περὶ τούτου δοκοῦσί III. iii. 550.
σοι εἰρῆσθαι. [§. 9.] Ἐμοὶ μὲν τοίνυν δοκεῖ ἀγαθὸν εἶναι,
ἔφη, τὸ πλουτεῖν. Ἔτι δ' αὐτοῦ τι βουλομένου λέγειν,
ὑποκρούσας ὁ Κριτίας, Σὺ γάρ εἰπέ μοι, ὦ Ἐρυξία, ἀγα-
θὸν ἡγεῖ τὸ πλουτεῖν; Ἔγωγε νὴ Δία· ἦ γὰρ ἂν μαινοί-
μην. καὶ οὐδένα γε οἶμαι εἶναι ὅς τις ἂν οὐχ ὁμολογήσειε
ταῦτα. Καὶ μήν, ἔφη ὁ ἕτερος, καὶ ἐγὼ οἶμαι οὐδένα ὅν-
τινα οὐκ ἂν ποιῆσαι ὁμολογεῖν ἐμοὶ ἐνίοις ἀνθρώποις κακὸν III. 396.
εἶναι τὸ πλουτεῖν. οὐκ ἂν οὖν, εἴ περ ἀγαθὸν ἦν, κακὸν
ἡμῶν ἐνίοις ἐφαίνετο. Εἶπον οὖν αὐτοῖν ὅτι Ἐγώ τοι ὑμᾶς,[z]
εἰ μὲν ἐτυγχάνετε περὶ τούτου διαφερόμενοι, ὁπότερος ὑμῶν
ἀληθέστερα λέγει περὶ ἱππασίας, ὅπως ἂν τις ἄριστα ἱπ-
πεύοι, εἰ μὲν αὐτὸς ἐτύγχανον ἱππικὸς[a] ὤν, αὐτὸς ἂν ὑμᾶς
ἐπειρώμην παύειν τῆς διαφορᾶς· ᾐσχυνόμην γὰρ ἂν εἰ πα-
ρὼν μὴ καθ' ὅσον οἷός τ' ἦν ἐκώλυον διαφερομένους· ἢ εἰ
περὶ ἑτέρου οὑτινοσοῦν[b] διαφερόμενοι μηδέν τι μᾶλλον
ἐμέλλετε, εἰ μὴ ὁμολογοῖτε τουτί, μᾶλλον ἐχθρὼ ἀντὶ φί-
λω ἀπαλλαγῆναι· νῦν δέ, ἐπειδὴ τετυχήκατε περὶ τοιού-
του πράγματος διαφερομένω, ᾧ ἀνάγκη προσχρῆσθαι παρ'
ὅλον τὸν βίον, καὶ μεγάλα[c] διαφέρει, πότερον ἐπιμελητέον
ἐστὶ τούτου ὡς ὠφελίμου ὄντος ἢ οὔ, καὶ ταῦτα οὐ τῶν
φαύλων, ἀλλὰ τῶν μεγίστων δοκούντων εἶναι τοῖς Ἕλλησιν·
οἱ γοῦν πατέρες τουτὶ πρῶτον τοῖς σφετέροις υἱέσι παραι-
νοῦσιν, ἐπειδὰν εἰς τὴν ἡλικίαν τάχιστα ἀφίκωνται τοῦ ἤδη
φρονεῖν, ὡς δοκοῦσι, σκοπεῖν ὁπόθεν πλούσιοι ἔσονται, ὡς, ἂν

[w] ἄνθρωπον ς, om A.—[x] κακῶς Z.—[y] σὺ om Z.—[z] ἡμᾶς Z.—[a] αὐτοῖς ἐτύγχανον

§. 9. ὅστις ἂν οὐχ] Cod. Med. ὅντιν' οὐκ. Fisch.

ὁ ἕτερος] Haud dubitavi de conjectura rescribere ὁ ἑταῖρος: debebat enim dici ὁ Κριτίας, pro quo ponitur ὁ ἑταῖρος, quum Eryxias et Critias essent φίλω καὶ συγγενέε, ut paullo post dicitur: ὁ ἕτερος in tali loco vix inveniatur apud Platonem ejusque imitatores. Ceterum et alibi permutantur ἕτερος et ἑταῖρος: v. Ast. ad Plat. Sympos. p. 132. Boeckh.

λέγει] Rescribendum λέγοι videri possit. At accommodavit scilicet auctor dialogi hoc tempus ad particip. διαφερόμενοι. Fisch.

μέν τι[d] *ἔχῃς, ἄξιός του εἶ, ἐὰν δὲ μή, οὐδενός·* [§. 10.] *εἰ*
οὖν σπουδάζεται[e] *μὲν ουτωσὶ σφόδρα, ὑμεῖς δὲ τἄλλα συμ-*
φερομένω περὶ τούτου οὑτωσὶ μεγάλου πράγματος διαφέ-
ρεσθε,[f] *ἔτι δ᾽ αὖ πρὸς τούτοις περὶ τοῦ πλουτεῖν διαφέρεσθε*
οὐχ ὁπότερον μέλαν ἢ λευκὸν οὐδὲ ὁπότερον κοῦφον ἢ βαρύ,
ἀλλ᾽ ὁπότερον κακὸν ἢ ἀγαθόν, ὡς ἂν μάλιστα καὶ[g] *εἰς*
ἔχθραν καταστῆναι, εἰ τῶν κακῶν τε[h] *καὶ ἀγαθῶν πέρι δια-*
III. iii. 551. *φέρεσθε, καὶ ταῦτα μέντοι τὰ μάλιστα φίλω τε ὄντε καὶ*
συγγενέε·[i] *ἐγὼ οὖν, ὅσον ἂν ἐπ᾽ ἐμοὶ ᾖ, οὐ περιόψομαι ὑμᾶς*
αὐτοὺς αὐτοῖς διαφερομένους, ἀλλ᾽ εἰ μὲν αὐτὸς οἷός τ᾽ ᾖ,[k]
φράσας ἂν ὑμῖν ὅπως ἔχει[l] *ἔπαυσα τῆς διαφορᾶς· νυνὶ δ᾽*
ἐπειδὴ αὐτὸς μὲν οὐ τυγχάνω οἷός τ᾽ ὤν, ὑμῶν δ᾽ ἑκάτερος
οἴεται οἷός τ᾽ εἶναι ὁμολογεῖν ποιῆσαι τὸν ἕτερον, ἕτοιμός
εἰμι συλλαμβάνειν καθ᾽ ὅσον ἂν δύνωμαι, ἵνα διομολο-
γηθῇ ὑμῖν ὅπως ἔχει[m] *τοῦτο. σὺ οὖν, ἔφην,*[n] *ὦ* Κριτία, *ἐπι-*
χείρει ποιῆσαι ἡμᾶς[o] *ὁμολογεῖν, ὥς περ ὑπεδέξω.*[p] [§. 11.]
Ἀλλ᾽, *ἔφη, ἐγὼ μέν, ὥς περ ἠρξάμην,* Ἐρυξίαν *τοῦτον ἡδέως*
ἐροίμην ἂν εἰ δοκοῦσιν αὐτῷ εἶναι ἄνθρωποι ἄδικοι καὶ δί-
καιοι.[q] Νὴ Δία, *ἔφη ἐκεῖνος, καὶ σφόδρα μέντοι.* Τί *δέ;*[r]
τὸ ἀδικεῖν πότερον κακόν σοι δοκεῖ[s] *εἶναι ἢ ἀγαθόν;* Κακὸν

ἱππικοῖς Z.—[b] *τονοσοῦν* Θ, *τινοσοῦν* ΩBCZ.—[c] *μεγάλως* Z.—[d] *τοι* ΘC.—[e] *σπουδάζετε* ΘΣΩBC et corr A.—[f] *διαφέροισθε* Σ.—[g] *καὶ* om Θ.—[h] *τε* om Z.—[i] *συγγενεῖς* Z et pr AΩ.—[k] *ἤι* Ω et pr A: *ἦν* *ς.—[l] *ἔχηι* Ω, *τ᾽ ἔχῃ* Z.—[m] *ἔχοι* Θ, *ἔχῃ* ΩZ.—[n] *ἔφη* ς.—[o] *ὑμᾶς* Z.—[p] *ὑπεδείξω* ς.—[q] *δίκαιοι καὶ ἄδικοι* ς.—[r] *δαὶ* Ω et corr A.—

ἄν τι ἔχῃς] Horat. Sat. i. 1. 61. 'At bona pars hominum decepta cupidine falso, Nil satis est, inquit: quia tanti, quantum habeas, sis.' Fisch.

ὁπότερον] Ald. Bas. 1. 2. *ὁπότερος*. Fisch.

ἵνα διομολογηθῇ] Legendum videri possit *ἵνα δὴ ὁμολογηθῇ*, quod dictum sit, ut apud Platonem Criton. 10. *ὡς ἡμῖν ὡμολογήθη*. At quia auctor dialogi delectatus videtur, ut Plato, aliique ejus ætatis scriptores Attici (vid. ad Platon. Criton. viii. 2.) eorumque imitatores, hoc genere verborum, ut c. 20. *διαμαρτηκέναι*· c. 33. *διομόσασθαι*· quia hic certe *διομολογεῖσθαι* est verbum, ut ita loquar, ponderatius et efficacius, et numerosius, ut apud Plat. Theæt. 22. et Isocrat. Panegyr. c. 37. nil mutandum censemus. Fisch.

§. 11. *ἐγὼ μὲν*] *ῥῆσιν* hanc, usque ad verba *σφόδρα βούλοιτο* c. 15. excerpsit Stobæus Eclog. Eth. c. 90. p. 506. Gesn. Fisch.

τοῦτον] Fortassis legi debet *τουτονί*· ut apud Xen. Cyrop. vi. 1. 3. *Γαδάταν τουτονί*. Nam etsi etiam infra c. 24. in omnibus libris est *Κριτίαν τοῦτον*· tamen quid impedit, quo minus ibi quoque reponendum *τουτονὶ* censeamus? Fisch.

καὶ ἄδικοι] Stob. *ἄδικοι καὶ δίκαιοι*; Fisch.

δοκεῖ] Steph. reposuit *δοκοῖ*. Fisch.

δοκεῖ] Bis reduxi *δοκεῖ*, cum Fischero, quamvis falsa sit hujus ratio. Ἂν pertinet ad infinitivum: quapropter et optativus *μοιχεύοι* ex Stob. restituendus erat, repugnante licet Lipsiensi editore: non enim, ut ille putabat, præsens conjunctivi Latini, sed imperfectum requi-

ἔμοιγε. Δοκεῖ δ' ἄν σοι ἄνθρωπος, εἰ μοιχεύοι[t] τὰς τῶν πέλας γυναῖκας ἐπ' ἀργυρίῳ, ἀδικεῖν ἂν ἢ οὔ; καὶ ταῦτα μέντοι καὶ τῆς πόλεως καὶ τῶν νόμων κωλυόντων; Ἀδικεῖν ἂν ἔμοιγε δοκεῖ.[s] Οὐκοῦν, ἔφη, εἰ μὲν πλούσιος τυγχάνοι[u] ἂν καὶ ἀργύριον δυνατὸς ἀναλῶσαι ὁ ἄδικός τε ἄνθρωπος
καὶ ὁ βουλόμενος, ἐξαμαρτάνοι ἄν· εἰ δέ γε μὴ ὑπάρχοι[v] III. 397.
πλουσίῳ εἶναι τῷ ἀνθρώπῳ, οὐκ ἔχων ὁπόθεν ἀναλίσκοι, οὐδ' ἂν διαπράττεσθαι δύναιτο ἃ βούλεται, ὥς τ' οὐκ ἂν οὐδὲ ἐξαμαρτάνοι. διὸ καὶ λυσιτελοῖ[w] ἂν τῷ ἀνθρώπῳ μᾶλλον μὴ[x] εἶναι πλουσίῳ, εἴ περ ἧττον διαπράξεται ἃ βούλεται· βούλεται δὲ μοχθηρά. καὶ πάλιν αὖ τὸ νοσεῖν πότερον ἂν φαίης κακὸν ἢ ἀγαθὸν εἶναι; Κακὸν ἔγωγε. Τί δέ;[y] δοκοῦσί τινές σοι ἀκρατεῖς εἶναι[z] ἄνθρωποι; Ἔμοιγε. Οὐκοῦν εἰ βέλτιον εἴη πρὸς ὑγίειαν τούτῳ τῷ ἀνθρώπῳ ἀπέχεσθαι σίτων καὶ ποτῶν καὶ τῶν[a] ἄλλων τῶν ἡδέων δοκούντων εἶναι, ὁ δὲ μὴ οἷός τ' εἴη δι' ἀκράτειαν, βέλτιον ἂν εἴη τούτῳ τῷ ἀνθρώπῳ μὴ ὑπάρχειν ὁπόθεν ἐκποριεῖται ταῦτα,

[s] δοκοῖ ς.—[t] μοιχεύοι ΛΩΖ, μηχεύει Θ: μοιχεύει *ς.—[u] τυγχάνει Cς.—[v] ὑπάρχει Ζς.—[w] λυσιτελεῖ C.—[x] μὴ om pr Ω.—[y] δαὶ Ω et corr A.—[z] εἶναι om Aς.—[a] τῶν post ἄλλων om ΩΖ.—[b] διαμαρτάνειν Ζ.—[c] αἰσχύνετο Θ.—[d] τοὺς om ς.—[e] αὐτὸ Ζ.

ritur: *Numne videtur tibi quis, qui data mercede vicinorum mulieres adulteraret, injuste facturus esse?* Boeckh.

μοιχεύει] Stob. μοιχεύοι: male, opinor. Fisch.

κωλυόντων] De pœnis adulterorum et adulterarum apud Athenienses v. Meurs. Them. Att. c. 4. et Taylor. Lectt. Lys. p. 709. Fisch.

ἂν ἔμοιγε] Abest in exemplo Stobæi Veneto. Fisch.

μὲν πλούσιος] In exemplo Stobæi Veneto deest μέν. Idem liber pro τυγχάνει ἂν habet ἂν τυγχάνοι, ut Gesneriana exempla ἂν τυγχάνει· et post δυνατὸς libri Stobæi editi omnes inserunt ὤν. Similiter a librariis peccatum suspicamur apud Xenoph. Memor. i. 6. 2. ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς· ubi legendum nobis videbatur ἀχίτων ὢν διατελεῖς. Et hanc ipsam conjecturam, assensu Ernestii comprobatam, videmus etiam Valckenario in mentem venisse. Certe librariorum manus sic innumeris in locis peccarunt. Apud Justinum M. Apol. i. 1. editum est εἷς αὐτῶν· sed dubitari non potest, quin ex Eusebii libris H. E. iv. 12. rescribi debeat εἷς αὐτῶν ὤν· ut apud Marcum c. xiv. 43. pro εἷς ὢν τῶν δώδεκα in multis codicibus perperam scriptum extat εἷς τῶν δώδεκα. Fisch.

ἐξαμαρτάνοι] Bas. 1. 2. ἐξαμαρτάνει· sed in libris reliquis recte scriptum est ἐξαμαρτάνοι, nisi quod Ald. ἀξαμαρτάνοι. Fisch.

ὑπάρχει] Cod. Medic. ὑπάρχοι· neque aliter legitur in libris Stobæi. Fisch. Non male Stob. et Cod. Medic. εἰ δέ γε μὴ ὑπάρχοι; ex utroque adjeci verbum εἶναι post ἀκρατεῖς. Boeckh.

εἶναι] In Ald. Bas. 1. 2. desideratur εἶναι: recepimus id e Cod. Medic. et Stob. Fisch.

ἀπέχεσθαι] Deest hoc in Stob. Venet. Fisch.

ἡδέων] Stob. ἡδέων τῶν δοκούντων εἶναι· et paulo post, ὁπόθεν ἂν ἐκποριεῖται: male. Fisch.

μᾶλλον ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; οὕτω III. ii. 552 γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη ἐξαμαρτάνειν,[b] οὐδ' εἰ σφόδρα βούλοιτο. [§. 12.] Ἐδόκει οὖν εὖ καὶ καλῶς διειλέχθαι ὁ Κριτίας οὕτως, ὥς τ' εἰ μὴ ᾐσχύνετο[c] τοὺς[d] παρόντας ὁ Ἐρυξίας, οὐδὲν αὐτὸν ἐκώλυεν ἀναστάντα τύπτειν τὸν Κριτίαν· οὕτως ᾤετο μεγάλου τινὸς ἐστερῆσθαι, ἐπεὶ αὐτῷ[e] φανερὸν ἐγένετο ὅτι οὐκ ὀρθῶς τὸ πρότερον ἐδόξαζε περὶ τοῦ πλουτεῖν. καταμαθὼν δ' ἐγὼ οὕτως ἔχοντα τὸν Ἐρυξίαν, καὶ εὐλαβούμενος μὴ πορρωτέρω τις λοιδορία καὶ ἐναντίωσις γένοιτο, Τουτονὶ μὲν τὸν[f] λόγον, ἔφην ἐγώ,[g] πρώην ἐν Λυκείῳ[h] ἀνὴρ σοφὸς λέγων Πρόδικος ὁ Κεῖος[i] ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως, ὥς τε μηδένα δύνασθαι πεῖσαι τῶν παρόντων ὡς ἀληθῆ λέγοι.[k] καὶ δῆτα καὶ[l] μειράκιόν[m] τι σφόδρα νέον προσελθὸν[n] καὶ στωμύλον, προσκαθιζόμενον, κατεγέλα τε καὶ ἐχλεύαζε καὶ ἔσειεν αὐτόν, βουλόμενον λόγον λαμβάνειν ὧν ἔλεγε· καὶ μέντοι καὶ πολὺ μᾶλλον εὐδοκίμησε παρὰ τοῖς ἀκροωμένοις ἤ περ ὁ Πρόδικος. Ἆρ' οὖν, ἔφη ὁ Ἐρασίστρατος, ἔχοις ἂν ἡμῖν ἀπαγγεῖλαι τὸν λόγον; Πάνυ μὲν οὖν, ἐὰν ἄρα ἀναμνησθῶ. ὡδὶ[o] γάρ πως, ὡς ἐγῷμαι, εἶχεν.

§. 13. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν. ὁ δ' ὑπολαβών, Ὥς περ καὶ σὺ νῦν δή, ἔφη, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ἀγαθόν, καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ[p] χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθόν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι κακόν.[q] ἔχει δ', ἔφη, καὶ τἆλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα

—[f] τὸν om ς.—[g] ἐγὼ om Z.—[h] λυκίῳ Ω.—[i] κῖος ΑΩΖ.—[k] λέγει omnes.—[l] καὶ om Z.—[m] τὸ μειράκιον ΑΘΣΒC et (ut videtur) pr Ω.—[n] προσελθὼν C.—[o] ὧδε Z.—[p] δὴ Z.—[q] πονηρὸν κακὸν Z.—[r] τοιαῦτα Θ.—[s] ἰσκυρέωσιν ς.—[t] ἔργμασιν Stephanus:

ἐξαμαρτάνειν] Stob. διαμαρτάνειν. Fisch.

§. 12. τοὺς παρόντας] Addidimus articulum, qui abest a reliquis libris editis, et Cod. Florentini auctoritate, et quia videbamus, cum linguæ leges, tum reliquam auctoris dialogi consuetudinem loquendi, id nos facere jubere. Sic c. 11. περιβλέψας πρὸς τοὺς παρόντας· c. 22. μαίνεσθαι τοῖς παροῦσιν ἐδόκει. Fisch.

λέγοι] Cod. Medic. λέγει: male. Fisch.

§. 13. ἠρώτα] Hunc locum in Eclog. Eth. transtulit Stob. c. 92. p. 512. Gesn. inde a verbis ἠρώτα γὰρ usque ad Archilochi versiculum. Fisch.

καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ', ἔφη, δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι,

καὶ φρονεῦσι τοῖ[r] ὁκοίοις ἐγκυρέωσιν[s] ἔργμασιν.[t]

Νῦν ἄρ', ἔφη τὸ μειράκιον, εἴ τις[u] ἐμὲ σοφὸν ποιοῖ[v] ταύτην III. 398.
τὴν σοφίαν ἣν οἱ ἀγαθοὶ ἄνδρες σοφοί εἰσιν, ἅμα ἀνάγκη
καὶ τὰ ἄλλα πράγματ' αὐτὸν ἀγαθὰ ἐμοὶ ποιεῖν, πρὸς III. iii. 553.
μὲν αὐτὰ ἐκεῖνα μηδὲν πραγματευσάμενον, ὅτι δ' ἐμὲ[w] ἀντ' ἀμαθοῦς σοφὸν[x] πεποίηκεν· ὥς περ[y] εἴ τις ἐμὲ νυνὶ γραμματικὸν[z] ποιήσειεν, ἀνάγκη αὐτὸν καὶ τἆλλα πράγματα γραμματικὰ ἐμοὶ ποιεῖν, καὶ εἰ[a] μουσικόν, μουσικά· ὥς περ ὅταν ἀγαθὸν ἐμὲ ποιήσῃ, ἅμα ἀγαθὰ καὶ τὰ πράγματα πεποιηκέναι μοι. Οὐ μέντοι ταῦτά γε ξυνέφη ὁ Πρόδικος, ἀλλ' ἐκεῖνα μὲν ὡμολόγει. [§. 14.] Πότερον δέ σοι δοκεῖ, ἔφη, ὥς περ οἰκίαν ποιεῖν[b] ἀνθρώπου ἔργον εἶναι, οὕτω καὶ[c] πράγματα ἀγαθὰ[d] ποιεῖν; ἢ ἀνάγκη,

codices omnes ἐρύμασιν.—[u] εἴτι Z.—[v] ποιεῖ Z.—[w] δέ με ς cum plerisque.—[x] σοφόν τι Z.—[y] ἆρα ὥσπερ ΑΘΞΒC.—[z] νυνὶ γραμματικὸν ἐμὲ Z.—[a] εἰ om Z.—[b] ποιεῖ

ἐγκυρέωσιν] ἐγκυρεῖν idem est, quod ἐντυγχάνειν· Suidas, et ex eo Phavorinus: Ἐγκυρῆσαι· ἀντὶ τοῦ ἐντυχεῖν· οὕτω Κρατῖνος· neque aliter legitur apud Herodot. iii. 77. iv. 125. Euripides quidem in Bellerophonte eandem fere sententiam versiculis complexus est his: Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών· Μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' ὁὐντυγχάνων, Τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράξει καλῶς. V. Gatacker. ad Antonin. vii. 38. et Valcken. ad Eurip. Phœn. p. 83. qui tamen ad Herodot. (ii. 82. p. 141.) ait se ab Hemsterhusio admonitum fuisse, legi debere ἔργματα, atque adeo censere totum versiculum ita emendandum esse, Καὶ φρονεῦσι τοῖ' ὁκοίοις ἐγκυρέωσιν ἔργματα, ut sensus sit, καὶ τοῖά εἰσι τὰ ἔργματα, ὁκοίοις φρονεῦσιν ἐγκυρέωσι. Fisch. Archilochi versum, tetrametrum trochaicum catalecticum, ex Stob. et Cod. Med. optime Fischer restituit; nisi quod ἔργμασιν ego scripsi aspero spiritu, ut est apud Pindarum. V. Hermann. de dial. Pindar. p. 17. Boeckh.

ἐρύμασι] Pro ἐρύμασι legendum suspicor ἔργμασι: id est πράγμασι. Steph.

ὥσπερ] Cod. Medic. ἆρα ὥσπερ· quod fortassis contemni non debet: modo emendetur ἄρα, et legatur, πεποίηκεν ἄρα· ὥσπερ—. Fisch.

γραμματικὰ] Ita recte correctum est in Bas. 2. pro πραγματικὰ, quod Ald. et Bas. 1. habent. Sic apud Plat. Phileb. 7. in Ald. et apud Pseudo-Demetrium Phal. περὶ Ἑρμ. s. 179. male legitur πράγμασι pro γράμμασι· ut apud Justinum M. Apol. i. 2. pro γραμμάτων Rob. Stephanus e Codd. vett. attulit πραγμάτων· quæ tamen scriptura ab re ipsa abhorret. Alia hujus permutationis utriusque vocabuli in libris antiquis exempla habent Wessel. ad Diod. Sic. t. i. p. 12. Kœn. ad Gregor. p. 80. Valcken. ad Eurip. Hippol. 386. Fisch.

§. 14. ποιεῖν] Ald. Bas. 1. 2. Steph. ποιεῖ· quod vitium jam Latini interpretes, ante Stephanum, emendarunt, non minus, quam deinceps pro εἶναι, quod est in iisdem libris, rescribendum ἐστὶν viderunt, præter Cornarium, qui reddidit infinitivum εἶναι. Et tamen Stephanus in m. exempli sui, 'Non dubito,' inquit, 'quin scribendum sit οἰκίαν ποιεῖν ἀνθρώπου ἔργον ἐστὶν, οὕτω·' quasi ipse esset hujus emendationis auctor. Fisch.

μᾶλλον ἢ πολλὴν περιουσίαν εἶναι τῶν ἐπιτηδείων; οὕτω
III. iii. 552. γὰρ ἂν αὐτῷ οὐκ ἐξουσία εἴη ἐξαμαρτάνειν,[b] οὐδ' εἰ σφόδρα βούλοιτο. [§. 12.] Ἐδόκει οὖν εὖ καὶ καλῶς διειλέχθαι ὁ Κριτίας οὕτως, ὥς τ' εἰ μὴ ᾐσχύνετο[c] τοὺς[d] παρόντας ὁ Ἐρυξίας, οὐδὲν αὐτὸν ἐκώλυεν ἀναστάντα τύπτειν τὸν Κριτίαν· οὕτως ᾤετο μεγάλου τινὸς ἐστερῆσθαι, ἐπεὶ αὐτῷ[e] φανερὸν ἐγένετο ὅτι οὐκ ὀρθῶς τὸ πρότερον ἐδόξαζε περὶ τοῦ πλουτεῖν. καταμαθὼν δ' ἐγὼ οὕτως ἔχοντα τὸν Ἐρυξίαν, καὶ εὐλαβούμενος μὴ ποῤῥωτέρω τις λοιδορία καὶ ἐναντίωσις γένοιτο, Τουτονὶ μὲν τὸν[f] λόγον, ἔφην ἐγώ,[g] πρώην ἐν Λυκείῳ[h] ἀνὴρ σοφὸς λέγων Πρόδικος ὁ Κεῖος[i] ἐδόκει τοῖς παροῦσι φλυαρεῖν οὕτως, ὥς τε μηδένα δύνασθαι πεῖσαι τῶν παρόντων ὡς ἀληθῆ λέγοι.[k] καὶ δῆτα καὶ[l] μειράκιόν[m] τι σφόδρα νέον προσελθὸν[n] καὶ στωμύλον, προσκαθιζόμενον, κατεγέλα τε καὶ ἐχλεύαζε καὶ ἔσειεν αὐτόν, βουλόμενον λόγον λαμβάνειν ὧν ἔλεγε· καὶ μέντοι καὶ πολὺ μᾶλλον εὐδοκίμησε παρὰ τοῖς ἀκροωμένοις ἤ περ ὁ Πρόδικος. Ἆρ' οὖν, ἔφη ὁ Ἐρασίστρατος, ἔχοις ἂν ἡμῖν ἀπαγγεῖλαι τὸν λόγον; Πάνυ μὲν οὖν, ἐὰν ἄρα ἀναμνησθῶ. ὡδὶ[o] γάρ πως, ὡς ἐγᾦμαι, εἶχεν.

§. 13. Ἠρώτα γὰρ αὐτὸν τὸ μειράκιον πῶς οἴεται κακὸν εἶναι τὸ πλουτεῖν, καὶ ὅπως ἀγαθόν. ὁ δ' ὑπολαβών, Ὥς περ καὶ σὺ νῦν δή, ἔφη, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ἀγαθόν, καὶ τοῖς ἐπισταμένοις ὅπου δεῖ[p] χρῆσθαι τοῖς χρήμασι, τούτοις μὲν ἀγαθόν, τοῖς δὲ μοχθηροῖς καὶ ἀνεπιστήμοσι κακόν.[q] ἔχει δ', ἔφη, καὶ τἄλλα πράγματα οὕτω πάντα· ὁποῖοι γὰρ ἂν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα

—[f] τὸν om ϛ.—[g] ἐγὼ om Z.—[h] λυκίωι Ω.—[i] κῖος ΑΩΖ.—[k] λέγει omnes.—[l] καὶ om Z.—[m] τὸ μειράκκιόν ΑΘΣΒC et (ut videtur) pr Ω.—[n] προσελθὼν C.—[o] ὡσδὶ Z.
κακὸν
—[p] δὴ Z.—[q] πονηρὸν Z.—[r] τοιαῦτα Θ.—[s] ἰσκυρέωσιν ϛ.—[t] ἔργμασιν Stephanus:

ἐξαμαρτάνειν] Stob. διαμαρτάνειν. Fisch.

§. 12. τοὺς παρόντας] Addidimus articulum, qui abest a reliquis libris editis, et Cod. Florentini auctoritate, et quia videbamus, cum linguæ leges, tum reliquam auctoris dialogi consuetudinem loquendi, id nos facere jubere. Sic c. 11. περιβλέψας πρὸς τοὺς παρόντας· c. 22. μαίνεσθαι τοῖς παροῦσιν ἐδόκει. Fisch.

λέγοι] Cod. Medic. λέγει: male. Fisch.

§. 13. ἠρώτα] Hunc locum in Eclog. Eth. transtulit Stob. c. 92. p. 512. Gesn. inde a verbis ἠρώτα γὰρ usque ad Archilochi versiculum. Fisch.

καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. καλῶς δ', ἔφη,
δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι,

καὶ φρονεῦσι τοῖ[r] ὁκοίοις ἐγκυρέωσιν[s] ἔργμασιν.[t]

Νῦν ἄρ', ἔφη τὸ μειράκιον, εἴ τις[u] ἐμὲ σοφὸν ποιοῖ[v] ταύτην III. 398.
τὴν σοφίαν ἥν οἱ ἀγαθοὶ ἄνδρες σοφοί εἰσιν, ἅμα ἀνάγκη
καὶ τὰ ἄλλα πράγματ' αὐτὸν ἀγαθὰ ἐμοὶ ποιεῖν, πρὸς III. iii. 553.
μὲν αὐτὰ ἐκεῖνα μηδὲν πραγματευσάμενον, ὅτι δ' ἐμὲ[w]
ἀντ' ἀμαθοῦς σοφὸν[x] πεποίηκεν· ὥς περ[y] εἴ τις ἐμὲ νυνὶ
γραμματικὸν[z] ποιήσειεν, ἀνάγκη αὐτὸν καὶ τἄλλα πράγματα γραμματικὰ ἐμοὶ ποιεῖν, καὶ εἰ[a] μουσικόν, μουσικά· ὥς περ ὅταν ἀγαθὸν ἐμὲ ποιήσῃ, ἅμα ἀγαθὰ καὶ τὰ πράγματα πεποιηκέναι μοι. Οὐ μέντοι ταῦτά γε ξυνέφη ὁ Πρόδικος, ἀλλ' ἐκεῖνα μὲν ὡμολόγει. [§. 14.] Πότερον δέ σοι δοκεῖ, ἔφη, ὥς περ οἰκίαν ποιεῖν[b] ἀνθρώπου ἔργον εἶναι, οὕτω καὶ[c] πράγματα ἀγαθὰ[d] ποιεῖν; ἢ ἀνάγκη,

codices omnes ἐρύμασιν.—[u] εἴτι Z.—[v] ποιεῖ Z.—[w] δέ με ς cum plerisque.—[x] σοφόν τι Ξ.—[y] ἆρα ὥσπερ ΑΘΞΒC.—[z] νυνὶ γραμματικὸν ἐμὲ Z.—[a] εἰ om Z.—[b] ποιεῖ

234. *Δαιμονίως*] πανούργως, δολίως, κεκρυμμένως. *Γάννυσθαι*] φαιδρύνεσθαι, χαίρειν, διαχεῖσθαι. *Συνεβάκχευσα*] σὺν σοὶ ἐπὶ τὸ κρεῖττον παρήλλαξα. *Φιλίου*] τοῦ τὰ περὶ φιλίας ἐπισκοποῦντος.

235. *Σαπφὼ* λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μιτυληναία. *Ἀνακρέων* δέ, καὶ οὗτος λυρικὸς ποιητής, Σκυθίνου ἢ Παρθενίου, Τήϊος. *Οἱ ἐννέα ἄρχοντες*, κατ' ἐνιαυτὸν καθιστάμενοι, ὤμνυον μὴ παρανομήσειν, εἰ δὲ φωραθεῖεν, ἐκ καταδίκης τῷ Ἀπόλλωνι πέμπειν εἰκόνα χρυσῆν, ἐπὶ καταδίκῃ μὲν τοῦ ἄρχοντος, χαριστήριον δὲ τῷ θεῷ παρὰ Ἀθηναίων. Σωκράτει γοῦν ὑπισχνεῖται Φαῖδρος, εἰ καλλίω λόγον εἴποι Λυσίου, καθάπερ οἱ ἄρχοντες, εἰκόνα καὶ αὐτοῦ καὶ Σωκράτους χρυσῆν εἰς Δελφοὺς τῷ Ἀπόλλωνι ἀναθήσειν. ΕΙΣ ΤΟ ΑΥΤΟ. ὁ πολέμαρχός ἐστιν ἄρχων ᾧ κατηγγύων τοὺς ξένους· ἔστι δὲ ὥσπερ λοχαγὸς τοῦ βασιλέως, ὃς καὶ ἀπόντος αὐτοῦ ἐπιμελεῖται τῶν κατὰ τὴν πόλιν. ὁ δὲ βασιλεὺς μυστηρίων προνοεῖται καὶ τὰς θυσίας τὰς πατρίους διοικεῖ. ἄρχων δέ ἐστιν ὁ ἐπώνυμος τοῦ ἐνιαυτοῦ. ᾧ πᾶσι καὶ ἑορταὶ καὶ θεοὶ οἷς θύουσι καὶ δίκαι τινὲς ἀπονέμονται. οἱ δὲ θεσμοθέται ἕξ εἰσι τὸν ἀριθμόν, ἀφ' ὧν καὶ ὁ τόπος, ὅπου συνῄεσαν καὶ ἐσιτοῦντο, θεμίστιον[2] ἐκαλεῖτο. εἶχον δὲ ἐξουσίαν τοῦ ὑπογράψαι τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσῆγον καὶ τὰς χειροτονίας καὶ προβολὰς καὶ γραφὰς παρανόμων καὶ ἄλλων τινῶν.

236. Τοιαῦτα καὶ τοιούτων περὶ τῶν ἀναγκαίων φησίν, ὧν τὴν εὕρεσιν ἡ φύσις πορίζει, τὴν δὲ διάθεσιν ἡμεῖς· παρ' ἣν καὶ ἔπαινος ἢ

[1] Apud Hermiam p. 76, 16 Ast. lege cum D,

οὐπώποτ' ἠράσθης, Γέτα ;

οὐ γὰρ ἐνεπλήσθην

φησὶν . . οἱ δὲ ἁπλῶς ἀστεῖον, ὡς Εὐκλείδης, φιλίας λέγων —.

[2] Immo θεσμοθετεῖον aut quod infra est (ad Protagor. p. 202, 12.) θεσμοθέσιον.

ψόγος ἐστὶν ἡμῖν. τῶν δὲ μὴ ἀναγκαίων λέγει τῶν χρησίμων, ὧν καὶ ἡ εὕρεσις καὶ ἡ διάθεσις ἐξ ἡμῶν· παρ' ἃς δὴ καὶ ἐπαινούμεθα ἢ ψεγόμεθα. οἷον ἀναγκαῖόν ἐστι καὶ Λυσίᾳ καὶ Σωκράτει καὶ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσι τὸ λέγειν ὡς ὁ ἐρῶν ἀκόλαστον ἔρωτα μαίνεται, ὁ δὲ μὴ τοῦτον ἐρῶν σωφρονεῖ. ἡ δὲ περὶ τούτου διάθεσις ἐπαινετὴ Σωκράτους, ὅτι ἀληθής, Λυσίου δὲ οὔ· κατὰ προσποίησιν γάρ. Κύψελος Περιάνδρου πατὴρ ἦν, οὗπερ οἱ υἱεῖς Κορίνθου τύραννοι γεγονότες ὑπὸ Κορινθίων κατελύθησαν. ηὔξαντο οὖν οὗτοι, εἰ πάλιν τὴν ἀρχὴν ἀνακτήσαιντο, χρυσοῦν ἀνδριάντα τῷ θεῷ ἀναθήσειν ἐν Ὀλυμπίᾳ ὁλόσφυρον. οἳ δὴ κρατήσαντες Κορίνθου ἀνέθεσαν ἐκεῖσε μέγιστον ἄγαλμα χρυσοῦν τοῦ Διός. Ὀλυμπία δέ ἐστι τόπος τις κατὰ τὴν Πελοπόννησον, ἐν Πίσῃ πόλει τῆς Ἤλιδος χώρας, ἔνθα τὰ Ὀλύμπια καὶ ἀγὼν πενταετηρικὸς Μουνυχιῶνος μηνὸς ἤγετο τῷ Διί, ἐν οἷς κοτίνου στέφανος ἆθλον ἐδίδοτο τῷ νικήσαντι. τινὲς δ' οὐ κότινον, ἀλλ' ἐκ τῆς λεγομένης καλλιστεφάνου ἐλαίας. διαφέρει δὲ κότινον ἐλαΐκὸν ἀγριελαίας. ἤγετο δὲ καὶ κατ' ἐνιαυτόν, ἅπερ ἐλάττω ἐκάλουν. Σφυρήλατος] δι' ὅλου βάθους ναστός. Εἰς τὰς ὁμοίας λαβὰς] ἀπὸ μεταφορᾶς εἴρηται τῶν παλαιόντων, οἳ τοῦ ἀφωρισμένου αὐτοῖς πρὸς τὸ παλαίειν τόπου ὁπότε ἐκπέσοιεν, εἶτα ἐπὶ τοῦ αὐτοῦ καὶ τόπου καὶ σχήματος εἰ πάλιν ἔλθοιεν, εἰς ὁμοίας ἐληλυθέναι λέγονται λαβάς, ὡς καὶ νῦν ὁ Σωκράτης εἰς τὴν αὐτὴν τῷ Φαίδρῳ περιῆλθε προσποίησιν τοῦ μὴ δύνασθαι λέγειν. Τῶν κωμῳδῶν] ἔθος ἦν αὐτοῖς τὸ τοῖς ἐρωτῶσιν, οἷον δέδωκάς μοι τόδε, πάλιν τὸ αὐτὸ λέγειν τοὺς ἀποκρινομένους, δέδωκάς μοι τοῦτο. οὕτως οὖν καὶ πρὸς Σωκράτη Φαῖδρον εἰπεῖν, ὡς εἰ ἐγὼ Σωκράτην ἀγνοῶ, καὶ τὰ ἑξῆς.

237. Ἔθνος τι ἠπειρωτικὸν τῶν ἑσπερίων τὸ Λιγύων οὕτω μουσικώτατον εἶναι φασίν, ὡς καὶ μηδ' ἐν τοῖς πολέμοις πανστρατιᾷ μάχεσθαι, ἀλλὰ τὸ μέν τι τοῦ στρατεύματος ἀγωνίζεσθαι, τὸ δὲ ᾄδειν πολεμοῦντος τοῦ λοιποῦ. Αἱμύλος] ποικίλος, πυκνός, πανοῦργος, δολερός· καὶ αἱμυλία ἀσινότητος[1] ἐπίχαρις.

240. Ἥλικα] εἴρηται μὲν ἐνταῦθα τῷ Πλάτωνι οὕτως· ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὴν ἥλικα. τὸ δὲ τέλειον ἔχει

ἧλιξ ἥλικα τέρπε, γέρων δέ τε τέρπε γέροντα,[2]

ὥς φησι καὶ ὁ Ξενοφῶν γεροντοκόμικα.

241. Ὀστράκου μεταπεσόντος] ὀστράκου περιστροφὴ ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων. εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης. διελόντες ἑαυτοὺς οἱ παῖδες ὡς ἰσαρίθμους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵσταντο, οἱ δὲ πρὸς δυσμάς· ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λευκῷ, ἐκ δὲ θατέρου μέλανι· καὶ ἔρριπτε τοῦτο ὀρθόν. καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς ταῖς δυσμαῖς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ πρὸς ταῖς δυσμαῖς ἐδίωκον, ἕως καταλάβοιεν. καταληφθέντες δὲ ἐβαστάζοντο ὑπ' αὐτῶν ἀφ' οὗ κατελήφθησαν τόπου,

[1] ἀσινότης BH. an ἀστειότης?

[2] Libri bis τέρπει.

[3] Apud Hermiam p. 90. lege cum codd. meis,

ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ' οὗ τὴν ἀρχὴν ἔφυγον.[3] Ὡς λύκοι] παρῳδεῖ τὸ Ὁμηρικὸν εἰρημένον ἐν τῇ χ ῥαψῳδίᾳ

ὡς οὐκ ἔστι λέουσι καὶ ἄρνασιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν.

ἡ παροιμία οὖν ἐπὶ τῶν ἐρωτικῶς ἐχόντων.

242. Σταθερὸν τὸ σφόδρα θερμόν, ἀπὸ τῆς ἐν τῷ θέρει μεσημβρίας. καὶ Ἀντίμαχος· θέρεος σταθεροῖο. καὶ τὸ ἑστὸς δὲ καὶ ἠρεμοῦν σταθερὸν λέγουσιν. Οὐ πόλεμον ἀγγέλλεις, ἐπὶ τῶν ἀγαθὰ ἀγγελλόντων. ἐμνήσθη ταύτης καὶ ἐν τῷ τρίτῳ τῶν Νόμων. Ἀφοσιώσωμαι] ἀποπληρώσωμαι τὴν παραλελειμμένην ὁσιότητα. ἔστι γὰρ ἀφοσίωσις ὁσιότητος παραλελειμμένης ἀποπλήρωσις. Ἔθραξε] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν, ἐκίνησεν, ἐδυσώπησεν. Ἐδυσωπούμην] ἀντὶ τοῦ ηὐλαβούμην (ὑπώπτευον 𝔄).[sic] Ἀμπλακὼν] ἁμαρτών.

243. Πέργαμα] τὰ ὑψηλά. Παλινῳδίαν] ἐναντία ᾠδὴ ἢ ῥῆσις τῆς προτέρας.

244. Δωδώνη πόλις τῆς Μολοσσίδος, ἐν ᾗ τὸ μαντεῖον τοῦ Διός. Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτῃ ὄνομα Σαμβήθη. Χαλδαίαν δέ φασιν αὐτὴν οἱ παλαιοὶ λόγοι, οἱ δὲ μᾶλλον Ἑβραίαν· καὶ δὴ καὶ ἑνὶ τῶν παίδων τοῦ Νῶε εἰς γυναῖκα ἁρμοσθῆναι, καὶ συνεισελθεῖν αὐτῷ τε καὶ τοῖς ἄλλοις ἐν τῇ κιβωτῷ. ταύτην καὶ τὰ περὶ τῆς πυργοποιίας χρησμῳδῆσαί φασι, καὶ ὅσα τοῖς τούτων συνέβη τολμήμασι· χρησμῳδῆσαι δὲ πρὸ τῆς διαιρέσεως τῶν γλωσσῶν γενομένην γλώσσῃ φασὶ τὰ χρησμῳδηθέντα τῇ Ἑβραΐδι· οὐ μόνον δέ, ἀλλὰ καὶ τὰ κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα προειπεῖν· ἧς καὶ μνήμην Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἀναγράψας πεποίηκε. Δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Λαμίας (σαλαμίνης B et Siebenkees) προλόγῳ Εὐριπίδης· ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζουσι. Τρίτη Δελφίς, ἡ ἐν Δελφοῖς τεχθεῖσα, περὶ ἧς ἱστόρησε Χρύσιππος ἐν τῷ περὶ θεότητος βιβλίῳ. Τετάρτη Ἰταλική, ἡ ἐν ἐρημίᾳ τῆς Ἰταλίας τὴν διατριβὴν λαχοῦσα· ἧς υἱὸς ἐγένετο Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ καλούμενον Λούπερκον κτίσας· περὶ ἧς ἔγραψεν Ἐρατοσθένης. Πέμπτη ἡ Ἐρυθραία, ἥτις καὶ τὰ κατὰ τὸν Τρωϊκὸν πόλεμον συνενεχθέντα προηγόρευσε· περὶ ἧς Ἀπολλόδωρος ὁ Ἐρυθραῖος διεξέρχεται. Ἕκτη ἡ Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτώ φασιν. Ἑβδόμη ἡ Κυμαία μὲν γένος, ὄνομα δὲ Ἀμάλθεια· οἱ δὲ Ἐρωφίλην (ἐριφίλην B, ἐριώφυα Sieb.) φασί· παρά τισι δὲ κλῆσιν ἠνέγκατο Ταράξανδρα· Βιργίλιος δὲ ὁ Ῥωμαῖος ποιητὴς Δηϊφόβην αὐτὴν ὀνομάζει. Ὀγδόη ἡ Ἑλλησποντία, ἥτις ἐν κώμῃ Μαρμυσσῷ τὴν γένεσιν ἔσχε

εἴξασιν γὰρ τοῖς παιδαρίοις τούτοις, οἳ ἑκάστοτε γραμμὴν
ἐν ταῖσιν ὁδοῖς διαγράψαντες, διανειμάμενοι δίχ' ἑαυτούς,
ἑστᾶσ' αὐτῶν οἱ μὲν ἐκεῖθεν τῆς γραμμῆς, οἱ δ' αὖ ἐκεῖθεν·
εἷς δ' ἀμφοτέρων ὄστρακον . . . . ἀνίησ' εἰς μέσον ἑστώς,
κἂν μὲν πίπτῃ . . τὰ λεύκ' ἐπάνω, φεύγειν ταχὺ τοὺς ἑτέρους δεῖ,
τοὺς δὲ διώκειν.

ὁ δ' ἀναρριπτῶν τὸ ὄστρακον ἐπιλέγει νὺξ ἢ ἡμέρα διὰ τὸ τὸ μὲν ἐντὸς αὐτοῦ μέρος πεπισσῶσθαι, τὸ δὲ ἐκτὸς ἀπίσσωτον εἶναι.

περί τινα πολίχνην Γεργιτίωνα· ὑπὸ τὴν ἐνορίαν δὲ αὕτη τῆς Τρωίας ἐτύγχανεν. ἦν ἐν καιρῷ Σόλωνος καὶ Κύρου, ὡς ἔγραψεν Ἡρακλείδης ὁ Ποντικός. Ἐννάτη ἡ Φρυγία. Ἐπὶ πᾶσι δεκάτη ἡ Τιβουρτία μὲν γένος, ὄνομα δὲ Ἀλβουναία. Ταύτας δέ φασι τῶν φρενῶν ἐξισταμένας τὰ μέλλοντα χρησμῳδεῖν· τῶν ὑπολαμβανόντων δὲ γραφῇ τοὺς χρησμοὺς οὐκ ἐχόντων σοφίαν τὰ χρησμῳδούμενα γράφειν ἀπταίστως, ἄλλως τε καὶ τῷ τάχει τῆς φορᾶς τῶν λόγων οὐκ ἐχόντων καθυπηρετουμένας τὰς χεῖρας, συμβῆναι πολλοὺς τῶν χρησμῶν εἰς χωλιάμβους διαπεσεῖν καὶ μηκέτι τυχεῖν διορθώσεως, ἅτε δὴ τῶν χρησμῳδῶν γυναίων ἐν ἐκστάσει μὲν καθεστώτων, ἐπειδὴ τὴν ὕπαρξιν προηγόρευον τῶν μελλόντων, πεπαυμένων δὲ τοῦ χρησμολογεῖν μηδαμῶς αἴσθησιν ἐχόντων μήτε ὧν ἔλεγον μήτε τί ἂν βούλοιντο τὰ κεχρησμῳδημένα. πᾶσαι μὲν οὖν μαντικαί, ἡ δὲ Ἐρυθραία, ἡ καὶ Ἐριφύλη (B) καλουμένη, τῶν ἄλλων ἐξαίρετος· καὶ γὰρ γεννηθεῖσα εὐθὺς προσεῖπεν ἐξ ὀνόματος ἕκαστον καὶ ἔμμετρα ἐφθέγξατο, καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου ἔλαβεν. Κυρίως τῷ ἀπειροκάλως ἐχρήσατο· αὐτοῦ γὰρ καλῶς ἔχοντος τοῦ ὀνόματος τῆς μανίας, ἀπειρίᾳ τοῦ καλοῦ ἠγνόησαν τὸ καλὸν τοῦ ὀνόματος.

248. Ὑποβρύχιαι] ὑπὸ τὸ ὕδωρ, ὅ ἐστι τὴν γένεσιν, ποντισθεῖσαι.

254. Ὕσπληξ ἀφετήριον, πληγή, ὥσπερ νῦν, πάσσαλος, κεράτινος κρίκος, πάντα θηλυκῶς. Ἐρείσας] ἑλκύσας.

257. Ἐννέα χιλιάδας] ἐννέα χιλιάδας εἶπεν, ἐπειδὴ ἐν τῇ πρώτῃ γενέσει ἡ περίοδος ἡ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὰ τῇδε οὐδεμίαν κάκωσιν ἔχει. Ἐπαμφοτερίζῃ] Λυσίᾳ καὶ ἐμοὶ Σωκράτει ἕπηται. Λογογράφον] λογογράφους γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας καὶ πιπράσκοντας αὐτοὺς εἰς δικαστήρια, ῥήτορας δὲ τοὺς δι' ἑαυτῶν λέγοντας. Γλυκὺς ἀγκὼν] ἐπὶ τῶν κατειρωνευομένων. τόπος δέ ἐστιν ἐν τῇ Μεμφίδι Ἀγκὼν προσαγορευόμενος ὑπὸ τῶν πλεόντων κατ' ἀντίφρασιν ἴσως, διὰ τὸ δυσχερές. ἔνιοι δὲ τάττουσιν αὐτὴν ἐπὶ τῶν εὐθυμούντων, παρ' ὅσον τὸν ἀγκῶνα οἱ εὐφραινόμενοι τιθέασιν.

258. Ἐμμένῃ] τουτέστι δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος. Λυκοῦργος Λακεδαιμονίων, Σόλων δὲ Ἀθηναίων νομοθέται, Δαρεῖος δὲ τρίτος ἀπὸ Κύρου Περσῶν βασιλεύς. Ἀνδραποδώδεις εἰσὶν ἡδοναὶ αἱ ἄλλων παθῶν ἀπεχόμεναι, ὑπ' ἄλλων δὲ κρατούμεναι. Πνίγει] θάλπει, καύματι.

259. Μεσημβριάζοντα] ἐν μεσημβρίᾳ νυστάζοντα καὶ καθεύδοντα, κηλούμενα. Φιλόμουσον ἀντὶ τοῦ φιλόσοφον. Ἄσιτον] σημείωσαι ὅτι τοὺς τέττιγας λέγει τὸ παράπαν μὴ δεῖσθαι τροφῆς, τῇ δὲ δρόσῳ ἀρκεῖσθαι μόνῃ. Ἴασι] πέμπουσιν.

260. Ὄνου σκιὰ ἐπὶ τῶν μηδενὸς ἀξίων. φασὶ δὲ εἱλκύσθαι τὴν παροιμίαν ἀπὸ τοῦ Δημοσθένει τῷ ῥήτορι συμβάντος. δίκην γάρ ποτε, ὥς φησιν Ἀριστείδης, ἀπολογούμενος, ἧς τὸ τίμημα ἦν τί χρὴ παθεῖν ἢ ἀποτῖσαι, τοῦ κατηγόρου δεινῶς εἰρηκότος καὶ προεξειργασμένου διότι ὁ εὐθυνόμενος οὐδενὶ δικαίῳ μόνῃ δὲ τῇ Δημοσθένους δεινότητι πέποιθεν, ὡς οἱ δικασταὶ μετεωρισθέντες οὐ προσεῖχον τὸν νοῦν τῷ Δημοσθένει, ἀλλ'

ἐθορύβουν κωλύοντες ἀπολογεῖσθαι, καὶ τοῦτο συνέβαινεν ἐπὶ πλείονα χρόνον, διαλειπόντων ποτὲ μικρὸν καὶ γενομένης βραχείας ἡσυχίας "ἄνδρες" ἔφη "δικασταί, μικρόν μου χρόνον ἀνάσχεσθε, καὶ συγχωρήσατέ μοι λόγον οὐ πάλαι γεγονότα διηγήσασθαι." τῶν δὲ συγχωρησάντων διὰ τὸ μέγα τι ὑπολαβεῖν τὸ ὑπ' αὐτοῦ μέλλον λέγεσθαι, "νεανίσκος τις" ἔφη "τῶν ἐπὶ φιλολογίαν εἰς τὴν πόλιν ἡμῶν παραγεγονότων, ὅτε ἀποτρέχειν ἔμελλεν, ἐμισθώσατο ὄνον πρὸς τὸ τὰ σκεύη αὐτοῦ διακομίσασθαι μέχρι Μεγαρέων. ὑπὸ κύνα δὲ τῆς ὥρας ὑπαρχούσης, κατὰ τὸ μέσον τῆς ἡμέρας ἐκκαίοντος τοῦ ἡλίου σφοδρότερον, οὔτε τὸ ὑποζύγιον συνέβαινεν ἐθέλειν ὁδοιπορεῖν οὔτε αὐτὸν ἀκολουθεῖν δύνασθαι. καταλύσαντος οὖν τὸ φορτίον τοῦ ὀνηλάτου, καὶ τὸν ὄνον στήσαντος ἐκτὸς τῆς ὁδοῦ, μὴ δυνάμενος ὑπομένειν τὸ καῦμα, ἀλλὰ κακῶς διακείμενος ὑπὸ τὴν τοῦ ὄνου σκιὰν ὑποδὺς μένειν οἷός τε ἦν. τοῦ δὲ ὀνηλάτου ἐκεῖνον μὲν κωλύοντος, ἑαυτῷ δὲ ἐπιβάλλειν λέγοντος διὰ τὸ καὶ τὸν ὄνον ἴδιον εἶναι καὶ τὴν ἀπ' αὐτοῦ σκιὰν ὑπάρχειν ἰδίαν· μεμισθωκέναι γὰρ μόνον τὸν ὄνον διακομιοῦντα αὐτοῦ τὰ σκεύη, οὐ μὴν τὴν σκιὰν αὐτοῦ. ὡς δὲ καὶ ὁ νεανίσκος ἀντέλεγε πάλιν, φάσκων τὴν ἡμέραν ὅλην αὐτοῦ τὸν ὄνον εἶναι, καὶ πολλὴν ἀντιλογίαν συνέβαινεν ἐκ τούτου γίνεσθαι, ἕως εἰς μάχην ὥρμησαν." ἐπεὶ δ' ὁ μὲν ταῦτα εἰπὼν κατέβαινεν ἀπὸ τοῦ βήματος, οἱ δὲ δικασταὶ κατεῖχον ἀξιοῦντες τὸ γενόμενον πέρας ἐξηγήσασθαι, ἐπιστραφεὶς "ἄνδρες" εἶπεν, "ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκοῦσαι, ὑπὲρ ἀνθρώπου δὲ κινδυνεύοντος τῷ βίῳ κωλύετε λέγειν;" καὶ οὕτω τοὺς δικαστάς, συγχωρήσαντας ὀρθῶς ὑπὸ τοῦ ῥήτορος ἐπιπεπλῆχθαι, λέγειν ἐφεῖναι. ὅθεν τό τε τοῦ διηγήματος εὔστοχον καὶ τὸ τοῦ φρονήματος παῤῥησιαστικὸν διαμνημονευθὲν παροιμίας ἔλαβε τάξιν. *Καρπὸν ὧν ἔσπειρας θέριζε*, ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου

εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο,

καὶ πάλιν

ὃς δὲ κακὰ σπείρει, θερίει κακὰ κήδεα παισίν.

Ἐκεῖνο] τὸ ἀληθὲς δηλαδή. *Ἐμὲ*] τὴν τοῦ πείθειν δύναμιν.

261. *Ἱκανῶς φιλοσοφήσῃ*] οἱ γὰρ ἄριστοι ῥήτορες καὶ φιλόσοφοι, ὡς Περικλῆς Ἀναξαγόρου, ὡς Δημοσθένης Πλάτωνος γεγονότες μαθηταί. *Περὶ τὰς δίκας*] ἔθος ἦν παλαιὸν ἐν τοῖς δικαστηρίοις δημοσίοις τε λόγοις τοὺς ῥήτορας διατρίβειν, οὐ μὴν ἐν ταῖς γινομέναις συνουσίαις ἰδίᾳ. *Γοργίας* παράλληλος Νέστορι ὡς αἰδήμων καὶ πολυετής· ὀκτὼ γὰρ καὶ ἑκατὸν ἔζησεν ἔτη· ὡς δεινοὶ οἱ ἄλλοι Ὀδυσσεῖ. *Ἐλεατικὸν Παλαμήδην*] Ζήνωνά φησι τὸν Παρμενίδου ἑταῖρον, ὅτι δὴ πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνήρ, ὡς καὶ Παλαμήδης.

262. *Ἦ*] σύνδεσμος ἀπορηματικὸς ἀντὶ τοῦ ἆρα τὸ ἦ, ὡς τὸ

ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι;

Ψιλῶς τὸ μὴ ἐπὶ ὑποδείγματος φησίν.

263. *Ὁ εἰδὼς*] σημείωσαι ὅτι ὁ φιλόσοφος ὡς παιδιᾷ χρῆται τοῖς τῶν ῥητόρων λόγοις, καὶ ὅπερ ἐκεῖνοι μετὰ σπουδῆς ποιοῦσι, τὸ διὰ τῶν ὁμοιοτήτων παράγειν τοὺς ἀκούοντας, οὗτος ἐν παιδιᾶς μοίρᾳ ἔχει.

Τοῦτο τὸ γέρας] τὸ δύνασθαι διακρίνειν τοὺς κατὰ τέχνην λέγοντας καὶ μή. Ἀμηχάνως] ἀντὶ τοῦ θαυμασίως πάνυ ὡρίσω. Ἦ πολλοῦ δεῖν] ὄντως λίαν ἐλλείπειν (οὐδαμῶς B). Διανεῖν] διακολυμβᾶν, διαπερᾶν.

264. Ἑτέρους λόγους] τοὺς μετ' ἀληθείας.

267. Ἐν μέτρῳ] ἐπειδὴ τὰ ἔπη τῶν καταλογάδην εὐμνημονευτότερα. Μουσεῖα λόγων] τὰ πάρισα, ὡς τὸ "καὶ φιλοκίνδυνον τὸν βίον κατέστησεν, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν." (Isocrat. Helen. 19.) Διπλασιολογίαν] τὸ τὰ αὐτὰ δὶς λέγειν, ὡς τὸ φεῦ φεῦ. Εἰκονολογίαν] τὸ δι' εἰκόνος καὶ δι' ὑποδείγματός τι δηλοῦν. γνωμολογία δὲ, ὡς τὸ "δεινὸν ἡ πονηρία." ὁ Λικύμνιος δὲ Πώλου διδάσκαλος, ὃς διῄρει τὰ ὀνόματα εἰς κύρια, σύνθετα, ἀδελφά, ἐπίθετα, καὶ εἰς ἄλλα τινά.

268. Ἤτριον τὸ εὐυφὲς ἱμάτιον καὶ ἀραιόν.

272. Λύκου ῥήματα, ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. ἰδὼν γὰρ λύκος ποιμένα ἐσθίοντα προβάτεια εἶπεν "ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτ' ἐποίουν;" ἐμνήσθη ταύτης ἐνταῦθα Πλάτων.

276. Ἀδώνιδος κῆποι, ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. ἐμνήσθη δὲ αὐτῆς καὶ Εὐριπίδης Μελανίππῃ καὶ ἐνταῦθα Πλάτων.

279. Κοινὰ τὰ τῶν φίλων, ἐπὶ τῶν εὐμεταδότων. φασὶ δὲ λεχθῆναι πρῶτον τὴν παροιμίαν περὶ τὴν μεγάλην Ἑλλάδα, καθ' οὓς χρόνους ὁ Πυθαγόρας ἔπειθε τοὺς αὐτὴν κατοικοῦντας ἀδιανέμητα πάντα κεκτῆσθαι. φησὶ γοῦν ὁ Τίμαιος ἐν τῇ ἑ (ιέ Sieb.) οὕτω· "προσιόντων δ' οὖν αὐτῷ τῶν νεωτέρων καὶ βουλομένων συνδιατρίβειν οὐκ εὐθὺς συνεχώρησεν, ἀλλ' ἔφη δεῖν καὶ τὰς οὐσίας κοινὰς εἶναι τῶν ἐντυγχανόντων." εἶτα μετὰ πολλά φησι "καὶ δι' ἐκείνους πρῶτον ῥηθῆναι κατὰ τὴν Ἰταλίαν ὅτι κοινὰ τὰ τῶν φίλων." ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ θ (η B) τῶν Ἠθικῶν. Κλέαρχος δέ φησιν ὑπὸ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ πεμφθῆναι δῶρα εἰς Δελφοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι· τῶν δὲ Δελφῶν μαντευομένων εἰ ἐξ ἴσης τὴν ἀνάθεσιν ποιήσωνται, ἔφησεν ὁ θεὸς "κοινὰ τὰ τῶν φίλων." καὶ Μένανδρος ἐν Ἀδελφοῖς β'.[1]

IN LYSIN.

203. Ἀκαδημίας] Ἀθήνησι προάστειον γυμνάσιον ἀλσῶδες, ἀπό τινος Ἀκαδήμου ἥρωος ὀνομασθέν.

205. Κέλησι] ἄζυξιν ἵπποις. Κρονικώτερα] ἢ τὰ ἀρχαιότερα καὶ παλαιά, ἢ τὰ εὐήθη. Πρὸ τῆς νίκης ᾄδεις τὸ ἐγκώμιον, ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων.

206. Ἑρμαῖα] ἓν τῶν Ἑρμοῦ ἐπιτηδευμάτων καὶ ἡ παλαιστρική. ἐπεὶ οὖν παλαίστρα ἡ διατριβὴ, εἰκὸς τοὺς αὐτόθι φοιτῶντας νέους Ἑρμῇ ἀπαρχομένους τῆς τιμῆς, καθότι ἔφορος τῆς παλαιστρικῆς, Ἑρμαῖα τὴν τελετὴν ὀνομάζειν. λέγεται δὲ καὶ παίδων οὕτως ἀγὼν παρὰ Συ-

[1] μ. ἐνδελφοῖς Ξ, μ. ἀδελφοῖς ἐν B.

ῥακουσίοις, ὥς φησι Διογενιανός. 𝔄. Ἀστραγαλίζειν τὸ ἀστραγάλοις παίζειν, ὅπερ καὶ ἀστρίζειν ἔλεγον, ἐπεὶ καὶ τοὺς ἀστραγάλους ἄστριας ἐκάλουν. Καλλίμαχος·

ζορκός τοι, φίλε κοῦρε, Λιβυστίδος αὐτίκα δώσω
. . . νεοσμήκτους ἄστριας.

ἔνιοι δὲ ἀστρίχους φασίν. παίζεται δὲ ἀστραγάλοις τέσσαρσιν, καὶ εἷς ἕκαστος ἀστράγαλος πτώσεις ἔχει τέσσαρας ἐξ ἑβδομάδος κατὰ ἀντίθετον συγκειμένας ὥσπερ ὁ κύβος· ἔχει δὲ ἀντικείμενα μονάδα καὶ ἑξάδα, εἶτα τριάδα καὶ τετράδα· ἡ γὰρ δυὰς καὶ πεντὰς ἐπὶ τῶν κύβων μόνων παραλαμβάνεται διὰ τὸ ἐκείνους ἐπιφανείας ἔχειν ἕξ. εἰσὶ δὲ αἱ σύμπασαι τῶν ἀστραγάλων πτώσεις ὁμοῦ τεσσάρων παραλαμβανομένων πέντε καὶ τριάκοντα. τούτων δὲ αἱ μὲν θεῶν εἰσὶν ἐπώνυμοι, αἱ δὲ ἡρώων, αἱ δὲ βασιλέων, αἱ δὲ ἐνδόξων ἀνδρῶν, αἱ δὲ ἑταιρίδων· αἱ δὲ ἀπό τινων συμβεβηκότων ἤτοι τιμῆς ἕνεκα ἢ χλεύης προσηγόρευνται. λέγεται δέ τις ἐν αὐταῖς Στησίχορος καὶ ἑτέρα Εὐριπίδης, Στησίχορος μὲν ὁ σημαίνων τὴν ὀκτάδα, ἐπεὶ ὁ ἐν Ἱμέρᾳ τοῦ μελοποιοῦ τάφος ἐξ ὀκτὼ γωνιῶν συνέκειτο, Εὐριπίδης δὲ ὁ τὸν τεσσαράκοντα· εἷς γὰρ Εὐριπίδης τῶν τεσσαράκοντα Ἀθήνησι προστατῶν τῶν μετὰ τὴν τῶν λ τυράννων κατασταθέντων κατάλυσιν. τῶν δὲ βόλων ὁ μὲν τὰ ἓξ δυνάμενος Κῷος καὶ ἑξίτης ἐλέγετο, Χῖος δὲ ὁ τὸ ἓν καὶ κύων. λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου, οἷον Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· ἀφ' οὗ καὶ Στράττις Λιμνοπέδαις

Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

ἔπαιζον δὲ ἀστραγάλοις καὶ πολλοῖς καθάπερ καρύοις καὶ ὀλίγοις, τοῦ δὲ εἴδους τῶν πολλῶν τὸ μὲν ἀρτιασμὸν ἔλεγον, τὸ δὲ τρόπα, τὸ δὲ ὤμιλλαν. ἀρτιασμὸς μὲν οὖν ἐστὶ τὸ δραξάμενον ἀστραγάλων ἤ τινων ἄλλων ἐξετάζειν τὸν συμπαίζοντα πότερον ἀρτίους ἢ περισσοὺς κατέχει. Ἀριστοφάνης Πλούτῳ (817)

στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν.

τρόπα δ' ἐστὶν ἡ εἰς βόθυνον ἐκ διαστήματος βολή. Κρατῖνος ἐν Πυλαίᾳ

ἢ Διονυσίοις ἀκύλοις παίζουσ' [1] ἀνέμενοι τρόπα.

ἡ δὲ ὤμιλλά ἐστιν ὅταν περιγράψαντες κύκλον ἐπιρρίπτωσιν ἀστραγάλους ἤ τι ἄλλο, ὡς τῇ μὲν ἐντὸς βολῇ νικώντων τῇ δὲ ἐκτὸς ἡττωμένων. Εὔπολις Χρυσῷ γένει μεταφέρων ἐπὶ τὴν ἐκ κυκλώπων κατάκλισιν τοὔνομα οὕτως φησίν· ἔπειτ' εἴσειμι ἐνθάδε μείνας εἰς ὤμιλλαν κἂν μὴ μετίῃ. 𝔄. Παιδιά τις τὸ ἀρτιάζειν, ἐν ᾗ τοὺς ἀρτίους καὶ περισσοὺς ἀριθμοὺς καταστοχάζονται. σημαίνει δὲ καὶ τὸ πληροῦν καὶ συντελεῖν. 𝔄. Φορμίσκων] καλαθίσκων. 𝔄: Πλεκτῶν ἀγγείων ἤτοι σπυρίδων. φορμίον δὲ πλέγμα τι ψιαθῶδες παρ' Ἱππώνακτι.

207. Ἐπηλυγισάμενος] ἐπισκιασάμενος, ἐπικρυψάμενος· λύγη γὰρ ἡ σκιά. Παιδοτρίβην] ἀλείπτην, γυμναστήν.

208. Ὀρικοῦ] τοῦ ἡμιονικοῦ· ὀρεὺς γὰρ ὁ ἡμίονος.

209. Ψῆλαι τὸ ἄνευ πλήκτρου τῷ δακτύλῳ τὰς χορδὰς ἐπαφᾶσθαι 𝔄.

[1] 𝔄 ἢ διονύσοις ἀκοίλοις παίζουσιν.

216. Ὥς γε οὑτωσὶ ἀκοῦσαι] ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ἀκοὴν, κατ' αὐτὴν τὴν πρώτην ἔντευξιν. Χ. Ἀλλόκοτον, ἐξηλλαγμένον καὶ ἰδιότροπον. Τὸ καλὸν φίλον] ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων.

IN PROTAGORAM.

309. Πώγωνος ἤδη ὑποπιμπλάμενος] τῆς αὐτῆς φράσεως καὶ τὸ ἄρτι χνοάζων τὰς παρειὰς, καὶ τὸ ἀρτίχνοος, καὶ τὸ ἰούλοις ὑποσκιαζόμενος ἤδη, καὶ τὸ πρῶτος ὑπηνήτης. Χ. Ὦ] θαυμαστικόν. Χ.

310. Τῆς παρελθούσης] Ἀττικὸν τοῦτο· τὸ γὰρ κοινὸν τὴν παρελθοῦσαν νύκτα ταύτην ὑπὸ βαθὺν ὄρθρον. Χ.

315. Λιπαρῶς] ἐπιμελῶς, προσεδρευτικῶς.

335. Δολιχοδρόμοι εἰσὶν οἱ τὸν δόλιχον τρέχοντες, οὗ αἰτία ἥδε· δρομοκήρυκες ἐξ Ἀρκαδίας ἐφοίτων εἰς τὴν Ἑλλάδα τῶν πολεμικῶν ἄγγελοι, καὶ ἀπείρητο αὐτοῖς ἱππεύειν ἀλλ' αὐτουργοῖς εἶναι τοῦ δρόμου. τὸ ἀεὶ οὖν ἐν βραχεῖ τῆς ἡμέρας διαδραμεῖν στάδια ὁπόσα ὁ δόλιχος, δρομοκήρυκας εἰργάζετο καὶ ἐγύμναζεν ἐν τῷ πολέμῳ. ἡμεροδρόμοι δὲ οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι.

337. Πρυτανεῖον] θεσμοθέσιον, θόλος. λέγεται δὲ καὶ ἡ ἐπιμήνιος μισθοφορά.

338. Ῥαβδοῦχοι ἄνδρες τῆς τῶν θεάτρων εὐκοσμίας ἐπιμελούμενοι.

340. Εἰς καιρὸν] εὐκαίρως.

342. Πολλοῦ γε δεῖ] τοῦτο καθ' ὑπόκρισιν λέγεται ἀποφατικῶς ἀπὸ τοῦ πολυ ἐνδεῖ.

344. Χαριέντως] ἀστείως, συνετῶς. σημαίνει δὲ καὶ τὸ μετὰ παιγνιᾶς.

349. Διόρισαι] ἤγουν ἔξω τῶν ὅρων ποίησον. Ἴτας] θαρραλέους, ἐπὶ πάντα ὁρμῶντας.

IN LACHETEM.

180. Παρακαλεῖς] ἀντὶ τοῦ καλεῖς εὐχρήστως ἄγαν. Χ.

184. Στύραξ κέντρον, κέρας, ἐπιδορατίς.

187. Ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος] ἐπὶ τῶν ἐπισφαλέστερον καὶ ἐν ἀλλοτρίοις κινδυνευόντων· Κᾶρες γὰρ δοκοῦσι πρῶτοι μισθοφορῆσαι, ὅθεν καὶ εἰς πόλεμον αὐτοὺς προέταττον. ἐντεῦθεν γὰρ καὶ τοὺς μικροὺς στρατιώτας τινὲς Καρίωνας προσηγόρευον· καὶ τὸ παρ' Ὁμήρῳ δὲ "ἐν Καρὸς αἴσῃ" ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. μέμνηται δ' αὐτῆς Ἀρχίλοχος, λέγων

καὶ δὴ 'πίκουρος ὥστε Κὰρ κεκλήσομαι,

καὶ Ἔφορος ἐν ά ἱστοριῶν, καὶ Φιλήμων ἐν Γάμῳ

ἐν Καρὶ τὸν κίνδυνον οἶδα,[1] ἰόσποτα,
καὶ Εὐριπίδης Κύκλωπι
δράσω τάδ'· ἐν Καρὶ κινδυνευτέον.
καὶ Κρατῖνος Βουκόλοις
ἐν Καρὶ τὸν κίνδυνον ἐν ἐμοὶ δὴ δοκεῖ
πρώτῳ πειρᾶσθαι.
καὶ Πλάτων ἐνταῦθα. 𝔄: ἐν τῷ Καρὶ ἀντὶ τοῦ ἐν τῷ δούλῳ· καὶ γὰρ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἀπὸ Καρῶν καὶ Θρᾳκῶν τοὺς δούλους ἐποιοῦντο, ὅθεν τοὺς δούλους Κᾶρας ὠνόμαζον καὶ Θρᾷκας, καὶ τὰς δούλας Θρᾴττας καὶ Καείρας. Παροιμία, ἐν πίθῳ τὴν κεραμείαν, ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀριστοφάνης ἐν Προαγῶσι καὶ Πλάτων ἐν Γοργίᾳ, λέγων "τὸ λεγόμενον δὴ τοῦτο, ἐν πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν," καὶ ἐνταῦθα.

191. *Γερροφόροις*] τὰ σκεπάσματα πάντα οἱ Ἀττικοὶ γέρρα ἔλεγον. τινὲς δὲ δερμάτινα σκεπάσματά τινα καὶ Περσικά, οἷς ἀντὶ ἀσπίδων ἐχρῶντο. οἱ δὲ γέρρα τὰς σκηνάς φασι, καὶ γερροφόρους τοὺς τὰ εἰρημένα φέροντας.

192. *Ἡμῖν αὐτοῖς* ἀντὶ τοῦ ἀλλήλοις. 𝔄.

196. *Οὐκ ἂν πᾶσα ὗς γνοίη*] κἂν κύων κἂν ὗς γνοίη, ἐπὶ τοῦ ῥᾳδίου καὶ εὐγνώστου, ὥστε καὶ τὰ ἀμαθέστατα ζῷα καταμαθεῖν.

197. *Μῶρον*] Ἀττικοὶ οὕτως τὸν μῶρον προπερισπωμένως. 𝔄. Αἰξωνὶς δῆμος Κεκροπίδος, καὶ Αἰξωνεῖς οἱ ἐκεῖθεν, οἳ καὶ βλάσφημοι ἐκωμῳδοῦντο εἶναι· παρ' ὃ καὶ αἰξωνεύεσθαί φασι τὸ βλασφημεῖν· ὃ καὶ ἡ Πλατωνικὴ ῥῆσις δηλοῖ. 𝔄: ἀντὶ τοῦ ὑπερήφανον· οἱ γὰρ Αἰξωνεῖς εἰς ὑπερηφανίαν ἐσκώπτοντο.

IN CHARMIDEM.

153. *Ποτίδαια* πόλις Θράκης ἐν Μακεδονίᾳ, κτίσμα Κορινθίων. 𝔄. ἀντικρὺ παρὰ μὲν Ὁμήρῳ ἐστὶ τὸ κατ' εὐθὺ καὶ ἐξ ἐναντίας,
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος·
καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ δευτέρᾳ ὁμοίως· "οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἀντικρὺ δίεξοδον εἰς τὸ ἔξω." παρὰ Δημοσθένει δὲ ἐν τῷ κατὰ Ἀριστοκράτους ἀντὶ τοῦ φανερῶς· "φανερῶς γράψας, ὥσπερ νῦν ἐγὼ τοῖς ῥήμασιν, οὕτως ἀντικρύ." καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ "σωφροσύνην λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἀντικρὺ ἐλευθερίαν," τὴν φανερὰν λέγων. σημαίνει δὲ καὶ τὸ ταχέως καὶ ὁλοσχερῶς. Ὅμηρος
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
πλῆξ' ἄορι μεγάλῳ, αἰχμὴν παρὰ καυλὸν ὄπισθεν,
ἀντικρὺ δ' ἀπάραξε.
καὶ τὸ ἐκ τοῦ ἐναντίου·

[1] οἶσθα corr. B.

ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.

'Επιεικῶς] ἱκανῶς, ἐπίπαν, φιλικῶς, εὐγνωμόνως καὶ ἐπιμελῶς· ἴσθ' ὅτε καὶ ἀντὶ τοῦ συνεχῶς. καὶ ἐπιεικὴς ὁ μέτριος. "Αδην] ἅλις, εἰς κόρον, ἱκανῶς, δαψιλῶς, ἀρκούντως.

154. Παροιμία λευκὴ στάθμη, ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, κἂν τούτῳ μηδὲν συνιέντων. ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐδὲν δύναται δεικνύναι, διὰ τὸ μὴ παραλλάττειν καθάπερ ἡ διὰ τῆς μίλτου γινομένη, ὡς Σοφοκλῆς Κηδαλίωνι

τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.

ἔστι δὲ στάθμη σπάρτος τεκτονική. κατ' ἔλλειψιν δὲ εἴρηται ἡ παροιμία· διὸ καὶ ἀσαφὴς ἐγένετο. τὸ δὲ ὅλον ἐστὶ τοιοῦτον· ἐν λευκῷ λίθῳ λευκὴ στάθμη.

155. Τότε δὴ —] ἀπόλοιο δῆτ' ὦ Πλάτων οὕτως ἐπιβούλως ψυχαῖς ἀφελέσι τὸν λόγον προσενεγκών. Α.

159. Οὐ τῶν καλῶν —] ἐπηρεάζεις τῷ λόγῳ, ὦ Σώκρατες, σοφιστικῶς τὸν καλὸν παρακρουόμενος Χαρμίδην. εἰ γὰρ καὶ μὴ ἱκανῶς τὸν περὶ σωφροσύνης ἀποδέδωκε λόγον, ἀλλ' οὖν οὐχὶ καὶ ὅλῳ καὶ παντὶ διαφέροντα. μέρος γοῦν τὸ ἡσυχῇ τι καὶ κοσμίως πράττειν σωφροσύνης. ἡσυχῇ δὲ ἀντὶ τοῦ ἀταράχως φημί· σὺ δὲ ὁμωνύμως τὸ ἡσυχῇ ἀντὶ τοῦ νωθρῶς ἐκδεχόμενος δῆλος εἶ σοφιστεύων τὴν ἐπιχείρησιν. Α.

162. Στλεγγὶς ξύστρα· τὸ πάλαι δὲ ἡ τοῦ καλάμου κόμη παρὰ Λάκωσιν, ᾗ ἀπεμάσσοντο. στλεγγίσματα δὲ τὰ περιξύσματα. κυρίως δὲ καλάμιναι ξύστραι. ὁ δὲ Θυατειρηνὸς στλεγγίδα μὲν τὴν ξύστραν, στλαγγίδα δὲ τὸ χρυσοῦν στεφάνιον.

163. 'Επ' οἰκήματος] ἐπὶ τοῦ δεσμωτηρίου, ὡς Λυσίας, ἢ ἐπὶ πορνείου, ὡς 'Αττικοί.

165. Παροιμία ἐγγύα, πάρα δ' ἄτα, ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων. λέγουσι δ' αὐτὸ ἐν Δελφοῖς ἀναγεγράφθαι. οἱ δὲ εἶπον αὐτὴν οὐχ οὕτως ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη· καὶ παρέχουσι μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα

εἰς ἐγγύας τρεῖς εἰσπεσὼν ἀνῃρέθην.
— οὔπω τότ' ἐν Δελφοῖσιν ἦν τὰ γράμματα
τὴν ἐγγύην ἄτην [λέγοντ'; —ἦν,] ἀλλ' ἐγὼ
φιλέταιρον εἶχον ἦθος.[1]

ὅτι δέ ἐστιν ἐν Δελφοῖς "ἐγγύα, πάρα δ' ἄτα," δῆλον ποιεῖ Πλάτων Χαρμίδῃ, λέγων "ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερα γράμματα ἀναθέντες, τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύα, πάρα δ' ἄτα." Λογιστική ἐστι θεωρία τῶν ἀριθμητῶν, οὐχὶ δὲ τῶν ἀριθμῶν μεταχειριστική, οὐ τὸν ὄντως ἀριθμὸν λαμβάνουσα, ἀλλ' ὑποτιθεμένη τὸ μὲν ἓν ὡς μονάδα, τὸ δὲ ἀριθμητὸν ὡς ἀριθμόν, οἷον τὰ τρία τριάδα εἶναι καὶ τὰ δέκα δεκάδα· ἐφ' ὧν ἐπάγει τὰ κατὰ ἀριθμητικὴν θεωρήματα. θεωρεῖ οὖν τοῦτο μὲν τὸ κληθὲν ὑπ' 'Αρχιμήδους βοεικὸν πρό-

[1] Libri v. 1. πεσὼν, 2. οὕτω ποτ', 4. ἔθος, personis non distinctis, omissis 3. ἦν et, quod Buttmanno debeo, λέγοντ'.

βλημα, τοῦτο δὲ μηλίτας καὶ φιαλίτας ἀριθμοὺς, τοὺς μὲν ἐπὶ φιαλῶν, τοὺς δὲ ἐπὶ ποίμνης· καὶ ἐπ' ἄλλων δὲ γενῶν τὰ πλήθη τῶν αἰσθητῶν σωμάτων σκοποῦσα, ὡς περὶ τελείων ἀποφαίνεται. ὕλη δὲ αὐτῆς πάντα τὰ ἀριθμητά· μέρη δὲ αὐτῆς αἱ Ἑλληνικαὶ καὶ Αἰγυπτιακαὶ καλούμεναι μέθοδοι ἐν πολλαπλασιασμοῖς καὶ μερισμοῖς, καὶ αἱ τῶν μορίων συγκεφαλαιώσεις καὶ διαιρέσεις, αἷς ἰχνεύει τὰ κατὰ τὴν ὕλην ἐμφωλευόμενα (ἐφοδευόμενα B) τῶν προβλημάτων τῇ περὶ τοὺς τριγώνους καὶ πολυγώνους πραγματείᾳ. τέλος δὲ αὐτῆς τὸ κοινωνικὸν ἐν βίῳ καὶ χρήσιμον ἐν συμβολαίοις, εἰ καὶ δοκεῖ περὶ τῶν αἰσθητῶν ὡς τελείων ἀποφαίνεσθαι. γεωμετρία ἐστὶν ἐπιστήμη θεωρητικὴ μεγεθῶν καὶ σχημάτων, καὶ τῶν περιοριζουσῶν καὶ περατουσῶν ταῦτα ἐπιφανειῶν καὶ γραμμῶν, τῶν τε ἐν τούτοις παθῶν καὶ σχέσεων, καὶ ἐνεργειῶν ἐν μορφαῖς, καὶ κινήσεων ἐν ποιότησι. πάθη μὲν οὖν λέγεται τὰ περὶ τὰς διαιρέσεις, σχέσεις δὲ οἱ τῶν μεγεθῶν πρὸς ἄλληλα λόγοι καὶ θέσεις καὶ καθ' αὑτὰ ἐπιβάλλουσιν ἡμῖν αὐτοῖς καὶ πρὸς ἄλληλα συγκρίνουσιν.

167. Τὸ τρίτον τῷ σωτῆρι, ἐπὶ τῶν τελείως τι πραττόντων. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ σωτῆρι. τέλειος γὰρ ὁ τρία ἀριθμὸς, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος. τέλειος δὲ καὶ ὁ Ζεὺς, ὥστε κατὰ λόγον τρίτον τῷ Διὶ σπένδεταί τε καὶ ὁ κρατὴρ τρίτος τίθεται. Σοφοκλῆς Ναυπλίῳ

καὶ Διὸς σωτηρίου
σπονδὴ τρίτου κρατῆρος,

καὶ Πλάτων Πολιτείαις καὶ ἐνταῦθα.

175. Ἀμωσγέπως] τοῦτο ἐν ἴσῳ τῷ καθ' ὁντινοῦν τρόπον. ἔνιοι τὸ μετρίως. παρὰ Πλάτωνι τὸ ἐκ παντὸς τρόπου.

176. Ὁσημέραι] διὰ παντὸς, πάντοτε, καθ' ἡμέραν.

IN EUTHYPHRONEM.

2. Δίκη ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις, γραφὴ ἡ ὑπὲρ δημοσίων. ꝛ: δίκην γὰρ βούλονται λέγειν πᾶσαν τὴν περὶ τὰ συμβόλαια ἀμφισβήτησιν, γραφὴν δὲ τὴν περὶ τὰ ἐγκλήματα κατηγορίαν. Ἀγνὼς] τοῦτ' ἔστιν ἄγνωστος. Πιτθὶς δῆμος Αἰγηΐδος Ἀθήνησιν, ἐξ οὗ οὗτος.[1] Ἀτεχνῶς] παντελῶς, ἁπλῶς, ἢ καθάπαξ, ἰσχυρῶς, ἢ τελέως. οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι, καὶ ἀληθείᾳ. οἱ δὲ δηλοῦν τὸ παράπαν

[1] Πιτθὶς in glossæ capite, ubi Mss. Medic. et Regii male Πιτθεὺς habent, ex Vindob. et August. scripsimus, secuti etiam auctoritatem Harpocrationis in v. ubi vide Valesium. Non Πιτθίδα, sed Πίθον, hunc populum vocat Stephan. Byz. unde est Πιθεὺς apud eundem, et in marmore Sponiano Itin. T. iii. p. 119. Frequentior tamen scriptura est Πιτθεὺς, ut in marmore apud Corsin. Fast. Att. T. i. p. 170. et in Isæi Oratione de Menoclis hered. quam nuper edidit Th. Tyrwhittus, p. 14. in cujus Orat. de Ciron. hered. p. 70. Editores vitiosum Πιτέως pro Πιτθέως reliquerunt. Eandem formam in suo Platonis exemplo reperit Theophilus Corydall. ap. Fabricium B. Gr. Vol. xiii. p. 720. Adde Taylorum ad Demosth. c. Mid. p. 181. Sed hoc leve est. Illud potius notandum, populum Pittheum, quem Scho-

καὶ καθόλου, κατ' ἀλήθειαν. Ἄλλως. Ἀτεχνῶς παντελῶς, ἢ ἀντὶ τοῦ λίαν, περισπωμένως· βαρυτόνως δὲ τὸ ἀπείρως.[1] Ἀφ' ἑστίας[2]] ἐπὶ τῶν ἐν δυνάμει γινομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν.[3] φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν φασι τὸν Δία τὴν βασιλείαν παραλαβόντα[4] ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων. Ἄλλως.[5] ἀφ' ἑστίας. παροιμία δέ ἐστιν, μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων· ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. ἢ ἀφ' ἑστίας, ἤτοι ἀπὸ τῶν οἰκειοτάτων· ἑστία γὰρ ἡ οἰκία.

3. Κακουργεῖν τὴν πόλιν] σημείωσαι διὰ τὴν σύνταξιν. 𝔄. Ὁμόσε ἰέναι] δύο σημαίνει τοῦτο, παρὰ μὲν τοῖς ῥήτορσι τὸ ἀπ' ἐναντίας ἤτοι τὸ ἀντικείμενον, ὡς παρὰ Δημοσθένει ἐν τῷ κατὰ Διονυσοδώρου "αὐτὸς δὲ ὁρᾷ ἡμᾶς ὁμόσε πορευομένους," παρ' Ὁμήρῳ δὲ τὸ ὁμοῦ, ὡς ἐπὶ τοῦδε· ὅσσοι ἀπ' Ἰδαίων ὀρέων—Φοῖβος Ἀπόλλων (Il. 12, 19—24). 𝔄.

4. ἤ που] ἴσως, σχεδόν. Πελάτης] ὁ ἀντιστροφῶν καὶ ὑπηρετῶν,[6] καὶ προσπελάζων, ἀπὸ τοῦ πέλας ἤτοι ἐγγὺς, ἐκαλεῖτο ὁ δι' ἔνδειαν προσιὼν, μίσθιος δὲ ὑπηρετῶν. Ἄλλως. Πελάται εἰσὶν οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι, καὶ θῆτες. οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι,[7] ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν. 𝔄: πελάτης ἑταῖρος,

liastes noster ad tribum Ægeidem refert, ab Harpocratione, Stephano, et lapidibus literatis, quos modo laudavimus, ad Cecropidem referri. Ceterum Corsinus l. c. p. 191. scribens, hunc populum a Plutarcho in Theseo commemorari, nimium festinavit. Is Pittheum, Thesei avum, commemorat, non pagum Atticum. RUHNKEN. cf. Buttmann. ad Demosth. Mid. p. 41.

[1] Ἀτεχνῶς] Atticista Ms. in Bibl. Medicea: Ἀτέχνως· ἀπλάστως, ἀδόλως. Τέχνη γὰρ ὁ δόλος. Ἀτεχνῶς, ὡς βεβαίως, (leg. σαφῶς, βεβαίως) ἀσφαλῶς, φανερῶς, ἢ ἀληθῶς, τῷ ὄντι, ἁπλῶς, χωρὶς πανουργίας, ἢ τελείως, παντελῶς, καθάπαξ, καθόλου. Similia sunt apud Etymol. M. p. 162. 54. Suidas hunc vocis usum Platonis auctoritate confirmat; cujus exempla ad Timæum attulimus, p. 52. RUHNK.

[2] Ἀφ' ἑστίας ἄρχεσθαι] Hunc Platonis locum laudat Scholiast. Aristoph. ad Vesp. 842. sic corrigendus e Scholiis nostris: Μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, τὸν Δία διαδεξάμενον τὴν βασιλείαν etc. Proverbium, ἀφ' ἑστίας ἄρχεσθαι, satis illustratum a Casaubono ad Strabon. i. p. 18. ut alios taceamus, bis restituimus Philoni Judæo T. i. p. 674. T. ii. p. 561. ubi vulgo legitur, ἀφ' ἱερᾶς ἄρχεσθαι. Vera lectio conservata est T. ii. p. 534. 549. Mangejum, qui utrumque recte dici putat, nihil moramur. RUHNK.

[3] Τῇ Ἑστίᾳ πρώτῃ—θύειν] Plato Cratylo p. 264. G. τὸ γὰρ πρὸ πάντων θεῶν τῇ Ἑστίᾳ πρώτῃ προθύειν. RUHNK.

[4] Παραλαβόντα] Ms. Reg. C. διαδεξάμενον, ut Schol. Aristoph. l. c. RUHNK.

[5] Ἄλλως] Hoc posterius Scholion sumtum est vel ex Zenobio i. 40. vel ex Hesychio. RUHNK.

[6] Πελάτης ὁ ἀντιστρωφῶν] Lege ex Timæo: Πελ. ὁ ἀντὶ τροφῶν ὑπηρετῶν. quo etiam ducit Cod. Aug. scriptura ἀντιστροφῶν. RUHNK.

[7] Ἑκτήμοροι] Pollux e certa emendatione Jungermanni iv. 165. Ἑκτήμοροι, οἱ πελάται παρὰ τοῖς Ἀττικοῖς. Hesychius: Ἑκτήμοροι. οἱ ἕκτῳ μέρει τὴν γῆν γεωργοῦντες. Iidem voce antiqua Ἐπίμορτοι dicuntur. Hesychius: Ἐπίμορτος. ὁ μέρει ἐργαζόμενος. Μορτὴ γὰρ τὸ μέρος ἐκαλεῖτο. καὶ Ἑκτήμοροι, οἱ τὸ ἕκτον τελοῦντες. ubi præclare Hemsterhusius. Videri possit post ἐπεὶ, præpositio ἐπὶ excidisse, ἐπεὶ ἐπὶ τῷ ἕκτῳ, quam etiam Hemsterh. in Hesychii glossa proxime laudata resti-

συνήθης, παρὰ τὸ πελάζω, οἷον ὁ πέλας ὤν. Ἐξηγητοῦ] τοῦ τοὺς νόμους ἐξηγουμένου.[1] Μετάληψις ἡ στάσις αὕτη, καὶ μετάληψις ἄγραφος· οὐ γὰρ ἀπὸ ῥητοῦ τὴν παραγραφὴν ποιεῖται. ἡ μέντοι ἀντίθεσις ἀντεγκληματική· ἀντεγκαλεῖ γὰρ ὁ φεύγων ὡς ἄξιος παθεῖν τοῦτο ὁ τεθνηκὼς ὡς ἀνδροφόνος. Ἀ.

5. Λέγοντα] σημείωσαι πῶς οὐ πρὸς δοτικὴν ἀπέδωκε τὸ λοιπὸν τοῦ λόγου, ἀλλ' αἰτιατικὴν ἐπήνεγκεν, οἷον κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι αὐτὰ ταῦτα λέγοντα. Ἀ. Αὐτοσχεδιάζοντα] ἐκ τοῦ αὐτομάτου καὶ προχείρου καὶ ἑτοίμου λέγοντα, χωρὶς αἰτίας. Λάχε δίκην] κλήρῳ γὰρ εἰσῆγον τὰς δίκας δι' εὐταξίαν. Κατὰ τὴν ὁσιότητα] ἀντὶ τοῦ ὁμοίως, παραπλησίως τῇ ὁσιότητι. Ἀ.

6. Ἴδε πῶς ὁ Πλάτων οὐ δέχεται περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας, πολέμους, συνουσίας καὶ τὰ τοιαῦτα. ὁ ὅλος γὰρ σκοπὸς τῆς καθεξῆς διαλέξεως εἰς τοῦτο σπουδάζει. Ἐπὶ σχολῆς] ἐπὶ τῆς παρὰ τοῖς πολλοῖς λεγομένης εὐκαιρίας.

7. Ἀπαλλαγεῖμεν Ἀττικὸν, ἢ συγκοπῇ τοῦ η ἢ κατὰ κρᾶσιν. Ἀ.

8. Οὐδὲν] Ἀττικὸς ὁ τοῦ δεν πλεονασμός. Ἀ.

11. Δαιδάλου, ὡς ἔοικε, τῶν τῆς γονῆς ὀχετῶν Σωκράτης ἀπόρροια. ταύτῃ μοι δοκεῖ κατὰ τὸ συγγενὲς καὶ λιθοξοϊκὴν ἀσκεῖσθαι Σωκράτη τέως, εἰ μὴ Ἀρχέλαος ὁ φιλόσοφος ἀπὸ ταύτης ἀναστήσας τῆς τέχνης τὸν ἄνδρα φιλοσοφίᾳ ἠγάγετο· ἐτεκμήρατο γὰρ τὸ τῆς ψυχῆς ἐντρεχὲς καὶ ἐπιτήδειον καὶ πρὸς φιλοσοφίαν ὑπτίως ἔχον, οἷς πρὸς τοὺς ὁμοτέχνους ἀντέλεγε στερόμενος τῶν μισθῶν. Δαίδαλος δὲ Ἀθηναῖος ἦν τῶν πώποτε ἀνδριαντοποιῶν περιφανέστατος. πρῶτος δὲ καὶ περισκελὲς ἄγαλμα ἐσχημάτισε, τῶν πρὸ ἐκείνου κατὰ ταὐτὸ συμβεβληκότα τὼ πόδε τὰ βρέτη ἐργαζομένων. ἀφ' οὗ δὴ καὶ ὁ τοῦ περιϊέναι καὶ κινεῖσθαι τὰ φιλοτεχνήματα αὐτοῦ ὑπὸ τῶν πολλῶν ἀνάκειται λόγος αὐτῷ, ὃν καὶ νῦν Σωκράτης παίζων Εὐθύφρονα προάγει. Ἀ.

12. Ἵνα περ δέος, ἔνθα καὶ αἰδὼς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων. Σκαληνὸς ὁ σκολιὸς καὶ πολυγώνιος· τοῦ γὰρ τριγώνου ἐστὶν εἴδη τρία, ἰσόπλευρον, ἰσοσκελὲς, σκαληνόν. Ἀ: τὸ σκαληνὸν γὰρ τρίγωνόν ἐστιν ἐκ τριῶν ἀνίσων πλευρῶν, τὸ δὲ ἰσοσκελὲς τρίγωνον τῶν δύο μὲν πλευρῶν ἴσων ἀλλήλαις οὐσῶν, μιᾶς δὲ ἀνίσου ταῖς δυσίν. ἐν οἷς οὖν ὁ ἄρτιος ἀριθμὸς εἰς δύο ἴσα ϛς τέμνεται, ὡς ὁ ὀκτὼ φέρε, ὁ δὲ περιττὸς εἰς δύο ἄνισα, ὡς ὁ πέντε, εἰκότως τὸν μὲν ἰσοσκελῆ τὸν δὲ σκαληνὸν ὠνομάσθαι.

14. Παροιμία, οὐ μὴ χαμαὶ πέσῃ, ἐπὶ τῶν διακενῆς οὐδὲν λεγόντων, ἀλλ' ἐπιτυγχανόντων. Οὐδὲν γὰρ] συνῳδὸν τῷ πᾶσα δόσις ἀγαθὴ καὶ ἑξῆς. Ἀ.

15. Σημείωσαι πῶς τῷ ἄρτι κατὰ πλάτος ἐχρήσατο. Ἀ.

tui volebat. Sed deest etiam in Hesychio v. Ἐκτήμοροι, et in Photii Lexico Ms. ubi hoc Scholion totidem verbis legitur. De vi præpositionis ἐπὶ cum Dativo, qua conditionem significat, diximus ad Xenophont. Memorab. Socr. ii. p. 229. Ruhnk.

[1] Ἐξηγητοῦ] De Exegetis Atticis copiose ad Timæum disputavimus, p. 109. Ruhnk.

Ἑκὼν εἶναι] Ἀττικὸν τοῦτο, καὶ παρέλκει τὸ εἶναι. γίνεται δὲ ἐὰν ἀρνητικὸν ἐπιφέρηται ποιοῦν ἀπόφασιν, ἐπὶ καταφατικοῦ δὲ οὐκ ἐξὸν τοῦτο ποιεῖν. Ἀ. *Εἴπερ τις ἄλλος*] ὡς οὐδεὶς ἄλλος. Θὴς ὁ μισθοῦ δουλεύων. *Διωκάθειν*] ἤγουν διώκειν.

IN PARMENIDEM.

126. *Κλαζομεναὶ* πόλις Ἰωνίας. Μελίτη δῆμος Κεκροπίδος. Ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγὼν ἐτέθη μὲν πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθήνης, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια, οὐ πρεσβύτερος, καὶ ἀγένειος ἀνήρ. τῷ δὲ νικῶντι διδόασιν ἔλαιον ἐν ἀμφορεῦσι, καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. *Παιδικὰ*] καὶ ἐπὶ θηλειῶν καὶ ἐπὶ ἀῤῥένων ἐρωμένων ἡ λέξις εὕρηται, κατὰ μεταφορὰν δὲ τὴν ἀπὸ τούτων καὶ ἐπὶ πάντων τῶν σπουδαζομένων πάνυ· ὡς καὶ ἐν Φαίδρῳ λέγεται "ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην, ἐρεσχηλῶν σε." ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων.

127. *Κεραμεικῷ*] τόπος Ἀθήνησιν, ἔνθα καὶ οἱ πόρνοι προειστήκεισαν. εἰσὶ δὲ δύο Κεραμεικοὶ, ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός.

128. *Λάκαιναι σκύλακες*] ἃς ἡ συνήθεια Λακωνικάς φησιν. Ἀ.

130. *Ἄγασθαι*] θαυμάζεσθαι. *Ἔθραξε*] ἐτάραξεν, ἠνώχλησεν, ἔνυξεν. (εἰς θυμὸν ἐκίνησεν, τὰς φρένας διέσεισεν Ἀ).

131. *Ἡδέως*] ἀντὶ τοῦ κατὰ φύσιν νῦν. σημαίνει δὲ ἔστιν ὅτε καὶ τὸ εὐήθως καὶ τὸ γελοίως.

133. *Ἀπίθανος*] ἀντὶ τοῦ δύσκολος καὶ μὴ ῥᾳδίως πειθόμενος.

134. Τὸ δεινότερον οὐχ ὡς ἰσχυρότερον ἄπορον, ὡς εἰώθασι δεινοὺς λέγειν τοὺς κρατοῦντας τῇ δυνάμει τῶν λόγων, ἀλλ' ὡς μείζονος δείματος καὶ εὐλαβείας τοῖς νοῦν ἔχουσιν ἄξιον.

136. *Ἄλλως τε καὶ*] μάλιστα. Τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρως αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακερὰ ὄμμασι δερκόμενος, κηλήμασι παντοδαποῖς εἰς ἄπειρα δίκτυα Κύπριδος βάλλει. ἦ μὰν τρομέω νιν ἐπερχόμενον, ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραϊ ἀέκων σὺν ὄχεσφι θοοῖς εἰς ἅμιλλαν ἔβα.

137. *Διανεῦσαι*] περαιωθῆναι.

162. *Ἀνήσει*] ἀφήσει, ἢ ἀναπείσει.

IN APOLOGIAM.

17. *Πρῶτον* —] παραγραφικοῦ δύναμιν ἔχει τοῦτο· σχεδὸν γὰρ τοῦτο λέγει, ὅτι τοσούτοις ἔτεσιν οὐδενὶ δέδωκα δίκας τὸν αὐτὸν τρόπον πολιτευόμενος. Ἀ.

18. Οὗτος ὁ Ἄνυτος Ἀνθεμίωνος ἦν υἱὸς, Ἀθηναῖος γένος, Ἀλκιβιάδου ἐραστὴς, πλούσιος ἐκ βυρσοδεψικῆς· ὅθεν καὶ σκωπτόμενος ὑπὸ Σω-

κράτους διὰ τοῦτο . . . . . ἔπεισε μισθῷ Μέλητον ἀσεβείας γραφὴν δοῦναι κατὰ Σωκράτους. μέμνηται Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ καὶ Ξενοφῶν ὁμοίως, καὶ Ἀριστόξενος ἐν τῷ Σωκράτους βίῳ, . . Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει. Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις Πελαργοῖς, Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται. μέμνηται αὐτοῦ καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ. Ἀ. Ἐρήμη δίκη ἐστὶν, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ. Ἀ: ἀντὶ τοῦ εἰς ἐρήμην δίκην κατηγοροῦντες. λέγεται καὶ ἐρήμην ἁλῶναι ἀντὶ τοῦ εἰς ἐρήμην δίκην ἐμπεσεῖν. ἐρήμη δὲ δίκη λέγεται ἡ μὴ ἔχουσα τὸν ἀπολογούμενον. Τὸ τοῦ ἤθους ἄπλαστον πιθανότητα ποιεῖ. εἰκότως οὖν οὕτω χρῆται νῦν Σωκράτης. Ἀ. Εἰς Ἀριστοφάνην αἰνίττεται τὸν κωμικόν. Ἀ.

19. Ἀντωμοσία ἐπὶ δίκῃ λέγεται, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηται, τὸν δὲ ἐγκαλούμενον μὴ ἠδικηκέναι. οἱ δὲ ἀντωμοσίαν τὴν ἐπὶ πράγμασιν ἀμαρτύροις καὶ ἀνεγγράφοις εἰς ὅρκον περιισταμένην δίκην, ἐφ' οἷς οἱ κριταὶ δοξάζουσιν. ἔνιοι ὅταν ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀντομνύηται, φάσκων προσποιεῖσθαι αὐτὸν, καὶ περὶ τούτου διαλαμβάνωσιν οἱ δικασταί. οἱ δὲ, ὅτι ὁ τοῦ κατηγορουμένου ὅρκος ἀντωμοσία, ἐπὶ τῷ τἀληθῆ ἀπολογήσεσθαι, ὥσπερ τοῦ κατηγοροῦντος πρότερον διωμοσία, ἐπὶ τῷ τἀληθῆ κατηγορήσειν. Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτὸς φησὶν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος

τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής
ὑπολεπτόλογος γνωμιδιώτης εὐριπιδαριστοφανίζων.

καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις·

χρῶμαι γὰρ αὐτοῦ, φησὶ, τοῦ στόματος τῷ στρογγύλῳ·
τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ κεῖνος ποιῶ.

Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασὶ γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱοὺς, Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον, καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον, καὶ τρίτον ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλεταῖρον. κατεκληρώσατο δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.

Προῖκα] κατὰ δωρεάν, ἄνευ μισθοῦ.

20. Ἦ δ' ὅς — ἦν δ' ἐγώ] ἔφη οὗτος—ἔφην δ' ἐγώ. Χαιρεφῶν οὗτος ὁ Σωκρατικὸς ἰσχνὸς ἦν καὶ ὠχρὸς, τὸ δὲ ἦθος συκοφάντης καὶ κόλαξ, πρὸς δὲ καὶ κλέπτης καὶ αὐχμηρὸς, τὴν δὲ περιουσίαν πένης.

Εὔπολις μὲν οὖν ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον αὐτὸν καλεῖ, Ἀριστοφάνης δ' ἐν Ὄρνισι νυκτερίδα· ἐν δὲ Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει, Κρατῖνος Πυτίνῃ εἰς αὐχμηρὸν καὶ πένητα· Εὔπολις δ' ἐν Κόλαξιν Καλλίου κόλακα λέγει, Ἀριστοφάνης δ' ἐν Δράμασι κλέπτην. ἐν δ' Ὥραις νυκτὸς αὐτὸν παῖδα καλεῖ. Χ.

21. Ἀνεῖλεν] χρησμὸς περὶ Σωκράτους δοθεὶς Χαιρεφῶντι τῷ Σφηττίῳ·

σοφὸς Σοφοκλῆς, σοφώτερος Εὐριπίδης·
ἀνδρῶν δ' ἁπάντων Σωκράτης σοφώτατος.

Ἤια] ἀντὶ τοῦ ἐπορευόμην. Ἰτέον] κατὰ κοινοῦ τὸ ἐδόκει, ἵν' ᾖ ἐδόκει οὖν ἰτέον εἶναι σκοποῦντι.

22. Νὴ τὸν κύνα] Ῥαδαμάνθυνος ὅρκος οὗτος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου·

οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων,
ἔπειτα χήν· θεοὺς δ' ἐσίγων,

Κρατῖνος Χείρωσι. κατὰ τούτων δὲ νόμος ὀμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. Ἦ μὴν] ὄντως δή. Ἐπ' αὐτοφώρῳ] ἐπ' αὐτόπτῳ, ἐπ' ὄψει.

23. Ἄνυτος μὲν καὶ Μέλητος εἴρηνται τίνες, ὅτι ὁ μὲν πλούσιος ἐκ σκυτοδεψικῆς, Μέλητος δὲ τραγῳδιοποιὸς φαῦλος· Λύκων μέντοι πατὴρ ἦν Αὐτολύκου, Ἴων γένος, δῆμον Θορίκιος, πένης, ὡς Κρατῖνος Πυτίνῃ, Ἀριστοφάνης Σφηξίν. Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτὸν, ἐν δὲ τῷ πρώτῳ Αὐτολύκῳ εἰς ξένον, Μεταγένης δ' Ὁμήρῳ εἰς προδότην· καὶ Λύκων ἐνταῦθά που προδοὺς Ναύπακτον ἀργύριον λαβὼν ἄγαλμ' ἀγορᾶς ξενικὸν ἐμπορεύεται.

24. Χαριεντίζεται] εὐτραπελεύεται, σκώπτει.

25. Ὦ τὰν] ὦ οὗτος, ὦ ἑταῖρε, ὦ τάλαν, ὦ μέλε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνων, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τὰν, ὡς παρὰ Κτησιφῶντι. οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βαρύνουσι. καὶ βέλτιον· ἀδύνατον γὰρ μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ τὸ πλῆρες εἶναί φησιν ὦ ἔταν, ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν.

27. Ἀντιγραφή ἐστιν, ὅταν ὁ φεύγων καὶ αὐτὸς γράφηται τὸν διώκοντα, ὡς ἐπὶ τῶν λαγχανόντων τὴν μὴ οὖσαν δίκην καὶ τῶν παραγραφομένων· καὶ οὗτοι γὰρ τρόπον τινὰ κατηγοροῦσιν. Καλῶς γε σὺ ποιῶν, Σώκρατες, ὄνοις καὶ ἵπποις τοὺς θεοὺς Ἀθηναίων παραβάλλεις.

28. Τιμωρήσεις] ἀντὶ τοῦ ἐκδικήσεις, ἢ ἀντὶ τοῦ εἰ τῷ Πατρόκλῳ ἐκδίκησιν τοῦ φόνου παράσχῃς. τὸ τιμωρῶ δὲ σημειωτέον ὅτι δοτικῇ συντάσσεται, ὅτε ἀντὶ τοῦ βοηθῶ λαμβάνεται.

30. Πολλοῦ δέω] πόῤῥω λίαν εἰμί.

31. Τί τὸ Σωκράτους δαιμόνιον ὅ τινές φασιν ὅτι ἤχω τὸ καὶ ἄξιον[1] καταλαμβάνεται αὐτῷ οὖς. Χ.

40. Κατέδαρθεν] κατεκοιμήθη.

[1] ἤχῳ τὸ δεξιὸν Buttmannus.

IN CRITONEM.

44. *Εἰ γὰρ ὤφελον*] ἀντὶ τοῦ εἴθε.

46. *Ὅσα γε τἀνθρώπεια*] ἀντὶ τοῦ ὅσον κατ' ἄνθρωπον, ὅσον εἰς γνῶσιν ἧκεν ἀνθρώπων, ὅσον αἰσθάνεσθαι ἄνθρωπος δύναται.

50. *Εἰπέ μοι*] σημείωσαι τὴν μετάβασιν τοῦ ἀριθμοῦ.

51. *Γεννῆται* οἱ τοῦ γένους μετέχοντες καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά. οἱ δὲ ὁμογάλακτας, φράτορας, συγγενεῖς τοὺς γεννήτας. ✠: ζήτει δὲ εἰ διὰ β νν γραφόμενον γεννῆται ὀφείλει γράφεσθαι.

54. *Δύο* σημαίνει τὸ ἴσθι, τό τε ὑπάρχειν καὶ τὸ γνῶναι. εἰ μὲν οὖν κατὰ τὸ ὑπάρχειν, τοῦτο βούλεται ἐνταῦθα δηλοῦν· ἔσο νῦν καὶ διαγίνου τοῖς παροῦσιν εἰς πάντα ὅσα γέ μοι δοκεῖ, ἢ ταῦτα νῦν ἔσο τὰ ἐμοὶ δοκοῦντα. κατὰ δὲ τὸ τοῦ γνῶναι σημαινόμενον οὕτως· γνῶθι κατὰ τὰ ἐμοὶ νῦν δοκοῦντα ὡς εἴπερ ταῦτα ἐρεῖς μάτην ἐρῶν.

IN IONEM.

530. *Ἔφεσος* πόλις Ἰωνίας. *Ἐπίδαυρος* πόλις ἐν Ἰλλυρίδι. *Μῶν*] μὴ αὖ, οὐ δή, ἆρα. *Ῥαψῳδούς* φασι τοὺς τὰ Ὁμήρου ἔπη ἐν τοῖς θεάτροις ἀπαγγέλλοντας. ἐκλήθησαν δὲ οὕτως, ἐπεὶ ῥάβδους κατέχοντες δαφνίνας ἀπήγγελλον. ῥαψῳδῆσαι λέγεται καὶ τὸ φλυαρῆσαι, ἢ τὸ ἁπλῶς λαλεῖν καὶ ἀπαγγεῖλαι χωρὶς ἔργου τινός.

533. *Μαγνῆτιν*] Πτολεμαῖος ὁ μέγας ἐν ζ' τῶν γεωγραφικῶν ὑφηγήσεών φησι κατὰ τὴν ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικὴν μετὰ καὶ ἄλλων νήσους τινὰς Σατύρων εἶναι τρεῖς, ὧν τοὺς ἐνοικοῦντας οὐρὰς ἔχειν ὁποίας διαγράφουσι τῶν Σατύρων. φέρονται δὲ συνεχεῖς καὶ ἄλλαι δέκα νῆσοι, καλούμεναι Μανιόλαι, ἐν αἷς φασὶ τὰ σιδηροῦς ἔχοντα ἥλους πλοῖα κατέχεσθαι, μήποτε τῆς Ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης, καὶ διὰ τοῦτο ἐπιούροις ναυπηγεῖσθαι· κατέχειν τε αὐτὰς ἀνθρωποφάγους. Διογενιανὸς δὲ Μαγνῆτιν μὲν πλανᾶν λέγει τὴν ὄψιν λίθον, ὡς εἴη ἀργύρῳ ἐμφερής, τὴν δὲ Ἡρακλεῶτιν ἐπισπᾶσθαι τὸν σίδηρον.

538. *Πράμνειος οἶνος* ἤτοι ὁ ἀπὸ τῆς Πραμνείας ἀμπέλου, ἢ ὁ πραΰνων τὸ μένος. τινὲς δέ, ἐπειδὴ ἐν Πράμνῃ πρῶτον ἐφυτεύθη ἄμπελος τῇ ἐν Ἰκάρῳ. *Κνῇ τυρὸν κνήστει*] ἔκοπτε τυρὸν κοπίδι.

IN HIPPIAM MINOREM.

568. *Ἀνέδην*] ἐκκεχυμένως, καὶ τὸ κατὰ στέρησιν τοῦ ἕδους. ἐνταῦθα δὲ ἀπὸ τοῦ ἀνίημι, ὥσεὶ εἶπεν ἀνέτως. στλεγγὶς ἡ ξύστρα, καὶ στλεγγιζόμενοι οἱ ἀποξυόμενοι, ὅ ἐστι κτενιζόμενοι. στλεγγὶς γὰρ τὸ κτένιον, ὡς Ἀριστοφάνης Γήρᾳ

εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ, σφαῖραν[1] καὶ στλεγγίδ' ἔχοντα.

[1] δεῖ σφαῖραν] δεῖ σε φέρειν Ξ, δ' εἰσφέρων B.

καὶ Δαιταλεῦσιν

οὐδ' ἔστιν αὐτοῖς[1] στλεγγὶς οὐδὲ λήκυθος.

καλεῖται δὲ στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. λήκυθον δὲ ἀγγεῖόν τί φασιν Ἀττικοί, ἐν ᾧ τοῖς νεκροῖς ἔφερον τὸ μύρον, τὴν ἀλάβαστρον. ἀρσενικῶς δὲ τὸν ἀλάβαστρον εἶπεν Ἡρόδοτος. ἐχρῶντο δὲ καὶ ἀντὶ φασκωλίων ληκύθοις, ἅ ἐστι δερμάτινα βαλλάντια (φάσκωλος δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται). διὸ καὶ τοὺς ἀπόρους αὐτοληκύθους[2] ἔλεγον. λέγουσι δὲ καὶ τὴν λάγυνον λήκυθον, καὶ τὸ μεταξὺ τοῦ λαυκανίου καὶ τοῦ αὐχένος ἠχῶδες, ὥς φησι Κλέαρχος.

371. Ἀρχαῖον] εὐήθη, ἢ ἁπλοῦν.

372. Κατηβολὴ τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσι. λέγεται δὲ οὕτω καὶ ἡ τοῦ πυρετοῦ περίοδος καὶ ὁρμή, καὶ μερίς, καὶ ἱερὰ νόσος, τὸ χρεών, τὸ καθῆκον, θυσία, τελετή, τὰ νομιζόμενα.

IN HIPPARCHUM.

228. Φιλαΐδαι δῆμος Αἰγηΐδος.

229. Στεῖχε] ἴθι, πορεύου. Στειρίαι δῆμος Πανδιονίδος, ἀφ' οὗ ἡ ὁδὸς οὕτω καλεῖται. Τέως] δηλοῖ τὸ πρὸ τοῦ. Δημοσθένης "ὁ τέως προσκυνῶν τὴν θόλον." Ἀριστοφάνης Θεσμοφοριαζούσαις

ἃ 'γὼ μόλις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυῤῥίναις,
τέως μὲν οὐκ ἄν

Ζωΐλος ἐν τῷ εἰς Πολύφημον ἐγκωμίῳ· "οὕτω γὰρ ὡμογνωμόνησαν οἱ θεοὶ περὶ τῆς τιμωρίας ταύτης, ὥστε πάντοθεν Ὀδυσσεὺς τέως ὁ σωζόμενος καὶ τὰς ναῦς ἀκεραίους περιποιούμενος περιώφθη μετὰ τὴν ἀρὰν ὑπὸ τῆς Ἀθηνᾶς." ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμισσεῦσιν ἀντὶ τοῦ πρότερον κεῖται·

οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον
ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων.

ἐν δὲ τῇ Εἰρήνῃ ὁ αὐτὸς ἀντὶ τοῦ ἐν τοσούτῳ κέχρηται, περὶ Ὑπερβόλου λέγων

ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.

καὶ ἔτι ἐν τῇ Εἰρήνῃ εὕρηται ἀντὶ τοῦ ἕως· λέγει δὲ ὁ ἱπποκομῶν τὸν κάνθαρον

ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων
τέως, ἕως αὑτὸν λάθῃς διαῤῥαγείς.

καὶ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας ἀντὶ τοῦ ἕως· "ἀντὶ δὲ τοῦ Εὔβοιαν ἀποδοθῆναι περὶ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξερχόμεθα. τέως δ' ἦσαν ἔσω οἱ Φωκεῖς, οὐδέποτ' ἐποιήσαμεν."[3]

[1] αὐτῇ B. [2] libri ἀποληκύθους. correxit Meinek. Menandri reliq. p. 41.
[3] Cf. Buttmann ad Demosth. Mid. p. 187.

παρὰ δὲ Φερεκύδῃ καὶ τοὔνομα τῆς Ἰωνικῆς πόλεως, λέγω δὲ τῆς Τέω, κείμενον εὗρον, ὅθεν ἦν Ἀνακρέων ὁ μελοποιός, ἀπὸ τοῦ τέως. ὁ γὰρ Ἀθάμας,[1] φησὶν, ἀναχωρῶν ἐκ τῆς χώρας, εὑρὼν Ἄρεαν τὴν θυγατέρα ἀθύρουσαν καὶ λίθους συμφοροῦσαν τοὺς νῦν ὄντας ἐν Τέῳ, ἤρετο ταύτην τί ποιεῖς; ἡ δὲ εἶπε "τέως σὺ ἐζήτεις ἵνα πόλιν κτίσῃς, εὗρον" ἀφ' οὗ ἀνακινηθεὶς τὴν πόλιν ὠνόμασε Τέω. καὶ ἀντὶ τοῦ ἵνα, καὶ ὡς, καὶ μέχρι τούτου, καὶ ἔμπροσθεν. ἀντίκειται δὲ τῷ τέως τὸ ἐν ὅσῳ. Ἀναθέσθαι ἐπὶ τῶν πεσσῶν ἔλεγον οἱ παίζοντες· οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀνετίθεσαν. Ἄλλως. ἀναθέσθαι ἀθετῆσαι.

IN MINOEM.

315. Καρχηδὼν ἐν Λιβύῃ πόλις διάσημος, ἧς οἱ πολῖται οὗτοι. Ἀθάμας Αἰόλου τοῦ Ἕλληνος καὶ Αἰναρέτης τῆς Δηϊμάχου, βασιλεύων Βοιωτίας, ἐκπίπτει διά τινας τύχας αὐτῆς· ᾧπερ ὁ Πύθιος χρᾷ ἐκεῖσε κατοικεῖν, οὗ ὑπ' ἀγρίων ζώων ξενισθῇ. ἐλθόντος δὲ καθ' ἣν χώραν λύκοι κρέα προβάτων διενέμοντο, αὐτοὺς μὲν διὰ δέος φασὶ φυγεῖν, συνέντα δὲ τοῦτον οἰκῆσαί τε αὐτοῦ, καὶ τῇ Ἀθαμαντίᾳ καὶ τοῖς ἀπ' αὐτοῦ τῆς οἰκείας κλήσεως μεταδοῦναι. Ἐγχυτριστρίας] τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφερούσας, ὡς ἐπὶ τοῦδε. ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης. λέγονται δὲ καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν, αἷμα ἐπιχέουσαι τοῦ ἱερείου. ἔτι δὲ καὶ αἱ θρηνήτριαι, καὶ δὴ καὶ αἱ μαῖαι αἱ ἐκτιθεῖσαι ἐν χύτραις τὰ βρέφη.

316. Ἀλλ' ἀεὶ] τὸ ἀλλὰ λαμβάνεται καὶ ἀντὶ τοῦ ἔστω, καὶ ἀντὶ τοῦ ὅταν δὲ, καὶ ἀντὶ τοῦ ἔπειτα δέ.

318. Μαρσύας Ὑάγνιδος ὁ πρῶτος μετὰ Ἀθηνᾶν αὐλῶν εὑρετής, εἶτα Φρυγίου καὶ Μιξολυδίου ἁρμονίας. οὗτος ἐς τοσοῦτον προῆλθεν αὐλητικῆς ὡς περὶ αὐτῆς ἐρίσαι Ἀπόλλωνι, τοῦ πλεονεκτήσαντος τὴν κρίσιν ποιουμένων Μουσῶν. καὶ δὴ νικηθεὶς ὑπ' αὐτοῦ δίδωσι δίκην τῆς ἥττης τὸ δέρμα δαρείς· οὗ δὴ ἀπὸ τοῦ σώματος ῥυέντος αἵματος ποταμὸς προῆλθεν ὁ τούτῳ ὁμώνυμος. Ὄλυμπον δέ τινες οὐ Φρύγα, Μυσὸν δέ φασι, καὶ τοῦτον γενέσθαι πρῶτον κρουμάτων εὑρετήν.

319. Ἐννέωρος] ἐνναέτης· ὧρος γὰρ ὁ ἐνιαυτός· ἤγουν ἀπὸ ἐννέα ἐτῶν ἄρξας, ἢ ἐννέα ἔτη βασιλεύων. Συμπαίστην] συμπαίγμονα.

328. Ἐντείνοντες] πληγὰς διδόντες. Τοὺς δασμοὺς] Αἰγέως τοῦ Πανδίονος βασιλεύοντος Ἀθηνῶν, κατὰ τὴν τῶν Παναθηναίων ἑορτὴν Ἀνδρόγεως ὁ Μίνω πάντας ἀγῶνας νικᾷ. τοῦτον Αἰγεὺς στέλλει μὲν ἐπὶ τὸν Μαραθώνιον ταῦρον, διαφθείρεται δὲ ὑπ' αὐτοῦ, ἢ ὥς τινες, πορευόμενος ἐπὶ Θήβας διὰ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀνταγωνιστῶν διὰ φθόνον ἀπόλλυται. ὃ μαθὼν Μίνως Ἀθήνας τε πολεμεῖ καὶ Μέγαρα εἷλε, μὴ οἷός τε δ' ὢν πορθῆσαι ταύτας, εὔχεται τῷ Διὶ παρ' Ἀθηναίων δίκην λαβεῖν· καὶ διὰ τοῦτο λιμὸς ἐνσκήπτει τούτοις καὶ λοιμός. χρωμένων δὲ περὶ τῆς τούτων ἀπαλλαγῆς, ἀνεῖπεν ὁ Ἀπόλλων δίκας Μίνῳ

[1] θαύμας E, θαύμασα B.

δοῦναι ἃς ἂν αὐτὸς αἱρῆται. Μίνως δὲ κελεύει δεκέτεις κόρους ἑπτὰ καὶ κόρας ἴσας ἀόπλους πέμπειν κατ' ἔτος τῷ Μινοταύρῳ βορὰν κατὰ τὸν λαβύρινθον, ὃς ὑπὸ Δαιδάλου κατεσκεύαστο χῶρός τις σκολιός. Θησεὺς δὲ μετὰ καὶ τῶν λοιπῶν κατὰ τὸ τρίτον ἔτος εἰς τὸν δασμὸν καταλεγεὶς τόν τε Μινόταυρον ἀναιρεῖ, καὶ παύει τὴν εἰς Κρήτην πομπὴν τοῦ δασμοῦ. περὶ τούτου οὖν ἐνταῦθά φησιν. Φλαῦρον] κακόν, ὡς νῦν, ἢ φαῦλον, ἢ κοῦφον κακόν. τινὲς δὲ φλαῦρον μὲν τὸ μικρὸν κακόν, φαῦλον δὲ τὸ μέγα.

IN ALCIBIADEM SECUNDUM.

140. Ἐνεοὺς] ἀφώνους, κωφούς, ἐξεστηκότας, νωδούς, νωχελεῖς, μετεώρους.

146. Ἐπουρίσῃ] ἀποπέμψῃ, ἢ ὡς νῦν, ἐφορμήσῃ.

147. Φθονερὸς ὁ ἐπὶ τοῖς εὐπραγοῦσιν ἀχθόμενος καθ' ἑαυτόν. ἔστι δὲ καὶ ὁ ἐπίφθονος φθονερός. διαφέρει δὲ βασκάνου· ὁ γὰρ βάσκανος ὑπὸ φθόνου καὶ συκοφαντεῖ καὶ κακηγορεῖ, ἀπὸ τοῦ βαβάκτου ἴσως. ἔστι δὲ βαβάκτης ὁ κράκτης καὶ μανιώδης. Τὸ φαῦλον ἐπὶ τεσσάρων ἐννοιῶν τάσσεται, κατ' ἐναντιότητα παραλαμβανομένων. ἐπὶ ἁπλότητος καὶ εὐηθείας Δημοσθένης "οὐ γὰρ εἰ φαύλοις ὑμεῖς προστάταις χρῆσθε." ἐπὶ δὲ τοῦ ἐπαίνου Εὐριπίδης

φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν·

ἐπὶ δὲ μεγέθους, φαῦλον στόμα ἀντὶ τοῦ μέγα· ἐπὶ δὲ μικρότητος εὐθέως ἐν ἀρχῇ τοῦ κατ' Ἀριστοκράτους. λέγουσι δὲ καὶ τὴν φαυλίαν ἐλαίαν μικρόκαρπον οὖσαν οὕτως ὀνομάζεσθαι. ἐκνενίκηκε μέντοι τὴν παλαιὰν χρῆσιν ἡ εἰς τὸ κακὸν μετάληψις· φαῦλον γὰρ οἱ πλεῖστοι τὸ κακὸν ἐξακούουσιν.

150. Δωροδόκοι καὶ οἱ δῶρα λαμβάνοντες καὶ οἱ δῶρα διδόντες. Δημοσθένης ἐν Φιλιππικῷ ἐπὶ τοῦ Ζελείτου Ἀριθμίου ἔφη δωροδόκος, ὅπερ ἐν ἴσῳ κεῖται τῷ δῶρα διδούς. ἐπὶ δὲ τοῦ δῶρα λαμβάνειν πολλὴ ἡ παράθεσις, ὥσπερ καὶ ἐνταῦθα.

IN GORGIAM.

447. πολέμου] παροιμία, πολέμου καὶ μάχης μεταλαγχάνεις, πρὸς τὸν ἀπολειπόμενον τῆς θυσίας καὶ ὑστερήσαντα. παρεγγυᾷ δὲ ὅτι χρὴ πολέμου καὶ μάχης ἀπολιμπάνεσθαι, λόγων δὲ οὔ.—ἐλλειπτικῶς εἴρηται τῷ Πλάτωνι. λείπει γὰρ τῇ διανοίᾳ τὸ ἀλλ' οὐχὶ τῆς ἐν λόγοις ἡδονῆς, οἵαν δὴ νῦν παρέσχετο Γοργίας. Οὕτω] κατὰ τὰ τελευταῖα ἀλλ' οὐκ ἐν ἀρχῇ. Χ. Ἀλλ' ἢ] ἀλλ' ἄρα Χ. τὸ λεγόμενον] οὐ πάνυ τὸ λεχθὲν ἀποδέχεται Σωκράτης· διὸ καὶ ἐπάγει ἀλλ' ἢ τὸ λεγόμενον ἀντὶ τοῦ ἀλλ' ὄντως τὸ λεγόμενον. λείπει δὲ τὸ πεπόνθαμεν, ἵν' ᾖ τοιοῦτο· ἀλλ' ὄντως τὸ λεγόμενον πεπόνθαμεν, ὅπερ οἱ κατόπιν ἑορτῆς παραγινόμενοι καὶ τῆς ἐν τῇ ἑορτῇ θυμηδίας ὑστεροῦντες. Κατόπιν ἑορτῆς] ἐπὶ τῶν ἐπί τινι καλῷ πράγματι ἀπολιμπανομένων. Ἀναγ-

κάσας] ἡ ἀνάγκη διττή, ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. κατὰ ταύτην οὖν ἠναγκάσθη Σωκράτης ἐν ἀγορᾷ διατρίβειν, ὅπως πολλοὺς ὠφελοῖ. τοῦτο γὰρ σπουδαίων ἀνδρῶν ἴδιον, καὶ πρὸ τούτων θεοῦ. Οὐδὲν πρᾶγμα] οὐδὲν ἐργῶδες ἢ δυσχερές. Καὶ ἰάσομαι] παροιμιακὸν τοῦτο, ἀπὸ Τηλέφου καὶ τοῦ τρώσαντος Ἀχιλλέως καὶ τοῦ χρηστηρίου ἀνελόντος ὅτι ὁ τρώσας καὶ ἰάσεται. Ἀλλ' ἆρα] ἀρχή τις αὕτη τῶν ἐν τῷ διαλόγῳ προκειμένων τοῦ πρώτου μέρους, ὅ ἐστι τὸ περὶ τῆς ποιητικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν. Ἦ καλῶς λέγεις] ταῦτα διελέγοντο εἰς τὸν τοῦ Καλλικλέους εἰσιόντες οἶκον· εἶτα ἔσωθεν αὐτοῦ Γοργίᾳ ἐντυγχάνουσιν.

448. Πολλῶν ἐτῶν] Ἀττικὸν τὸ σχῆμα· δηλοῖ δὲ τὸ ἐπὶ πολὺν χρόνον. τὸ δὲ οὐδείς πω ἀντὶ τοῦ οὐ πώποτε. καὶ Θουκυδίδης "οὐδείς πω καταγνούς." Ἡρόδικος] οὗτος οὐχ ὁ Σηλυμβριανός ἐστιν Ἡρόδικος, ἀλλ' ὁ Λεοντῖνος, Γοργίου ἀδελφός. Χ: ἄλλος Ἡρόδικος Σηλυμβριανὸς ἐν Πολιτείᾳ. Ὁ ἀδελφὸς αὐτοῦ] οὗτος Πολύγνωτος ἐκαλεῖτο, οὗ ἐν Δελφοῖς ἡ θαυμαστὴ γραφή, ᾗ ἐπιγέγραπται

γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱός, περθομένην Ἰλίου ἀκρόπολιν.

Ὦ Χαιρεφῶν] φασὶ μὴ ἐξ αὐτοσχεδίου τὸν Πῶλον ταῦτα εἰπεῖν, προσυγγραψάμενον δέ. Ἐμπειρία] σκόπει τὰ πάρισα τοῦ Πώλου, ἐμπειρία - ἀπειρία, τέχνη - τύχη, ἄλλοι - ἄλλων - ἄλλως. Τὸν αἰῶνα ἀντὶ τοῦ τὸν βίον, τὴν ζωήν. Χ. Οὐ πάνυ] οὐ γάρ τί ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ' ὁποῖόν τί ἐστιν. Καλουμένην] αὕτη γὰρ ἡ παρὰ τοῖς πολλοῖς, ἄλλη δὲ ἡ κατ' ἀλήθειαν.

449. Ἀγαθόν γε] Ἀριστοτέλης μὲν καὶ οἱ σοφισταὶ μίαν φασὶν εἶναι ῥητορικὴν ἐπ' ἀμφότερα δυναμένην ἀγωνίζεσθαι· Πλάτων δέ φησι δύο εἶναι, τὴν μὲν τέχνην, τὴν δὲ κολακείαν, ἥτις καὶ εἴδωλον λέγεται πολιτικῆς μορίου. ὁ γοῦν Γοργίας ἄξιων ἀγαθὸς εἶναι ῥήτωρ, τῆς τεχνικῆς μοριου. ὁ γοῦν Γοργίας ἀξιῶν ἀγαθὸς εἶναι ῥήτωρ, τῆς τεχνικῆς φησὶν εἶναι οὐ τῆς εἰδωλικῆς ῥητορικῆς ἔμπειρος. δεῖ δὲ γινώσκειν ὅτι περὶ μὲν τῆς ἐντέχνου ῥητορικῆς ἐν Φαίδρῳ διαλαμβάνει, περὶ δὲ τῆς δημώδους καὶ κολακικῆς ἐνταῦθα. Χ. Ὥς ἔφη Ὅμηρος] τὸ ταίης τοι γενεῆς καὶ αἵματος εὔχομαι εἶναι. Χ. Περὶ τί τῶν ὄντων] ἡ ἐρώτησις, περὶ τίνα τῶν ὄντων ἡ ῥητορικὴ καταγίνεται ἢ ἔχει τὴν ἐνέργειαν;

449. Περὶ λόγους] ὁ μὲν Σωκράτης τὸ τέλος ἠρώτησε τῆς ῥητορικῆς, ὁ δὲ Γοργίας τὸ ὄργανον ἀπεκρίνατο· ὁ γὰρ λόγος ὄργανον τοῦ ῥήτορος, ὥσπερ καὶ ἡ ἀποσιώπησις ὀργανόν ἐστιν ἕνεκα τοῦ πείθειν παραλαμβανομένη ὑπὸ τῶν ῥητόρων. ἐνταῦθα δὲ καὶ διαλεκτικὸν θεώρημα παραλαμβάνομεν, τὸ τὰς ἀπροσδιορίστους προτάσεις ἐκκλίνειν καὶ ἀποστρέφεσθαι. Χ. Λέγειν γε ποιεῖ δυνατοὺς] ἀντὶ τοῦ διδάσκειν δύναται ἄλλους λέγειν. Οὐκοῦν περὶ ὧνπερ λέγειν] ἰστέον ὅτι τῷ λόγῳ ὁ ῥήτωρ κέχρηται ὡς ὀργάνῳ· ὁ δὲ Γοργίας ἀγνοῶν περιπίπτει. τὸ δὲ ἑξῆς πρόκειται τὸ φρονεῖν, ἵνα τὴν ἔντεχνον ῥητορικὴν παραλάβῃ καὶ οὐ

τὴν εἰδωλικήν. ὑποκατιὼν δὲ ὁ σοφιστὴς συμφύρει πάντα, καὶ διὰ τοῦτο ἀνατέτραπται ὑπὸ τοῦ ἐπιστήμονος. Ά.

450. Ἰατρικὴ ἐστιν ἀπούσης ὑγείας οἰστική, γυμναστικὴ παρούσης ὑγείας φυλακτική. Χειρούργημα καὶ κύρωσις οὐκ εἴρηται, αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι· Λεοντῖνος γὰρ ἦν. Διὰ λόγων] ψεύδεται· οὐ γὰρ περὶ λόγους μόνους, ἀλλὰ καὶ περὶ σιωπὴν καὶ περὶ ὑπόκρισιν. Εἰσὶν ἡμῖν τέχναι] ἐπίστησον ἐνταῦθα ὅτι διαλεκτικὸν θεώρημα παραδίδοται· δεῖ γὰρ πρὸ τῶν ὁρικῶν λόγων τοὺς διαιρετικοὺς προηγεῖσθαι. Ά. Βραχέος, ὡς ἡ ἰατρική, οὐδενός, ὡς ἡ γραφική, ἡ ὀρχηστική. Ά. Οὐδένος, ὡς ἡ διαλεκτική, βραχέος, ὡς ἡ ῥητορικὴ διὰ τὸ ὑποκρίνεσθαι πολλάκις. Ά. Δεῖ γινώσκειν ὅτι τὰς τέχνας ἐνταῦθα διαιρεῖ καὶ ἐν Σοφιστῇ καὶ ἐν Πολιτικῷ, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον· ἀλλ' ἐνταῦθα μὲν κατὰ τὸ δι' οὗ· καλῶς· τὰς μὲν διὰ λόγου, τὰς δὲ ἄνευ λόγου, τὰς δὲ μεταξύ· ἐν δὲ Σοφιστῇ κατὰ τὸν τρόπον τῆς ἐνεργείας· καλῶς· τὰς μὲν ποιητικὰς τὰς τὸ μὴ ὂν εἰς τὸ ὂν ἀγούσας, τὰς δὲ κτητικὸς τὰς τὸ ὂν οἰκειουμένας· ἐν δὲ τῷ Πολιτικῷ κατὰ τὸ εἶδος τῆς ἕξεως· καλῶς· τὰς μὲν γνωστικάς, τὰς δὲ πρακτικάς. Ά. Ἴσους] ὡς ἡ πεττευτικὴ καὶ κιθαρῳδία. Ά. Κῦρος] σκόπει ὡς κῦρος εἶπε Πλάτων, οὐ κύρωσιν, καθὰ Γοργίας. Εὐλαβᾶς ἐπιῤῥαπίζει τὸν τοῦ σοφιστοῦ λόγον ὁ Σωκράτης. Ά. Ὑπολάβοι] ἀποκριθήσεται. Ά. Τις] ἐριστικὸς ἄνθρωπος καὶ ἐλέγξαι μόνον σκοπὸν ἔχων, ἀλλ' οὐ διορθώσασθαι τὸν διαλεγόμενον. Ά. Τὴν ἀριθμητικὴν ἄρα] οἱ γὰρ ὅροι ἀντιστρέφειν βούλονται, εἴπερ ὑγιῶς ἔχουσιν. Ά.

451. Ἴθι νῦν] τὸ μὲν ὀργανικὸν αἴτιον ὁ λόγος ἐστίν· ζητεῖ δὲ νῦν τὸ γένος περὶ τί τῶν ὄντων καταγίνεται. Ά. Εἴποιμ' ἂν] ἐπίστησον ὅτι ἡ ἀριθμητικὴ κατὰ τὴν ἑαυτῆς φύσιν τὰ εἴδη τοῦ ἀριθμοῦ σκοπεῖ, τὰ δὲ σχήματα τὰ ἐπ' αὐτοῖς καὶ τοὺς λόγους ὡς ἀρχὴν γεωμετρίας καὶ μουσικῆς. πάντα γάρ ἐστι πρώτως ἐν τοῖς ἀριθμοῖς· οὐκ ἔστι δὲ ταὐτὸν τοὺς ἀριθμοὺς ἐφ' ἑαυτῶν ὁρᾷν καὶ ὡς ἀρχὰς ἄλλων δι' ἁπλότητα τῆς ὑποστάσεως. Ά. Οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι] ἐν ταῖς ἐκκλησίαις ἐπὶ τῇ ψηφισμάτων ἢ νόμων εἰσηγήσει ὁ κῆρυξ ἐπὶ μὲν τοῦ πρώτου ψηφίσματος ἢ νόμου τό τε ὄνομα τοῦ ψηφιζομένου καὶ τιθέντος τὸν νόμον, καὶ δὴ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ δήμου ἔλεγεν, οἷον Δημοσθένης Δημοσθένους Παιανιεὺς ψηφίζεται τάδε· εἰ δὲ ἔμελλε πάλιν ὁ αὐτὸς ψηφίζεσθαι, ἔλεγεν ὁ κῆρυξ, ἵνα μὴ περιττολογῇ, "τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφίζεται δὲ καὶ τάδε." οὕτως οὖν καὶ ἐπὶ τοῦδε, τὰ μὲν ἄλλα, καθάπερ ἡ ἀριθμητική, ἡ λογιστικὴ ἔχει. Πρὸς αὑτά, ὡς ὅταν ἄρτιος πρὸς ἄρτιον ἢ περιττὸς πρὸς περιττὸν πολλαπλασιασθῇ· πρὸς ἄλληλα δέ, ὅταν περιττὸς πρὸς ἄρτιον ἢ ἀνάπαλιν. Ά: τοὺς γὰρ πολλαπλασιασμοὺς καὶ τοὺς μερισμοὺς ἡ λογιστικὴ θεωρεῖ τοὺς τῶν ἀριθμῶν, ᾧ καὶ δῆλον ὅτι τὸ ποσὸν τὸ ἐν αὐτοῖς καὶ τὴν ὕλην περιεργάζεται. πολλαπλασιάζεται γὰρ ἀριθμὸς ἐπὶ ἀριθμὸν οὐ κατὰ τὸ εἶδος ἀλλὰ κατὰ τὰς ὑλικὰς μονάδας, καὶ μερίζεται κατὰ τὸ ποσὸν ἀλλ' οὐ κατὰ τὸν λόγον ᾧ διαφέρουσιν ἀλλήλων οἱ ἀριθμοί. τὸ τοίνυν πῶς ἔχει πρὸς ἄλληλα κατὰ τὸ πλῆθος τοῦτο ἐνδείκνυται, πῶς πολλαπλασιάζον-

ται καὶ μερίζονται παρ' ἀλλήλους κατὰ τὸ ἐν αὐτοῖς ποσόν. Τὰ μέγιστα] ὥσπερ ὁ Πῶλος οὐ τίς ἐστιν ἡ ῥητορικὴ εἶπεν, ἀλλ' ὁποία τις, ὅτι καλλίστη τῶν τεχνῶν, οὕτω καὶ Γοργίας οὐ τίνα ἐστὶ περὶ ὧν οἱ λόγοι αὐτῆς λέγει, ἀλλ' ὁποῖά ἐστιν, ὅτι τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἄριστα. 'Αμφισβητήσιμον] δεῖ τὸν ὅρον ἀναμφισβήτητον εἶναι καὶ σαφῆ καὶ διδασκαλικὸν τῆς τοῦ ὁριστοῦ οὐσίας. τὰ οὖν προκείμενα ἀμφισβητήσιμα μὲν διὰ τὸν ἰατρόν τε καὶ παιδοτρίβην καὶ χρηματιστήν, ἀσαφῆ δὲ διὰ τὸ μήπω γνωρίμου ὄντος τοῦ ὑποκειμένου τῇ ῥητορικῇ ἄριστον αὐτὸ καλεῖσθαι. ὁ δὲ προκείμενος λόγος ὅμοιός ἐστι τῷ τοῦ Πώλου ἐξ ἀρχῆς εἰρημένῳ, ὅτι καλλίστη εἴη ἡ ῥητορική. 𝔄. Τὸ σκόλιον τοῦτο οἱ μὲν Σιμωνίδου φασίν, οἱ δὲ 'Επιχάρμου. ἔστι δὲ τοιοῦτον· ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ, δεύτερον δὲ φυὰν καλὸν γενέσθαι, τὸ δὲ τρίτον πλουτεῖν ἀδόλως, τέταρτον δὲ ἡβᾷν μετὰ τῶν φίλων. τοῦτο δὲ τὸ τελευταῖον παραλέλειπται ὡς μὴ πρὸς ὃ βούλεται Πλάτων χρήσιμον ὄν. "Αλλως. Σκόλιον λέγεται ἡ παροίνιος ᾠδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς, τὸ δὲ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε τῇ τάξει· ὃ δὴ καλεῖσθαι σκόλιον. ὡς δὲ 'Αριστόξενος καὶ Φύλλις ὁ μουσικός, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυῤῥίνας ἔχοντες ἢ δάφνας, ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα (συμπό σια B.) ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν σύνθεσιν τῶν κλινῶν ἐπὶ οἰκημάτων πολυγωνίων οὐσῶν, καὶ τούτῳ καὶ τὰς ἐπ' αὐτὰς κατακλίσεις παραβύστους γίνεσθαι. οὐ διὰ τὴν μελοποιίαν οὖν, διὰ δὲ τὴν τῆς μυῤῥίνης σκολιὰν διάδοσιν, ταύτῃ καὶ τὰς ᾠδὰς σκολιὰς καλεῖσθαι. 𝔄: 'Αθήνησιν ἐν τῷ πρυτανείῳ παρὰ πότον σκόλια ᾔδετο εἴς τινας, ὥσπερ εἰς 'Αρμόδιον, "Αδμητον, Τελαμῶνα· εἰρῆσθαι δὲ αὐτὸ σκολιὸν κατ' ἀντίφρασιν, ὅτι ῥᾴδια καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα. ᾔδετο ἃ ἐκαλεῖτο σκόλια, ἀντιπροτεινόντων ἀλλήλοις τῶν συμποτῶν, καὶ ἠλέγχοντο οἱ μὴ ᾄδοντες ὡς ἄμουσοι. σκόλιον μὲν οὖν ἤτοι σχόλιον τοῦτο. Πλουτεῖν ἀδόλως ὁ ποιητής φησιν· ὁ γὰρ χρηματιστὴς ὅπως ἂν τύχῃ, καὶ εἰ μετὰ τυραννίδος, πλουτεῖν βούλεται.

452. Πρῶτόν φησι τὸν ἰατρόν· οὗτος γὰρ περὶ τὰ στοιχεῖα αὐτὰ καθ' αὑτὰ καταγίνεται, ὁ δὲ παιδοτρίβης περὶ τὴν σύνθεσιν αὐτῶν καὶ τὴν τοιάνδε τῶν μορίων συνθήκην καὶ τὸ κάλλος αὐτῶν. Πλούτου] ἰδού, τὸ ἀδόλως οὐ προσέθηκεν, ἐπειδὴ αὐτὸς ὁ χρηματιστὴς λέγει, ὃς πάντων καταφρονεῖ. Μέγιστον ἀγαθὸν εἶναι] διὰ τούτων ὁ Πλάτων ἐναργῶς ἡμῖν ἀπεκάλυψεν ὅτι περὶ τῆς ποιητικῆς αἰτίας ἀνθρωπίνων ἀγαθῶν καὶ τῆς εὐδαιμονίας ποιεῖται τὸν λόγον ἐν τῇ πρὸς Γοργίαν συνουσίᾳ. 𝔄. 'Ελευθερίας] πῶς ἐλευθερίας αἴτιον τὸ ὑποβάλλον δουλείᾳ παντοίων παθῶν; 'Ιστέον ὅτι τῆς εἰδωλικῆς ῥητορικῆς ἐστὶν ὁ ἀποδοθεὶς ὅρος· δημοκοπικὴν γάρ τινα λέγει ταύτην, πείθειν ἐπιχειροῦσαν τὸν πλημμελῶς κινούμενον ὄχλον. 𝔄. Δύναμιν τὴν ῥητορικὴν νῦν καλεῖ· προϊὼν δὲ οὐδὲ δύναμιν οὖσαν δείξει αὐτήν, ἐπεὶ οὐχ ὁρᾷ πρὸς ἀγαθόν, δυνάμεως δὲ πάσης τὸ πρὸς τοῦτο ὁρᾶν.

453. Πειθοῦς δημιουργός] ἡ ἐνέργεια καὶ τὸ τῆς ἐνεργείας τέλος· οὐ

γὰρ ἐξ ἀνάγκης πείθει ὁ ῥήτωρ. Ἀ. Ἐμαυτὸν πείθω] ἐπίστησον ὅτι ὁ μὲν σπουδαῖος ἑαυτὸν πείθειν βουλόμενος, καὶ τὰ ἐν αὐτῷ πάθη τῆς ἀλόγου ὁρμῆς πείθει ὑπείκειν τῷ λόγῳ· ὁ δὲ σοφιστὴς τὸν ἔξω ὄχλον κολακεύων πείθειν δοκεῖ, κακουργῶν καὶ ἑαυτῷ ἐπιβλαβῶς καὶ τοῖς πειθομένοις. Ἀ. Καὶ ἐμὲ εἶναι] κατὰ κοινοῦ τὸ εὖ ἴσθι. Ἀ. Ποῦ] ἐν τῇ ποικίλῃ στοᾷ. Ἀ. Ἴθι δὴ] ἄρχεται ἐντεῦθεν τὴν πειθὼ διαιρεῖν εἴς τε τὴν πιστευτικὴν καὶ εἰς τὴν διδασκαλικήν. ἔστι δὲ προσθεῖναι καὶ εἰς τὴν ἀπὸ τῶν κοινῶν ἐννοιῶν, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα.

454. Ταύτης τοίνυν τῆς πειθοῦς] πάλιν τὴν εἰδωλικὴν βούλεται λέγειν ὁ Γοργίας ῥητορικήν. καὶ γὰρ ἀπὸ τοῦ χείρονος ἤρξατο, τοῦ δικανικοῦ· κρεῖττον δὲ δῆλον ὅτι τὸ συμβουλευτικόν (ἐκ τἀγαθοῦ γὰρ τὴν ὑπόστασιν ἔχει), μέσον δὲ τὸ πανηγυρικὸν ἀπὸ τοῦ νοῦ προελθόν, καὶ χεῖρον τὸ δικανικὸν ὡς ἀπὸ ψυχῆς προϊόν. Ἀ.

455. Οὐδ' αὐτός πω] ἑαυτὸν ὁ Σωκράτης ποιεῖ τῷ Γοργίᾳ συμφυρόμενον, ἵνα εἰς διαλεκτικὴν αὐτὸν συνουσίαν προκαλέσηται. Ὅταν περὶ ἰατρῶν] ἡ αἵρεσις τριττή, ἢ προσώπων ἢ πραγμάτων ἢ συναμφοτέρων· ἐν πᾶσι δὲ τούτοις οἱ τεχνικώτατοι ἂν ἄριστα συμβουλεύσαιντο ἔν γε πόλει εὐνομουμένῃ, καὶ ὁ μὲν πολιτικὸς προνοήσει λόγου χάριν ὅτι δεῖ ναυτικὸν στρατὸν ἔχειν τὴν πόλιν, ὁ δὲ ῥητορικὸς παρὰ τοῦ πολιτικοῦ μαθὼν πείσει τὸ πλῆθος περὶ τούτου, ὁ δὲ ναυπηγὸς εἰσηγήσεται τήν τε ὕλην καὶ τὰ ὄργανα. ἐν δὲ μὴ τοιαύτῃ πόλει ὁ ῥητορικὸς πάντα ὑποδύσεται· καὶ γὰρ ὡς πολιτικὸς καὶ ὡς ἀρχιτέκτων συγκεχυμένως ὑποκριθήσεται πάντα εἶναι καὶ πάντα γινώσκειν. Ἀ. Πάλιν ὁ Γοργας τὴν εἰδωλικὴν ῥητορικὴν βούλεται παρεισάγειν. Ἀ. Διὰ μέσου τεῖχος λέγει, ὃ καὶ ἄχρι νῦν ἐστὶν ἐν Ἑλλάδι. ἐν τῇ Μουνυχίᾳ γὰρ ἐποίησε καὶ τὸ μέσον τεῖχος, τὸ μὲν βάλλον ἐπὶ τὸν Πειραιᾶ, τὸ δὲ ἐπὶ Φάληρα, ἵν' εἰ τὸ ἓν καταβληθῇ, τὸ ἄλλο ὑπηρετοίη ἄχρι πολλοῦ. Σωκράτης δὲ νεώτερος μὲν Θεμιστοκλέους, σύγχρονος δὲ Περικλέους, ὡς διὰ τούτων δηλοῦται. Ἀ: ἀρχαιότερος Θεμιστοκλῆς Περικλέους ἔτεσι πλείοσι τῶν πεντήκοντα.

456. Δαιμονία] τὸ ἁπλοῦν καὶ ἀμετάβλητον καὶ ὡρισμένον τῆς θείας φύσεως οἱ δαίμονες διὰ ποικιλίας καὶ κινήσεως καὶ τῆς ἐπὶ πᾶν προόδου μεμίμηνται, εἰδωλικῶς τὰς ἀληθείας ὑποκρινόμενοι. διὰ τοῦτο οὖν τὸ ποικίλον τῆς κολακείας τῆς εἰδωλικῆς ῥητορικῆς δαιμόνιον καλεῖ ὁ Σωκράτης. Ἀ. Παραδειγματικὴ ἀπόδειξις. Ἀ. Ἐνθυμηματικὴ ἀπόδειξις. Ἀ. Ἡ μὲν οὖν δύναμις] μέχρι τῶν ἐνταῦθα τὴν δύναμιν τῆς ῥητορικῆς ἀνύμνησεν ὁ Γοργίας, ἐντεῦθεν δὲ τὴν βούλησιν τῶν χρωμένων τῇ δυνάμει ταύτῃ· πᾶσα γὰρ δύναμις ἄλλου ἐστὶ δύνασις τοῦ χρωμένου. ὅπερ καὶ κρεῖττόν ἐστι πάντως τῆς δυνάμεως. Ἀ. Ὅτι τῆς αὐτῆς γνώμης ἐστὶν Ἀριστοτέλης καὶ Γοργίας περὶ τῆς ῥητορικῆς. καὶ γὰρ ἐκεῖνος γνῶσιν μὲν τὴν αὐτὴν τοῦ τε σπουδαίου καὶ μοχθηροῦ ῥήτορος ἔλεγεν εἶναι, προαίρεσιν δὲ διάφορον. Ἀ.

457. Ἔμβραχυ] ἐπιῤῥηματικῶς ἀκουστέον ἀντὶ τοῦ συντόμως ἢ ἁπλῶς ἢ καθάπαξ ἢ καθόλου. — σύντομον ἢ εὐχερῶς εἰπεῖν, ἢ ἁπλῶς. Ἀ. Ἐνταῦθα Σωκράτης τίς τε ἡ ὀρθὴ συνουσία παραδίδωσι καὶ τίς

ἢ διάστροφος, καὶ τί τὸ τέλος ἀμφοτέρων. 𝔄. Ὀρθῶς περὶ τὴν διάνοιαν, σαφῶς περὶ τὴν φράσιν.

458. Ἴσως μέντοι] δέδοικεν ὁ Γοργίας καὶ φεύγει τὴν διάλεξιν, αἰτιᾶται δὲ τοὺς παρόντας πανούργως ὡς οὐκ ἀνεξομένους. Προὐργιαίτερον] προτιμότερον. Νὴ τοὺς θεοὺς] ὁ μὲν Χαιρεφῶν ἐφίεται τῶν Σωκρατικῶν λόγων ὡς ἀγαθῶν προηγουμένως, κατὰ δεύτερον δὲ λόγον ἡδέων, φιλόσοφος γάρ ἐστιν· ὁ δὲ Καλλικλῆς ἐφίεται αὐτῶν προηγουμένως ὡς ἡδέων, κατὰ δεύτερον δὲ λόγον ὡς ἀγαθῶν, φιλήδονος γάρ ἐστιν. 𝔄. Ἄκουε δὴ] εἰ ὑπετίθεσο, φησί, τὴν τῇ πολιτικῇ συνέριθον ῥητορικὴν διδάσκειν, τοὺς δὲ μανθάνοντας κακῶς αὐτῇ χρωμένους εἰς τὴν εἰδωλικὴν καταφέρεσθαι καὶ δημοκοπικήν, οὐκ ἂν εὐθύνας ἐδίδως τῷ λόγῳ, ἀλλ' οἱ μανθάνοντες εἰς κόλασιν ἦσαν ὑπεύθυνοι. τὸ γὰρ ἴσως προσκείμενον ἐνταῦθα ταύτην τὴν ἔννοιαν βούλεται λανθανόντως εἰσάγειν. 𝔄. Ῥητορικὸν] ἐντεῦθεν ὁ πρῶτος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἐντρεπτικὸς ἔλεγχος. Ἐνδέχεται γὰρ ἐν πλήθει διαλεγόμενον ῥήτορα πιθανὸν φαίνεσθαι, ἀλλ' ἐν ἀμαθεῖ καὶ πλημμελῶς κινουμένῳ. 𝔄.

459. Ὁ δὲ μὴ ἰατρός γε δήπου] τόπος ὁ κατὰ μετάληψιν· μεταλαμβάνει γὰρ ἀντὶ τοῦ οὐκ ἰατρός τὸ ἀνεπιστήμων. 𝔄. Ἡ ἀληθινὴ ῥαστώνη ἐν τοῖς κατὰ νοῦν ζῶσιν ἔξω τῆς ὕλης ἐγγίνεται· ἡ δὲ φαινομένη ῥαστώνη, οἵαν καὶ ὁ σοφιστὴς νῦν ὑποβάλλει, εἰδωλική τίς ἐστι καὶ κατάλληλος τῷ τοῦ Γοργίου βίῳ· τὴν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἐλέσθαι ῥηϊδίως. 𝔄. Αὐτίκα] εὐθέως καὶ παραχρῆμα· νῦν δὲ μικρὸν ὕστερον. Ἆρα τυγχάνει] ὁ δεύτερος ἐκ τοῦ τρόπου τῆς ἀποκρίσεως Γοργίου ἀποδεικτικὸς ἔλεγχος. Ἤτοι πρότερον] ὁ τρίτος δὲ ἐντεῦθεν ἐκ τῶν πραγμάτων ἀποδεικτικὸς ἔλεγχος.

460. Ἔχε δή, ἀντὶ τοῦ μέμνησο. 𝔄. [Οὐ δεῖ] θαυμάζειν ἐὰν ὁ κατ' ἐπιστήμην ἰατρικὰ εἰδὼς ἔσθ' ὅτε καὶ παρὰ τὸν σκοπὸν τῆς οἰκείας ἐπιστήμης ποιεῖ, δηλητήρια διδοὺς καὶ κατ' ἐκεῖνο ἀνίατρος ὤν, ὁ δὲ κατ' ἐπιστήμην τὰ δίκαια εἰδὼς ἐξ ἀνάγκης δίκαιος. εἰ γὰρ καὶ οἱ δύο ἐπιστήμονες, ἀλλὰ τῷ τρόπῳ διαφέρουσιν, ὁ μὲν περὶ σῶμα ὁ δὲ περὶ ψυχὴν ἀσχολούμενος, καὶ ἑαυτὸν γινώσκων καὶ ταὐτὸν ἔχων γινῶσκον καὶ γνωστόν· ὁ δὲ ἰατρὸς ἄλλο ἔχει τὸ γινῶσκον καὶ ἄλλο τὸ γινωσκόμενον. 𝔄. Ὡσαύτως δὲ οὕτως] ἡ ἐκ παραλλήλου χρῆσις τῶν ἐπιρρημάτων Ἀττική, ὡς τὸ ἐγὼ εἰμί, καὶ ὡς τὸ ὅς καὶ αὐτὸς τῶν σπουδαίων καὶ φίλων. 𝔄.

461. Πεπλήρωται ἕως τούτων τὰ περὶ Γοργίου. 𝔄. Ῥητορικὸν] ὁ πολιτικὸς φιλόσοφος κρειττόνως ἐπίσταται τὰ εἴδωλα τῆς ἐν αὐτῷ νοερᾶς ἕξεως. 𝔄. Τὰ δίκαια ὁ μὲν Γοργίας καὶ ἀγαθὰ ἐδόξαζεν, ὁ δὲ Πῶλος καλὰ μέν, οὐκ ἀγαθὰ δέ, ὁ δὲ Καλλικλῆς οὔτε καλὰ οὔτε ἀγαθά. διὰ τοῦτο οὖν ὁ Γοργίας συγχωρεῖ τὸν τὰ δίκαια εἰδότα δίκαιον, ὡς ἀγαθῶν ὄντων καὶ διὰ τοῦτο ἐφετῶν. Ἀναθέσθαι] τὸ θέσθαι τὸ ἀντικείμενον τῷ ἤδη κειμένῳ.

462. Ἀσαφὴς ἡ τοῦ Πώλου ἐρώτησις, πότερον τὸν ὁρισμὸν τῆς ῥητορικῆς ἐπιζητεῖ ἢ τὸ γένος· κατὰ γὰρ τῶν δύο σημαινομένων φέρεται τὸ τίνα φῂς εἶναι. ὅθεν ὁ ἐπιστήμων ἐπανορθοῖ αὐτόν. 𝔄. Συγγράμματι] ἐκ τούτου δῆλον ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐ-

τοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα. Ἐμπειρία μὲν γὰρ ποιεῖ ἡμῶν τὸν βίον πολιτικὸν κατὰ τέχνην. τοῦτο αἰνίττεται ὡς τοῦ Πώλου τοιοῦτο σύγγραμμα συγγράψαντος. 𝔄. Ὁ ἀμαθὴς σοφιστὴς πλημμελεῖ καὶ περὶ τὰς ἐρωτήσεις καὶ περὶ τὰς ἀποκρίσεις καὶ τὰ ἑπόμενα ταύταις. 𝔄. Οὔπω, φησί, τὰς συστατικὰς διαφορὰς τοῦ ὅρου ἀποδέδωκά σοι. 𝔄. Οὐδαμῶς γε] ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι οὐδὲν συμπεραίνεται εἰ μὴ δι᾽ ἀντιστροφῆς. 𝔄. Ἐπιτηδεύσεως] ἰστέον ὅτι διαφέρει ἐπιτήδευμα καὶ ἐπιτήδευσις· αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν, ὥς φησι Πλούταρχος. οὕτως οὖν καὶ ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν οἷον οὐσίαν τὰ πρῶτα, τὰ δὲ οἷον ἐνέργειαν.

463. Πᾶσα κολακεία ἐκ τριῶν τινῶν ὀφείλει συνίστασθαι, εἴ γε μέλλοι εἶναι κολακεία, στοχασμοῦ καὶ ἀνδρίας καὶ δεινότητος, ἵνα καὶ τῆς τοῦ κολακευομένου προαιρέσεως στοχάζηται καὶ ἀνδρείως ὑπομένῃ καὶ λανθάνειν βούλοιτο. Ἐκ τῶν προκειμένων λέξεων, οἷον τοῦ καλῶ καὶ ἐγὼ καλῶ καὶ φημὶ εἶναι καὶ τῶν τοιούτων, δεῖ νοεῖν ὅτι ταῦτα τῆς Σωκράτους συνέσεώς ἐστιν εὑρήματα· καὶ γὰρ ὁ Ἀριστοτέλης τοιαῦτα φαίνεται ποιῶν, οἷον ὅρον δὲ καλῶ καὶ σχῆμα καλῶ πρῶτον καὶ τὰ τοιαῦτα. ἔτι δὲ κἀκεῖνο ἐπίστησον ἐνταῦθα, ὅτι ὁ Σωκράτης οὐκ ἔστιν ἐρεκτικός. 𝔄.

464. Πολιτικὴν] ἡ πολιτικὴ διαιρεῖται ὡς ὅλον εἰς μέρη τὴν νομοθετικὴν καὶ δικαστικήν· αὗται γὰρ ἀλλήλων προσδέονται, τὰ δ᾽ ἀντιδιαιρούμενα οὔ. καὶ ἐπὶ τῶν λοιπῶν ὁ αὐτὸς τῆς διαιρέσεως τρόπος. Δικαιοσύνην ἀλλ᾽ οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον ἀλλὰ καὶ τὸ διανεμητικόν, μᾶλλον δὲ καὶ αὐτὴν τὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν περιλάβῃ τὸ ὄνομα. Ἀποθανεῖν] ἢ ὡς τῶν ἀνοήτων τοῦτο αὐτοῦ καταψηφισαμένων, ἢ ὡς ἀπελαθέντα ὑπ᾽ αὐτῶν καὶ τοῦ ἐκ τᾶς ἰατρείας μισθοῦ στερούμενον σπάνει τῆς τροφῆς ἀποθανεῖν. Ταῦτα πρὸς τὰ ὑπὸ Πώλου ἐν ἀρχῇ τεθέντα "ἐμπειρία μὲν γὰρ ἡμῶν ποιεῖ τὸν βίον." 𝔄.

465. Ἅτε δ᾽ ἐγγὺς] ἐπὶ γὰρ τῶν περὶ σῶμα ἡ διαφορὰ τούτων γνωσθῆναι εὐχερής· ψυχὴ γὰρ τὸ κρῖνον, σωματικὸν δὲ τὸ κρινόμενον· ἐπὶ δὲ τῶν περὶ ψυχήν, ψυχῶν οὐσῶν τῶν συμπεφυρμένων, σοφιστῶν λέγω καὶ ῥητόρων, καὶ ψυχῶν τῶν ταύτας κρινουσῶν διαστρόφων, συμπεφυρμένη καὶ ἡ διάκρισις, οὐ τῶν ἐπιτηδευμάτων (δῆλα γάρ) ἀλλ᾽ αὐτοί τε οἱ μετιόντες, καὶ ἡ τῶν ἀνδρῶν ἐκείνων μετάληψις διὰ τὴν ἀπάτην, καὶ οἱ κρίνοντες ὑπὸ τῶν κρινομένων ἠπάτηνται. Σὺ γὰρ τούτων ἔμπειρος] τοῦτο εἶπεν ἢ διὰ τὸ ἐκ τῆς Ἀναξαγόρου δόξης εἰς παροιμίαν ἐλθεῖν (ᾔδει δὲ τοῦτο ἐκ Γοργίου, ὁ δὲ ἐξ Ἐμπεδοκλέους τοῦ διδασκάλου αὐτοῦ· οὗτος δὲ φιλόσοφος ὢν τὰς τῶν φιλοσόφων δόξας καὶ ἠπίστατο καὶ ἐδίδασκεν), ἢ διὰ τὴν τῶν ὀνομάτων παρίσωσιν, ὦ φίλε Πῶλε. 𝔄: Ἀναξαγόρειος γὰρ ἦν τῇ προαιρέσει ὁ Πῶλος, καθάπερ ὁ Γοργίας Ἐμπεδόκλειος. Ὁ μὲν οὖν ἐγὼ] ὁ Πλάτων ἐνταῦθα καταχέχρηται τῷ Ἀττικῷ σχήματι κατακόρως, τῷ καλουμένῳ ἀμερίστῳ. τοῦτο δέ ἐστι τὸ ἔχον τοὺς μέν πολλοὺς λεγομένους συνδέσμους, μηδαμῶς δὲ τὸν δέ. ὅρα γὰρ πῶς. ὃ μὲν οὖν ἐγώ, ἴσως μὲν οὖν, ἄξιον μέν, ἐὰν μὲν οὖν

καὶ ἐγώ. Ἀντίστροφον] τὸ λεῖπον τοῦ τῆς ῥητορικῆς ὅρου. ἔστι γὰρ ὅλος· ῥητορική ἐστι κολακεία, πολιτικῆς μορίου εἴδωλον, ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ ὡς ἐκείνη ἐν σώματι.

466. Τηλικοῦτος ὤν] ἤγουν νέος ὤν. Ἆρ' οὖν] ἐντεῦθεν ὁ περὶ τῆς εἰδικῆς αἰτίας τῶν ἠθικῶν ἀρχῶν λόγος, ὅτι ἀρετή τέ ἐστι καὶ ἐπιστήμη τῶν ὄντων. Πρὸς τὰς εὐνομουμένας καὶ εὐδαίμονας πόλεις ὁ Σωκράτης ἀφορῶν ταῦτα λέγει· οὐδὲ γὰρ οἱ ῥήτορες ἐκεῖ χώραν ἔχουσι διὰ τὴν εὐνομίαν. Ἀ. Ἔοικεν ὁ Πῶλος ἀγνοεῖν τὴν διαφορὰν βουλήσεως καὶ δοκήσεως, ὅτι ἡ μὲν ἀναλογεῖ τῇ ἐπιστήμῃ, ἡ δὲ . . . . καὶ τῇ παρωνύμῳ δόξῃ. ἀβουλήτως οὖν οἱ ῥήτορες καὶ οἱ τύραννοι ζῶσι καὶ ἀνεπιστημόνως· ἐκπεπτώκασι γὰρ τοῦ νοῦ τῆς ἐπιστημονικῆς ἕξεως· δόξῃ δὲ καὶ δοκήσει πλημμελῶς ζῶσιν. Ἀ. Τὸ ἀμφιγνοεῖν τοῦ ἀγνοεῖν ταύτῃ διαφέρει, ᾗ τὸ μὲν ἀναίρεσιν ἔχει παντελῆ τοῦ γινώσκειν, τὸ δὲ ἀμφιγνοεῖν ἀμφιβολίαν καὶ ἄγνοιαν τοῦ ἀληθοῦς. Δωριεῖς δὲ αὐτὸ καὶ ἀμφίγνωμόν φασιν. Ἀ. Δύο ἅμα] τό τε βούλεσθαι καὶ τὸ δοκεῖν. τοῦτο μὲν γὰρ κατὰ φαντασίαν ἐστὶ τὴν τυχοῦσαν· τὸ δὲ βούλεσθαι πάντως πρὸς τὸ ἀγαθὸν ἀποτείνεται. Μὰ τὸν] ἐλλιπῶς ὄμνυσι πρός τε εὐλαβείας καὶ πραότητος ἔνδειξιν. Τρία ταῦτά ἐστι περὶ τὰ ὄντα, ἃ ἄνωθεν ἀρχόμενα μέχρι τῶν ἡμετέρων ἀφικνοῦνται ψυχῶν, βούλησις, δύναμις, νοῦς. ταῦτα καὶ ἐν τῷ δημιουργῷ θεωρεῖται καὶ ἐν τοῖς ἑξῆς πᾶσι, καὶ πάντα τελειοῦνται διὰ τῶν τριῶν τούτων ἐπιστρέφοντα πρὸς τἀγαθόν· ἀλλ' ἐν μὲν τῇ προόδῳ ἡ βούλησις προτέρα, δευτέρα δὲ ἡ δύναμις, τρίτη δὲ ἡ τοῦ νοῦ ἔλλαμψις· ἐν δὲ τῇ ἐπιστροφῇ διὰ τοῦ νοῦ πρώτως τελειοῦται τὰ ὄντα, καὶ δεύτερον διὰ δυνάμεως, καὶ τρίτον διὰ βουλῆς· ἀνάπαλιν γὰρ ἔχει τῇ προόδῳ ἡ ἐπιστροφή. διὸ καὶ ἐνταῦθα ὁ ῥήτωρ, ἐπειδὴ νοῦ ἀμοιρεῖ ἐμπειρικὸς ὢν δηλονότι καὶ ἀδυναμίᾳ συνέχεται, διὰ τοῦτο βουλῆς ἀμέτοχός ἐστιν. εἰ γὰρ κατὰ βουλὴν ὑποθώμεθα αὐτὸν πράττειν, πολὺ μᾶλλον καὶ δυνάμεως μεθέξει καὶ διὰ τοῦτο καὶ νοῦ, ὥστε καὶ ἐπιστήμων ἔσται· ὅπερ ἄτοπον. Ἀ.

467. Οὗτος ἀνὴρ] ὁ Πῶλος, ὡς παρὰ πόδας τοῦ Σωκράτους ἐναντία λέγοντος πρὸς ἑαυτόν, καὶ ποιεῖν ἃ δοκεῖ αὐτῷ τὸν ῥήτορα, καὶ μὴ ποιεῖν ἃ βούλεται, ὥσπερ ἐκπεπληγμένος ταύτην ἀφίησι τὴν φωνὴν "οὗτος ἀνήρ," ὡσανεὶ ἔλεγεν "ὁ ἄνθρωπος οὗτος τί πάσχει; οὕτω τῶν ἑαυτοῦ λόγων ἐπιλέλησται;" ἐφ' οἷς ὁ Σωκράτης, ὑποτεμὼν τὸν τοῦ Πώλου λόγον μεταξύ, φησὶν ἐπιμένων τῷ παραδόξῳ τῶν λόγων "οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε," ὡσανεὶ ἔλεγεν "ἐμοὶ μὲν ταῦτα δοκεῖ, καὶ ἐγὼ ταῦτα φημί, τὸ τοὺς ποιοῦντας ἃ δοκεῖ αὐτοῖς δίχα νοῦ μὴ ποιεῖν ἃ βούλονται· εἰ δὲ σοὶ οὕτω μὴ δοκεῖ, μὴ ἀγανάκτει, ἀλλὰ τὸν λόγον ἔλεγχε." Κατὰ σέ] καὶ γὰρ Γοργίᾳ καὶ τοῖς κατ' αὐτὸν αἱ παρισώσεις ἐπετηδεύοντο. Κρηματισμὸν] τὸν τῶν χρημάτων πόρον. Πάντα τὰ ὄντα ἢ ἕνεκά του, ὡς τὰ χείρω, ἢ οὗ ἕνεκα, ὡς τὰ κρείττω· καὶ ἔστιν ἡ διαίρεσις ἄμεσος. οὕτως οὖν ὁ Σωκράτης τὴν χ κατασκευάσας πρότασιν τὴν μείζονα πάλιν ἐκ διαιρέσεως ἄλλης εἰσάγει, λέγων πᾶν τὸ ὂν ἤτοι ἀγαθὸν ἢ κακὸν ἢ μεταξὺ τούτων· εἰ οὖν τοῦτο, δῆλον ὅτι τὸ τούτου ἕνεκα ἤτοι ἀγαθὸν ἢ

κακόν· ἀλλὰ μὴν οὐ κακόν, ἀγαθὸν ἄρα· τὰ γὰρ μεταξὺ τῶν ἀγαθῶν ἕνεκα πράττομεν δηλονότι. Χ. Ἃ ἐνίοτε] ταῦτα μετέχειν δύναται τῶν ἀ::ρων, ταῦτα δὲ σύ.

468. Τί οὐκ ἀποκρίνει] ὁ μὲν Γοργίας ἐπιεικέστερος ὢν καὶ ἑτοίμως ἀπελογεῖτο καὶ ἐτίθει τὰ ἐρωτώμενα· ὁ δὲ Πῶλος σιωπᾷ αὐθαδέστερος ὤν· ὁ δὲ Καλλικλῆς παντελῶς ἀνερυθριάστως οὐδὲ ἀνέχεται τῶν συλλογισμῶν, ἀλλ' ἰταμῶς διακείμενος τῷ Σωκράτει παραχωρεῖ καθ' αὑτὸν συνάγειν ἃ βούλεται. μέσος οὖν ἄρα ὁ Πῶλος ἀμφοῖν, τοῦ μὲν τῇ ἐπιεικείᾳ τοῦ δὲ τῇ αὐθαδείᾳ ἀπολειπόμενος. Χ. Ὡς δὴ σὺ ὦ Σώκρατες] ὁ πλημμελῶς κατὰ δόξαν ζῶν σοφιστής, ἐπειδὴ τοῦ λόγου ἐξέπεσε καὶ τῆς τοῦ συλλογισμοῦ ἀνάγκης, εἰς τὴν αἴσθησιν φεύγει καὶ ταύτην προτείνει, τὸν ἐπιστήμονα ἐκ τούτου εἰς ἀντίφασιν, ὡς δοκεῖ, περιάγων. Χ.

469. Εὐφήμει] σιώπα, μὴ ἀκαιρολόγει. Ἀζηλώτους] ἀζήλωτος γάρ ἐστιν, ὅστις ἔχει τι ὃ μὴ εὐχόμεθα γενέσθαι ἡμῖν. ἄθλιος δὲ ὁ πάθεσιν ἀνηκέστοις ἐνισχόμενος. Τὸ ἧττον ἐπὶ τοῦ ἄκοντος ἀποθνήσκοντος ἀδίκως, οὐκ ἐπὶ τοῦ ἐλπίδας ἔχοντος ἐπιδώσειν εἰς ἀρετήν· ἐπὶ δὲ τοῦ σπουδαίου ἀντὶ τοῦ οὐδαμῶς ἀποδεκτέον. Ἦ γάρ] ἀντὶ τοῦ εἰ συναπτικοῦ, ὡς παρ' Ὁμήρῳ

Οὐδ' ἀφαμαρτοεπής, ἦ καὶ γένει ὕστερος ἦεν. Ὑπὸ μάλης πάντες οἱ παλαιοὶ προφέρονται ἑνικῶς, τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον "ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ." πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν ἀλλὰ μασχάλας, καὶ ἄνευ τῆς προθέσεως. Λυσίας ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ "καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας." τὸ μέντοι ὑπὸ κόλπους, ταὐτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὑπάρχον, ἀμφοτέρως ἐχρήσαντο, ἑνικῶς φημὶ καὶ πληθυντικῶς, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, οἷον ὑπὸ κόλπον καὶ ὑπὸ κόλπους. Χ. Τεθνήξει] ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ τεθνήξεται καινοπρεπῶς παρελήφθη. Κεφαλῆς — κατεαγῆναι] καὶ τοῦτο Ἀττικόν· τὸ γὰρ κοινὸν τὴν κεφαλὴν κατεαγῆναι· τὸ γὰρ ἐπὶ μέρους λέγειν Ἀττικόν, οἷον ἔφαγον τοῦ ἄρτου. οὕτως οὖν καὶ κατεάγην τῆς κεφαλῆς. Χ.

470. Σκεψώμεθα] ἐντεῦθεν ὁ περὶ δικαιοσύνης καὶ ἀδικίας ἐπεισέρχεται λόγος. Ὅρον] οὐχ ὁρισμὸν λέγει ἀλλά τινα τρόπον καὶ διορισμόν. Χαλεπὸν] κατ' εἰρωνείαν τοῦτό φησιν, ὡς δηλοῖ τὸ ἐπαγόμενον. Φλυαρία παρὰ Πλάτωνι πανταχοῦ πᾶν τὸ περιττόν, εἴτ' ἐν λόγοις εἴτ' ἐν πράγμασιν. Μέγαν βασιλέα] τὸν τῶν Περσῶν βασιλέα. Παιδεία ἡ ἐξ ἀρχῆς τροφή, δικαιοσύνη ἡ τελεία ἀρετή.

471. Τὸν δεσπότην καὶ θεῖον] τὸ μὲν δεσπότην ἀνελεῖν παράνομον, τὸ δὲ θεῖον ἀνοσιουργὸν παρίστησι τὸν Ἀρχέλαον, εἴπερ ἐν τάξει πατέρων οἱ θεῖοι. Ἀνεψιὸν] τὸν παρ' ἡμῖν ἐξάδελφον. Ἠφάνισεν] τῆς ταφῆς ἀφείλετο. Εἰς τὸ ἀδελφὸν στικτέον, ἵνα τὸ γνήσιον πρὸς τὸ Περδίκκου υἱὸν ἐξακούηται. Ἀπὸ σοῦ] κατ' εἰρωνείαν καὶ τοῦτο φησίν. Ἄλλο τι] ὁ λόγος οὗτος οὐκ ἔλεγχός ἐστιν, ᾧ με ἔφης πρὶν καὶ παῖς ἂν ἐλέγξειεν, ἀλλὰ πρὸς ἄλλο τι εἰρημένος. Ῥητορι-

κῶς] οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς τὰς τῶν πολλῶν ἡμαρτημένας δόξας.

472. Τρίποδες] τῶν λαμπρῶν ἀναθημάτων καὶ τῶν πλουσίων καὶ ἐν δυνάμει μνημονεύει, ὅτι τούτοις μάλιστα οἱ δικασταὶ πιστεύουσι. Διονύσιον δὲ τὸ τοῦ Διονύσου φησὶν ἱερόν. Ἀναγκάζεις] ταῖς ἀποδεικτικαῖς πίστεσι πείθεις. Οὐσίας] οἱ ἐν τοῖς δικαστηρίοις τὰ χρήματα οὐσίαν φασί· διὰ τοῦτο οὖν ὡς πρὸς ῥήτορα διαλεγόμενος οὕτως εἶπεν. ὅμως προσέθηκε καὶ τὴν προσήκουσαν αὐτῷ οὐσίαν, φημὶ δὲ τἀληθές. Ὁμολογοῦντα] οὐ μόνον πρὸς τὸν ἐλέγχοντα, ἀλλὰ πολὺ πρότερον αὐτὸν πρὸς ἑαυτόν. Ὑπὸ θεῶν] εἰ ὑπὸ θεῶν, ἀγαθὴ ἡ δίκη· τὰ γὰρ ἐκ τούτων τοιαῦτα.

473. Φίλον] οὐχ ὡς ὁμόφρονα, ἀλλ' ὡς οἰκείως πρὸς πάντα ἄνθρωπον ἔχων. Χαλεπώτερον] καὶ τοῦτο κατ' εἰρωνείαν φησὶν ἢ κατ' ἀντίφρασιν. Ἀδύνατον] ὁ Σωκράτης τῷ παρ' ὑπόνοιαν λεγομένῳ χρῆται, εἰπὼν οὐ χαλεπὸν ἀλλ' ἀδύνατον. Μορμολύττει] φοβεῖς. παρῆκται δὲ τὸ ῥῆμα ἀπὸ τῶν προσωπείων τῶν ἐν ταῖς τραγῳδίαις ὑποκριτῶν, ἃ ἐκάλουν μορμολυκεῖα, Δωριεῖς δὲ γόργια. τοιούτοις δὲ καὶ αἱ γυναῖκες τὰ παιδία φοβοῦσιν. Ἐμαρτύρου] ἀντὶ τοῦ μάρτυρας προσεκάλου. X. , Ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου] τοῦτο παράγγελμα Γοργίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδίκων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκκρούειν. Βουλεύειν λαχὼν] κληρωτοὶ γὰρ ἦσαν οἱ βουλευταί, ἀφ' ἑκάστης τῶν δέκα φυλῶν εἷς πρὸς ἕνα ἐνιαυτόν, καθ' ὃ καὶ ἐλέγετο πρυτανεύειν ἡ φυλή. Ἐπιψηφίζειν ἐστὶ τὸ τινὸς πρυτανευούσης φυλῆς ἕνα κληρούμενον ἀπ' αὐτῆς τὰς ψήφους ἑκάστων ἀπαριθμεῖσθαι τῶν τε τιθεμένων δεῖν γενέσθαι περὶ οὗ ἡ σκέψις καὶ τῶν ἀπαγορευόντων, καὶ ἔτι τὰς τῶν ἀμφιβάλλειν λεγόντων, ἀποφαίνειν τε εἰς τὸ κοινὸν τίνες τούτων αἱ ψῆφοι, πλείους ἢ ἐλάττους ἢ μεταξύ, ἐξ ὧν τὸ πρακτέον ἢ μὴ διεκρίνετο. καὶ ὁ τοῦτο ποιῶν, οὗτος ἦν ὁ ἐπιψηφίζειν λεγόμενος.

474. Ἐπιψηφίζειν τοὺς παρόντας] ἀντὶ τοῦ ταῖς ψήφοις τῶν παρόντων κρίνειν τὴν ἀλήθειαν. Καὶ ἐμὲ καὶ σὲ] κατὰ τὰς κοινὰς καὶ ἀληθεῖς ἐννοίας δηλονότι. Λέγε δή μοι] τῶν δύο προβλημάτων τοῦ πρώτου ἐντεῦθεν ἡ κατασκευή, ὅτι χεῖρον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. Ἐπιτηδεύματά ἐστι τὰ διὰ μόνων τῶν ἐθῶν μελετώμενα.

475. Μαθήματά ἐστι τὰ κατὰ τὰς τέχνας καὶ ἐπιστήμας διὰ διδασκαλίας τοῖς ἀνθρώποις παραγιγνόμενα.

476. Μετὰ τοῦτο δὲ] τοῦ δευτέρου προβλήματος κατασκευή, ὅτι τῶν ἀδικούντων κρείττων ὁ δίκην διδοὺς ἢ ὁ μή. Εἴ τίς τι ποιεῖ] ἐκ τούτου δῆλον ὅτι τὸ νοεῖν καὶ βαδίζειν οὐ ποιεῖν ἐστὶν ἀλλ' ἐνεργεῖν μόνον· οὐ γὰρ πρός τι πάσχον γίνονται.

477. Κολάζεσθαί ἐστι κυρίως τὸ τῆς πονηρίας κολούεσθαι, ὅ ἐστιν ἐλαττοῦσθαι ἢ ἐμποδίζεσθαι. Ἆρ' οὖν τοῦ μεγίστου] ἐντεῦθεν ἀποδείκνυται οἵου μεγίστου κακοῦ ἀπαλλάττεται ὁ δίκας διδούς.

478. Δεύτερος οὐ πρὸς εὐδαιμονίαν, ἀλλὰ κατὰ τὸ τετάχθαι μέσος τῶν τριῶν.

479. Συλλογισώμεθα] σημείωσαι ὅτι Ἀριστοτέλης τοῦ συλλογισμοῦ τὸν ὅρον ἐντεῦθεν εἴληφε σχεδὸν αὐταῖς λέξεσιν.

480. Ἕξοντα] προσυπακουστέον τὸ πρὸς κακοδαιμονίαν. Τάχιστα δώσει δίκην παρὰ τὸν δικαστὴν δηλαδὴ τὸν οἰκεῖον λογισμόν, βασανίζοντα αὐτοῦ τὰς φαντασίας καὶ κολάζοντα τὰς παραλόγους ἐννοίας. οὐκ εἰσάγειν οὖν εἰς δικαστήριον, ἀλλὰ νουθεσίαν καὶ ἐπίπληξιν ἐφ' ἑαυτὸν καὶ τοὺς οἰκείους ἄγειν παρακελεύεται. Εἰ ἄρα δεῖ] φησὶν ὅτι, εἰ δέ ἐστί τις ἐχθρός σου, μὴ ἀδικεῖ δὲ σὲ ἀλλὰ ἄλλον τινά, μὴ θελήσῃς αὐτὸν δοῦναι δίκην, ἀλλὰ καὶ βοήθησον αὐτῷ, εἰ δύνασαι, ἵνα ἔτι πλέον τιμωρηθῇ.

481. Οἷον] ἀντὶ τοῦ θαυμαστὸν ἐνταῦθα.

482. Νεανιεύεσθαι] μέγα φρονεῖν, κομπάζειν. Φορτικά ἐστί τὰ βάρος ἐμποιοῦντα, δημηγορικὰ τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν. Τὸ σοφὸν] ἀντὶ τοῦ τὸ σόφισμα.

483. Προπηλακιζόμενος] ὑβριζόμενος, ἐξουθενούμενος. Χ.

484. Μείζω φησὶν ὁ Καλλικλῆς τὴν κατ' αὐτὸν ῥητορικήν, ἴσως δὲ καὶ τὴν τυραννίδα, ὡς ὕστερον δηλώσει. Ἀπαρίθμησις ὧν οἴεται ψευδῶς Καλλικλῆς ἄπειρον εἶναι τὸν φιλόσοφον. Συμβόλαια παρὰ τοῖς Ἀττικοῖς αἱ ἀσφάλειαι καὶ συγγραφαὶ καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλαις ἔνεμον. Ἤθη τὰ ἐν ἔθει κείμενα φησίν. Τὰ ἰαμβεῖα ταῦτ' ἐστὶν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου, ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα. οὗτοι δ' Ἀντιόπης υἱοί.

485. Παιδείαν φησὶ τὴν περὶ τὰ μαθήματα ἐν παισὶ τροφήν τε καὶ ἀγωγήν. Τὸ διαλέγεσθαι παιδάριον πικρόν τι δοκεῖ, ὡς παρὰ φύσιν καὶ βίαιον ὄν· καταγέλαστον δέ, ὅταν ψελλίζηται ἀνήρ, καὶ πληγῶν ἄξιον, ὅταν παίζῃ. ἄνανδρα δ' ἄμφω οὐχ ὡς γυναιξὶν ἀλλ' ὡς παιδίοις πρέποντα. Ὅτι ἀμελεῖς] καὶ ταῦτα τὰ ἰαμβεῖα τοῦ Εὐριπίδου ἐκ τοῦ αὐτοῦ Ἀντιόπης δράματος εἴληφε. σκόπει δὲ ὅπως δεῖ χρῆσθαι ταῖς μακροτέραις ῥήσεσι τῶν ποιητῶν, μὴ αὐτοὺς διόλου τιθέναι τοὺς στίχους, ἀλλά τι καὶ λέξεως πεζοτέρας εὖ πως αὐτοῖς ἀναμῖξαι. ὁ τῶν στίχων δὲ νοῦς οὗτος· ὁ Ζῆθός φησι τῷ Ἀμφίονι μουσικῷ ὄντι "ῥῖψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις." οὕτω καὶ Καλλικλῆς λέγει Σωκράτει "ἄφες φιλοσοφίαν, ἐλθὲ δὲ ἐπὶ τὴν πόλιν καὶ δίκαζε."

486. Ἀγροικότερον] ἀντὶ τοῦ σκληρότερον. Παῦσαι δὲ ἐλέγχων] ἐν ἄλλῳ πρόσκειται, παῦσαι ματαΐζων. Βίος ὁ πλοῦτος, δόξα δὲ ἡ παρὰ τοῖς πολλοῖς εὐδοκίμησις. Ἰστέον ὅτι τὴν λίθον δι' ἧς δοκιμάζουσι τὸν χρυσόν, οἱ μὲν ἰδίως βάσανον, οἱ δὲ Λυδίαν καλοῦσιν. Ἦν οὖν νόμος] τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφοράν, ἵνα σημάνῃ πρώτας καὶ δευτέρας ὑποστάσεις· ὅτι δὲ ἀχρόνως ταῦτα δεῖ νοεῖν, ἐμφαίνει τὸ ἀεί ἐστιν. Χ.

487. Τρία] ὅτι τρία ἐστὶν οἷς κρίνεται ψυχή, ἐπιστήμη, δόξα ὡς φρονίμου τε καὶ εὔνου, παρρησία. Πάντα ἔχεις] προσυπακουστέον, ὡς σύ τε οἴει καὶ ὁ πολὺς τῶν ἀνοήτων συρφετός. Ἀφίδνα δῆμος Αἰαντίδος φυλῆς, ἐξ οὗ οὗτος. Χολαργεὺς δῆμος Ἀκαμαντίδος φυλῆς, ἐξ οὗ οὗτος. Τὸ μὲν ποῖον τὴν εἰδικὴν σημαίνει ἀρχήν, τουτέστι δίκαιον ἢ ἄδικον, τὸ δὲ τί ἐπιτηδεύειν τὴν ποιητικήν, ἀντὶ τοῦ δημαγωγίαν τε καὶ ῥητορικὴν ἢ φιλοσοφίαν· τὸ δὲ καὶ μέχρι τοῦ, οἷον παιδείας χάριν ἢ περαιτέρω μέχρι τοῦ ἀκριβοῦς.

488. *Οὐχ ἑκὼν*] ἰδού, ἀκούσια τὰ ἁμαρτήματά φησιν· ἀκούσιον γὰρ τὸ ψεῦδος. παραλογιζόμεθα δὲ αὐτοὺς κατὰ τὴν καθόλου πρότασιν. *Ἱκανῶς ἐνταῦθα* τὸ μετ' ἀποδείξεως λέγεται. *Βλὰξ* ὁ χαῦνος τῇ προαιρέσει. εἴρηται δὲ ἢ ἀπὸ τοῦ βεβλάφθαι τὰς φρένας, ἢ ἀπὸ τοῦ μαλακοῦ, οἷον μάλαξ τις ὤν· ἐπειδὴ δὲ τὸ μ̄ τῷ λ ἀσύμπλοκον, ἀντὶ τοῦ μλὰξ γέγονε βλάξ. *Ὡς τὸ κρεῖττον*] σημείωσαι κατ' ἀρετὴν μᾶλλον. βέλτιον δὲ ἄμεινον. κατὰ δὲ τὴν τοῦ σώματος ῥώμην μᾶλλον ἰσχυρότερον κρεῖττον.

489. *Ἔστι ταῦτα ἢ οὔ;*] σκόπει ἐκ τούτων τὸν πρὸς τὰς ἀποκρίσεις τοῦ Καλλικλέους ὄκνον, τοῦ ἔστι ταῦτα ἢ οὔ; καὶ τοῦ νομίζουσιν ἢ οὔ; καὶ τοῦ μὴ φθόνει μοι ἀποκρίνασθαι. *Κινδυνεύεις*] τουτέστι φαίνῃ, ὅπερ ἀμφιβάλλων ὥσπερ εἴρηκε, τὸ βαρὺ τῶν ἐλέγχων παραμυθούμενος. *Οὑτοσὶ ἀνὴρ*] ὅρα τὴν πρὸς ἑτέρους τοῦ λόγου ἀποστροφήν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτητα δείκνυσιν. *Συρφετὸς*] ἀγυρτώδης ὄχλος, ὡς νῦν, ἢ λόγος, ἢ ἐξ ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης. *Τοπάζω*] ὑπονοῶ, εἰκάζω. *Προδίδασκε*] περιττεύει ἡ πρόθεσις Ἀττικῶς. *Εἰρωνεία* ἐστὶ προσποίησις ἀδυναμίας ὧν τις δύναται ποιεῖν· ἐξ ἧς καὶ τὸ εἰρωνεύω ῥῆμα. ταύτῃ δὲ τὴν ἀλαζονείαν ἐναντίαν εἶναι· ἔστι γὰρ ἀλαζονεία προσποίησις δυνάμεως ὧν τις οὐ δύναται ποιεῖν. *Ὄμνυσι κατὰ τοῦ Ζήθου* ὡς τινος τῶν ἡρώων ὄντος, ἢ ὡς χαριζόμενος Καλλικλεῖ, ἐπειδὴ τῇ τούτου ῥήσει πρὸ μικροῦ εἰς παραίνεσιν ἐχρήσατο.

490. *Δοκεῖς βούλεσθαι λέγειν*] ὡς οὐδὲ φράσαι δυναμένου τοῦ Καλλικλέους, ἅπερ ἐθέλει, ὁ Σωκράτης καθάπτεται. *Ἀθρόοι*] ἀντὶ τοῦ ὁμοῦ. οὐ γὰρ εἴ τι πολύ, τοῦτο καὶ ὁμοῦ. διὰ τοῦτο οὖν πολλοὶ ἀθρόοι φησίν. *Ἀεὶ ταὐτὰ*] οἰκειότερον γὰρ ἐπιστήμης τὸ ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν ἢ τὸ ἕτερα.

491. *Τί ἢ τί*] ὁ Καλλικλῆς συνεὶς τούτων οὐδέν, ὑπολαβὼν δὲ διαίρεσίν τινα περιέχειν τὴν ἐρώτησιν τοῦ Σωκράτους, ἀξιοῖ σαφῶς αὐτὸ εἰπεῖν, τί ποτέ ἐστιν ἑκάτερον ἃν ἀντιδιαιρεῖν βούλεται. διόπερ φησὶ τί ἢ τί. *Ἡδὺς εἶ*] κατ' εἰρωνείαν τοῦτό φησι Καλλικλῆς. *Οὐδεὶς ὅστις οὐκ ἂν γνοίη*] ἀντὶ τοῦ οὐδείς ἐστιν ὃς οὐκ ἄν μοι μαρτυρήσειεν ὅτι λέγων τοὺς σώφρονας οὐ λέγω τοὺς ἠλιθίους· τουτέστιν οὐδείς ἐστιν ἀνθρώπων ὃς τοὺς σώφρονας ἠλιθίους λέγει. πρὸς ὃν ὁ Καλλικλῆς τοὐναντίον φησίν, ὅτι πάνυ πολλοὶ οἱ τοὺς σώφρονας λέγοντες ἠλιθίους. *Ἐπεὶ πῶς ἂν*] ἐντεῦθεν ὁ περὶ τῆς τελικῆς αἰτίας τῶν ἠθικῶν λόγος. ἔστι δὲ ἀρχὴ κατὰ Σωκράτην τἀγαθά, κατὰ δὲ Καλλικλέα αἰσχρὰ ἡδονή.

492. *Ἐπικουρίαν*] ἢ τὴν ἐκ πλούτου καὶ περιουσίας, ἢ τὴν ἐκ τῆς παρὰ τῷ Καλλικλεῖ καλουμένης φρονήσεώς τε καὶ ἀνδρίας. *Οὐκ ἀγεννῶς*] ἀντὶ τοῦ ἀτενῶς καὶ ἀκάμπτως. *Παρρησιαζόμενος*] ἀντὶ τοῦ μετὰ παρρησίας ἀπαρακαλύπτως ὁμολογῶν. *Οὐκ ἄρα*] ἀπόδειξις δι' ἐπιχειρημάτων ἕξ, τριῶν μὲν ἐνδόξων, τριῶν δὲ πραγματειωδεστέρων· ὧν τῶν ἐνδόξων τὸ πρῶτον ἐκ τῆς τῶν πολλῶν δόξης εἴληπται. *Ὥς γε σὺ λέγεις*] ἐκ τῆς τῶν ποιητῶν ἢ τῶν Πυθαγορείων. Τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου·

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;

Τῷ ὄντι ἴσως] τὸ ἴσως περὶ τοῦ ἀληθῆ εἶναι τὸν ἐν τῷ μύθῳ λόγον ἢ μή· τὸ δὲ τῷ ὄντι, ὅτι ὅ γε μῦθος αὐτὸ τοῦτο τῷ ὄντι καὶ διατεταμένως διισχυρίζεται, τὸ θάνατον εἶναι τῆς ψυχῆς τὴν μετὰ τοῦ σώματος ζωήν.

493. Κομψὸς] οὐ τὸν πιθανὸν ἀλλὰ τὸν τεχνικὸν ἢ σπουδαῖόν φησι. Σικελικὸς δ' ἢ Ἰταλικός, οἷον Ἐμπεδοκλῆς. Πυθαγόρειος δ' οὗτος ἦν, ὑπῆρχε δὲ Ἀκραγαντῖνος· Ἀκράγας δὲ πόλις Σικελίας, ἀπὸ τοῦ πλησίον ποταμοῦ κεκλημένη, ἀφ' ἧς οὗτός τε καὶ Ὀλύμπιος ὁ μελοποιός. — Σικελὸν δὲ ἢ Ἰταλικόν φησιν, ἐπειδὴ πλησίον Σικελίας ὅ τε Κρότων καὶ τὸ Μεταπόντιον, αἱ πόλεις οὗ οἱ Πυθαγόρειοι διέτριβον, αἵ τῆς Ἰταλίας εἰσίν. Ἀμύητοι ἡμεῖς οἱ τεθνεῶτες, οἱ ἐν σώματι ζῶντες. Ὕδωρ] τὸ ῥευστὸν καὶ ἄστατον τῶν ἡδονῶν. Ἐκ τοῦ γυμνασίου φησὶ τοῦ αὐτοῦ, ὅτι τὸ μὲν πρὸ αὐτοῦ ἐπιχείρημα ἐν μύθου προῆκται σχήματι, τοῦτο δὲ ἐν παραδείγματος. ἦν δὲ ἐκεῖνο μὲν τῶν Πυθαγορείων οἰκεῖον, τοῦτο δὲ Σωκράτους, ὡς σαφέστερόν τε καὶ πληκτικώτερον. Σκόπει γὰρ] ἐντεῦθεν αἱ πραγματειωδέστεραι, ὧν τὸ πρῶτον ἐπιχείρημα ἀπό τινος εἰκόνος ἄρχεται. Οἶνον μὲν ὡς τροφιμώτατον, γάλα δὲ ὡς πρώτην τροφήν, μέλι δὲ ὡς τὴν ἐν τῇ τροφῇ γλυκυθυμίαν παρείληφεν. Πληρωσάμενος] οὐκ ἐμπλησθεὶς ἀλλὰ προσδεὴς ὤν.

494. Χαραδριὸς ὄρνις τις, ὃς ἅμα τῷ ἐσθίειν ἐκκρίνει. εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται· ὅθεν καὶ ἐγκρύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

καί μιν καλύπτει· μῶν χαραδριὸν περνάς;

ὥς φησιν Ἱππῶναξ. Λέγεις οἷον] τοῦτο ἐκ τοῦ ἀπεμφαίνοντος πρόεισιν. Μὴ ἀπαισχυνῇ] ἀντὶ τοῦ μὴ αἰσχυνθείης. Κνησιῶντα] ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι, ὅ ἐστι κνήθεσθαι. Ἀνδρεῖος] ἀντὶ τοῦ ἀναιδής, κατ' εὐφημίαν. Κιναίδων] ἀσελγῶν, μαλακῶν. καὶ κιναίδα ἡ πόρνη, καὶ ἡ ἀσχημοσύνη, ἀπὸ τοῦ ὀρνέου τῆς ἴϋγγος, ὃ καὶ κιναίδιον καλεῖται.

495. Ἵνα δή μοι] τοῦτο φησίν· ἐγὼ μὲν ἕτερον εἶναι τὸ ἀγαθὸν τοῦ ἡδέος διανοοῦμαι· ἀλλ' ἵνα μὴ ἀσύμφωνος ὦ ἑαυτῷ, ταῦτα εἶναί φημι τὰ αὐτά. Τοὺς πρώτους λόγους] τοὺς ἑαυτοῦ δηλονότι, ἐν οἷς ἐμέμφετο Γοργίαν καὶ Πῶλον ὡς παρὰ τὰ δοκοῦντα αὐτοῖς δι' αἰσχύνην ἀποκριναμένους, αὐτὸς δὲ ἐπηγγέλλετο παῤῥησιαζόμενος πᾶσαν ἐρεῖν τὴν ἀλήθειαν. Αἰνιχθέντα] τῷ γὰρ τοῦ κιναίδων βίου ὀνόματι κακὰ πολλὰ συνεσημαίνετο. Ὦ σοφώτατε σὺ] κατ' εἰρωνείαν ὑπὸ Καλλικλέους εἴρηται, ὥς φησὶ Πλούταρχος. Ἀχάρναι δῆμος Οἰνηΐδος, ἐξ οὗ οὗτος. Σωκράτης] τοῦτό φησι Καλλικλῆς καθ' ὁμοιότητα Σωκράτους. Ἀλωπεκὴ δῆμος Ἀντιοχίδος, ἐξ οὗ οὗτος. Τοὺς εὖ πράττοντας] τὸ ἀγαθὸν καὶ κακὸν εἰπεῖν βουληθεὶς τὰ μετέχοντα λέγει.

496. Ἡδὺ] ἀντὶ τοῦ ἡδόμενον ληπτέον. Αἰσθάνῃ οὖν τὸ συμβαῖνον] εἰ προηγεῖται μὲν ἐν τῷ διψῆν λύπη, ἐν δὲ τῷ πίνειν ἐπιγίγνεται ἡδονὴ καὶ συνυπάρχει αὐτῇ, ἅμα μὲν οὐ παραγίγνεται τἀναντία, καθὼς

ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν, ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίγνεσθαι ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν, ἄλλο δὲ τὸ συνεῖναι, ὅ ἐστιν ἐπ' αὐτῷ ἐγχωροῦν.

497. Τὸ ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι. ἀκκίζῃ οὖν φησὶν ἀντὶ τοῦ ἀνοηταίνεις οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος. Ἔχων ληρεῖς] ἀντὶ τοῦ ὑποκρίνῃ ἄνοιαν. Σοφὸς] ἀνόητος, κατ' εὐφημίαν. Τά σμικρά τε καὶ στενὰ] οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους· καὶ Ἱππίας γοῦν περιτμήματα αὐτοὺς ἐκάλεσεν. Τὰ μεγάλα γε μεμύησαι, πρὶν τὰ σμικρὰ] δηλονότι μυστήρια. διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα καὶ Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά, ἐλέγετο δὲ πρὸς τῶν μυουμένων ταῦτα "ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα" (κέρνος δὲ τὸ λίκνον ἤγουν τὸ πτύον ἐστίν) "ὑπὸ τὸν παστὸν ὑπέδυον" καὶ τὰ ἑξῆς.

498. Παροιμία, δὶς καὶ τρὶς τὸ καλόν, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ καὶ ἡ παροιμία· φησὶ γὰρ

καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν.

Οὐκοῦν ὁμοίως] ὑπερθετέον τὴν λέξιν οὕτως· οὐκοῦν ὁ κακὸς ὁμοίως· εἶτα τὰ ἑξῆς. Παλαιὸν λόγον] τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ προσπιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας.

500. Σὺ ἐκ τρίτων] τὸν Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβεν. Τῶν ἀγαθῶν] μέχρι τούτου ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι τοῦ ἀγαθοῦ, τῶν ἠθικῶν ἀρχῶν λόγος. Ἄρ' οὖν] ἐντεῦθεν ὁ περὶ τῆς εὑρετικῆς τέχνης αὐτοῦ, τάξιν εἰσαγούσης καὶ κόσμον ταῖς ψυχαῖς, ἥ ἐστι δικαιοσύνη καὶ σωφροσύνη καὶ ὅλως ἀρετή. Παρασκευαὶ] οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις. Τῶν μὲν] τῶν παρασκευῶν δηλαδή. Διὸς ἦν ἐπώνυμον παρ' Ἀθηναίοις ὁ φίλιος, ἐκ τοῦ εἶναι τῶν φιλικῶν καθηκόντων αὐτὸν ἔφορον. Ὁ δή σύνδεσμος ἐμφαντικὸς εἰρωνείας ἐστίν. Ἴσως οὖν] ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἑλεῖν, καὶ τρίτον ὁποῖον βέλτιον. Ἡ δ' ἰατρικὴ] τούτῳ προσθετέον ἀπὸ κοινοῦ τὸ τέχνη εἶναι.

501. Ὅτι ἡ μὲν τούτου] τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην ταῦτα, γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει, ἐπίσκεψις αἰτιῶν δι' ἃς προσ-

φέρει ἑκάστοις ἃ προσφέρει, ἀπόδοσις λόγου τούτων ἑκάστου. *Διαριθμησαμένη*] ἀντὶ τοῦ διακρίνασα ἢ διαλογισαμένη. ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκρινται ἀπ' ἀλλήλων καὶ πάντα κατ' αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος. *Σὺ δὲ δὴ*] ὡς Γοργίου καὶ Πώλου τὰ αὐτὰ ἤδη συγχωρησάντων. *Οὐκ ἔγωγε*] ἔμφασιν ἔχει τοῦ μὴ ἀρέσκεσθαι αὐτὸν εἰς ὁμολογεῖν ἀναγκάζεται. *Κιθαριστικὴ*] αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δὲ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. οἶδε γὰρ ἄλλην, ἣν σώζειν τὰς πολιτείας νενόμικεν. *Ἡ σεμνὴ*] ὡς εὐδοκιμοῦσα μᾶλλον τῶν ἄλλων τῆς μουσικῆς εἰδῶν κατ' ἐκείνους τοὺς χρόνους. ἰστέον δὲ ὅτι ἡ τραγῳδία, κολακεία τις οὖσα, ὑπὸ τὸ σοφιστικὸν ταύτης εἶδος τέτακται, ἅτε δὴ γνώμας ἀποφαινομένη καὶ περὶ δικαίων καλῶν τε καὶ ἀγαθῶν ὑψηλολογουμένη· ἢ καὶ κατὰ τὸ δημηγορικόν, καθ' ὅσον καὶ αὐτός φησιν, εἴ τις αὐτῆς τὰ μέτρα περιέλοι, μηδὲν ἕτερον αὐτὴν φανῆναι ἢ δημηγορίαν, ἐπειδὴ καὶ παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι. *Τί δὲ*] ἐντεῦθεν τῆς δημαγωγικῆς ῥητορικῆς διαβολή. *Ἐλευθέρων ἀνδρῶν*] τοῦτό φησι πρὸς ἀντιδιαστολὴν τῶν ἐν τοῖς θεάτροις ὄχλων, διὰ μὲν τῶν ἐλευθέρων τοὺς δούλους περιελών, διὰ δὲ τῶν ἀνδρῶν παῖδάς τε καὶ γυναῖκας.

503. *Τί δὲ Θεμιστοκλέα*] ἡ τάξις τῶν δημαγωγῶν οὐ πρὸς τὸν χρόνον, πρὸς δὲ τὸν τρόπον αὐτῶν. πρῶτον γὰρ Θεμιστοκλέα φησὶν ὡς μᾶλλον κατὰ νοῦν καὶ λογισμὸν τὰ τοῦ πολέμου διαθέμενον, Κίμωνα δὲ δεύτερον ὡς ἐκείνῳ παραπλήσιον, Μιλτιάδην δὲ τρίτον ὡς τύχῃ μᾶλλον ἢ γνώμῃ τῶν πολεμίων κρατήσαντα, Περικλέα δὲ τελευταῖον, ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, καὶ δι' αὐτοῦ τὸν Σωκράτην μάλιστα προσάξεσθαι ἤλπισεν.

504. *Δικαιοσύνη τε καὶ σωφροσύνη*] τῷ μὲν νομίμῳ τὴν δικαιοσύνην ἀπέδωκε, τῷ δὲ κοσμίῳ τὴν σωφροσύνην.

505. *Αὐτὸς γνώσῃ*] ἀντὶ τοῦ εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει. *Κεφαλὴν*] αἴνιγμα τοῦτο τῶν παλαιῶν τε καὶ σοφῶν ἀνδρῶν, τὸ τέλειον πανταχῇ τετιμηκότων· ἐξαιρέτως δὲ ἐν τοῖς περὶ τὸν λογισμὸν τὸν ἡμέτερον, ὃν μῦθον ὀνομάσαντες, ὅτι καὶ τὸν λόγον οὕτως ἐκάλουν, κεφαλὴν αὐτοῦ τὸν νοῦν αἰνίττονται, οὐδὲν ἄλλο διὰ τούτου παρεγγυῶντες ἢ πάντας ἡμῶν τοὺς λογισμοὺς πρὸς ἓν τέλος βλέπειν, τὴν κατὰ νοῦν ἐνέργειαν. *Ἐπιχάρμου*] οὗτος ὁ Ἐπίχαρμος γέγονε κωμῳδοποιός, καὶ εἰσήγαγέ τινας ἐν ἰδίῳ δράματι δύο διαλεγομένους πρὸς ἀλλήλους, καὶ ὕστερον ἕνα τῶν δύο πάλιν τὰ τῶν δύο διαλεγόμενον.

506. *Ἕως αὐτῷ*] τὸν ὑπὲρ φιλοσοφίας λόγον βουληθῆναι ἄν φησιν ἀποδοῦναι Καλλικλεῖ, ὥσπερ ὁ Ἀμφίων τῷ Ζήθῳ τὸν ὑπὲρ μουσικῆς παρὰ τῷ Εὐριπίδῃ. *Ἐξ ἀρχῆς*, οὐ τοῦ διαλόγου φησί, τοῦ δὲ τελικοῦ αἰτίου τῶν ἠθικῶν ἀρχῶν. εἰ δὲ περὶ τοῦ τέλους μάλιστα προκειμένης τῆς ζητήσεως, περὶ τῆς ποιητικῆς αἰτίας καὶ τοῦ εἴδους ἐνδιέτριψε, θαυμάζειν οὐ χρή. τὸ γὰρ ἀγαθόν, ὅπερ τὸ τέλος ἐστίν, ἄρρητον καθ' αὑτό. διόπερ ἐνταῦθα μὲν διὰ τῆς ἀποφάσεως, ὧν δοκεῖ εἶναι, ὅτι οὐκ ἐστὶν ἡδονή, δηλοῦται· ἐν Παρμενίδῃ δὲ τελεώτερον οὐ περὶ ἀγαθοῦ τινὸς ἀλλ' ἁπλῶς περὶ ἀγαθοῦ ποιεῖται τὸν λόγον, ἐκ Πολιτείᾳ δὲ δι' ἀναλο-

ἐν τῷ Φαίδωνι τῇ λύπῃ φησὶ τὴν ἡδονήν, ἅμα δὲ σύνεστι, καθὼς ἐνταῦθα λέγει. καὶ οὐ μάχεται ἑαυτῷ, εἴπερ ἄλλο μὲν τὸ ἅμα παραγίγνεσθαι ὅπερ οὐκ ἔστιν ἐπὶ τῶν ἐναντίων εὑρεῖν, ἄλλο δὲ τὸ συνεῖναι, ὅ ἐστιν ἐπ' αὐτῷ ἐγχωροῦν.

497. Τὸ ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἥν οὕτως εὐήθη λέγουσιν ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι. ἀκκίζῃ οὖν φησὶν ἀντὶ τοῦ ἀνοηταίνεις οἷα γυνή, μὴ εἰδέναι προσποιούμενος. Ἔχων λῆρεῖς] ἀντὶ τοῦ ὑποκρίνῃ ἄνοιαν. Σοφὸς] ἀνόητος, κατ' εὐφημίαν. Τὰ σμικρά τε καὶ στενὰ] οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικοὺς λόγους· καὶ Ἱππίας γοῦν περιτμήματα αὐτοὺς ἐκάλεσεν. Τὰ μεγάλα γε μεμύησαι, πρὶν τὰ σμικρὰ] δηλονότι μυστήρια. διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις, καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν. ἐτελεῖτο δὲ ταῦτα καὶ Δηοῖ καὶ Κόρῃ, ὅτι ταύτην μὲν Πλούτων ἁρπάξειε, Δηοῖ δὲ μιγείη Ζεύς· ἐν οἷς πολλὰ μὲν ἐπράττετο αἰσχρά, ἐλέγετο δὲ πρὸς τῶν μυουμένων ταῦτα "ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον, ἐκερνοφόρησα" (κέρνος δὲ τὸ λίκνον ἤγουν τὸ πτύον ἐστίν) "ὑπὸ τὸν παστὸν ὑπέδυον" καὶ τὰ ἑξῆς.

498. Παροιμία, δὶς καὶ τρὶς τὸ καλόν, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ καὶ ἡ παροιμία· φησὶ γὰρ

καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν.

Οὐκοῦν ὁμοίως] ὑπερθετέον τὴν λέξιν οὕτως· οὐκοῦν ὁ κακὸς ὁμοίως· εἶτα τὰ ἑξῆς. Παλαιὸν λόγον] τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ προσπιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας.

500. Σὺ ἐκ τρίτων] τὸν Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβεν. Τῶν ἀγαθῶν] μέχρι τούτου ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι τοῦ ἀγαθοῦ, τῶν ἠθικῶν ἀρχῶν λόγος. Ἆρ' οὖν] ἐντεῦθεν ὁ περὶ τῆς εὑρετικῆς τέχνης αὐτοῦ, τάξιν εἰσαγούσης καὶ κόσμον ταῖς ψυχαῖς, ἥ ἐστι δικαιοσύνη καὶ σωφροσύνη καὶ ὅλως ἀρετή. Παρασκευαὶ] οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις. Τῶν μὲν] τῶν παρασκευῶν δηλαδή. Διὸς ἦν ἐπώνυμον παρ' Ἀθηναίοις ὁ φίλιος, ἐκ τοῦ εἶναι τῶν φιλικῶν καθηκόντων αὐτὸν ἔφορον. Ὁ δή σύνδεσμος ἐμφαντικὸς εἰρωνείας ἐστίν. Ἴσως οὖν] ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἑλεῖν, καὶ τρίτον ὁποῖον βέλτιον. Ἡ δ' ἰατρικὴ] τούτῳ προσθετέον ἀπὸ κοινοῦ τὸ τέχνη εἶναι.

501. Ὅτι ἡ μὲν τούτου] τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην ταῦτα, γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει, ἐπίσκεψις αἰτιῶν δι' ἃς προσ-

φέρει ἑκάστοις ἃ προσφέρει, ἀπόδοσις λόγου τούτων ἑκάστου. *Διαριθμησαμένη*] ἀντὶ τοῦ διακρίνασα ἢ διαλογισαμένη. ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκρινται ἀπ' ἀλλήλων καὶ πάντα κατ' αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος. *Σὺ δὲ δὴ*] ὡς Γοργίου καὶ Πώλου τὰ αὐτὰ ἤδη συγχωρησάντων. *Οὐκ ἔγωγε*] ἔμφασιν ἔχει τοῦ μὴ ἀρέσκεσθαι αὐτὸν οἷς ὁμολογεῖν ἀναγκάζεται. *Κιθαριστικὴ*] αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δὲ οὐ πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. οἶδε γὰρ ἄλλην, ἣν σώζειν τὰς πολιτείας νενόμικεν. *Ἡ σεμνὴ*] ὡς εὐδοκιμοῦσα μᾶλλον τῶν ἄλλων τῆς μουσικῆς εἰδῶν κατ' ἐκείνους τοὺς χρόνους. ἰστέον δὲ ὅτι ἡ τραγῳδία, κολακεία τις οὖσα, ὑπὸ τὸ σοφιστικὸν ταύτης εἶδος τέτακται, ἅτε δὴ γνώμας ἀποφαινομένη καὶ περὶ δικαίων καλῶν τε καὶ ἀγαθῶν ὑψηλολογουμένη· ἢ καὶ κατὰ τὸ δημηγορικόν, καθ' ὅσον καὶ αὐτός φησιν, εἴ τις αὐτῆς τὰ μέτρα περιέλοι, μηδὲν ἕτερον αὐτὴν φανῆναι ἢ δημηγορίαν, ἐπειδὴ καὶ παθῶν ὑπερβαλλόντων κινητικαὶ ἀμφότεραι. *Τί δὲ*] ἐντεῦθεν τῆς δημαγωγικῆς ῥητορικῆς διαβολή. *Ἐλευθέρων ἀνδρῶν*] τοῦτό φησι πρὸς ἀντιδιαστολὴν τῶν ἐν τοῖς θεάτροις ὄχλων, διὰ μὲν τῶν ἐλευθέρων τοὺς δούλους περιελών, διὰ δὲ τῶν ἀνδρῶν παῖδάς τε καὶ γυναῖκας.

503. *Τί δὲ Θεμιστοκλέα*] ἡ τάξις τῶν δημαγωγῶν οὐ πρὸς τὸν χρόνον, πρὸς δὲ τὸν τρόπον αὐτῶν. πρῶτον γὰρ Θεμιστοκλέα φησὶν ὡς μᾶλλον κατὰ νοῦν καὶ λογισμὸν τὰ τοῦ πολέμου διαθέμενον, Κίμωνα δὲ δεύτερον ὡς ἐκείνῳ παραπλήσιον, Μιλτιάδην δὲ τρίτον ὡς τύχῃ μᾶλλον ἢ γνώμῃ τῶν πολεμίων κρατήσαντα, Περικλέα δὲ τελευταῖον, ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ λόγος, καὶ δι' αὐτοῦ τὸν Σωκράτην μάλιστα προσάξεσθαι ἤλπισεν.

504. *Δικαιοσύνη τε καὶ σωφροσύνη*] τῷ μὲν νομίμῳ τὴν δικαιοσύνην ἀπέδωκε, τῷ δὲ κοσμίῳ τὴν σωφροσύνην.

505. *Αὐτὸς γνώσῃ*] ἀντὶ τοῦ εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει. *Κεφαλὴν*] αἴνιγμα τοῦτο τῶν παλαιῶν τε καὶ σοφῶν ἀνδρῶν, τὸ τέλειον πανταχῇ τετιμηκότων· ἐξαιρέτως δὲ ἐν τοῖς περὶ τὸν λογισμὸν τὸν ἡμέτερον, ὃν μῦθον ὀνομάσαντες, ὅτι καὶ τὸν λόγον οὕτως ἐκάλουν, κεφαλὴν αὐτοῦ τὸν νοῦν αἰνίττονται, οὐδὲν ἄλλο διὰ τούτου παρεγγυῶντες ἢ πάντας ἡμῶν τοὺς λογισμοὺς πρὸς ἓν τέλος βλέπειν, τὴν κατὰ νοῦν ἐνέργειαν. *Ἐπιχάρμου*] οὗτος ὁ Ἐπίχαρμος γέγονε κωμῳδοποιός, καὶ εἰσήγαγέ τινας ἐν ἰδίῳ δράματι δύο διαλεγομένους πρὸς ἀλλήλους, καὶ ὕστερον ἕνα τῶν δύο πάλιν τὰ τῶν δύο διαλεγόμενον.

506. *Ἕως αὐτῷ*] τὸν ὑπὲρ φιλοσοφίας λόγον βουληθῆναι ἂν φησιν ἀποδοῦναι Καλλικλεῖ, ὥσπερ ὁ Ἀμφίων τῷ Ζήθῳ τὸν ὑπὲρ μουσικῆς παρὰ τῷ Εὐριπίδῃ. *Ἐξ ἀρχῆς*, οὐ τοῦ διαλόγου φησί, τοῦ δὲ τελικοῦ αἰτίου τῶν ἠθικῶν ἀρχῶν. εἰ δὲ περὶ τοῦ τέλους μάλιστα προκειμένης τῆς ζητήσεως, περὶ τῆς ποιητικῆς αἰτίας καὶ τοῦ εἴδους ἐνδιέτριψε, θαυμάζειν οὐ χρή. τὸ γὰρ ἀγαθόν, ὅπερ τὸ τέλος ἐστίν, ἄρρητον καθ' αὑτό. διόπερ ἐνταῦθα μὲν διὰ τῆς ἀποφάσεως, ὧν δοκεῖ εἶναι, ὅτι οὐκ ἔστιν ἡδονή, δηλοῦται· ἐν Παρμενίδῃ δὲ τελεώτερον οὐ περὶ ἀγαθοῦ τινὸς ἀλλ' ἁπλῶς περὶ ἀγαθοῦ ποιεῖται τὸν λόγον, ἐκ Πολιτείᾳ δὲ δι' ἀναλο-

γίας τινός. νυνὶ δ' ἐνταῦθα διὰ τῆς ἐπιστήμης καὶ τοῦ εἴδους, ὃ μόνως ἐξ ἀνάγκης παραγίνεται. τοιοῦτον δέ τινα τρόπον καὶ ἐν Φιλήβῳ· διὰ νοῦ γὰρ καὶ τῆς ἀληθοῦς ἡδονῆς. ποιητικὴν δέ φαμεν αἰτίαν τὴν ἐπιστήμην τῶν καλῶν καὶ ἀγαθῶν καὶ δικαίων, εἰδικὴν δὲ αὐτὰ ταῦτα, τελικὴν δὲ τὸ ἀγαθόν. Οὐ ταὐτὸν] ἐντεῦθεν ὁ Σωκράτης ἑαυτῷ ἀποκρίνεται. Ἀλλὰ μὴν] τοῦτο ὅπερ ἐλέγομεν, ὡς ἄῤῥητον αὐτὸ τὸ ἀγαθόν, διὰ τοῦ προπαραγενέσθαι τὴν ἀρετὴν δηλῶσαι βούλεται, ᾗ καὶ μόνῃ καὶ ἐξ ἀνάγκης συνέπεται. Ἀλλὰ τάξει] τῆς ἀρετῆς εἶδος τὴν τάξιν καὶ τὴν ὀρθότητά φησι· τὸ δὲ ποιητικὸν τὴν τέχνην, ἥτις ἐφ' ἑκάστῳ τέτακται πράγματι.

507. Οὔτε διώκειν τὰ κακὰ δηλονότι, οὔτε φεύγειν τὰ ἀγαθά. ταῦτα γὰρ οὐ προσήκει αὐτῷ, εἰ μὴ πρὸς ἀρετὴν καὶ εὐδαιμονίαν φέροι. Ὡς ἔχει ποδῶν] ἀντὶ τοῦ, ὅσον δυνάμεθα, ὀφείλομεν φυγεῖν τὰς κακὰς πράξεις. κατ' ἀναλογίαν οὖν εἶπε πόδας ὥσπερ πόδας Ἴδης τοῦ ὄρους φαμέν. κατὰ ζωὴν οὖν φεύγωμεν τὰ κακά, μὴ ποσίν, ἐπεὶ καὶ ὁ Πλωτῖνος ἀνάγεσθαι λέγει τὰς ψυχὰς οὐ ποδὶ ἀλλὰ ζωῇ. Ὁ σκοπὸς] σκοπὸς καὶ τέλος τῇ σχέσει μόνον διαφέρουσι. σκοπὸς μὲν γάρ ἐστιν ἡ ἀρχή, τέλος δὲ σκοπὸς εἰς ἐνέργειαν ἀχθείς. ἢ σκοπὸς τέλος ἀνέκβατον, τέλος δὲ σκοπὸς ἐκβεβηκώς. Οἱ σοφοὶ] σοφοὺς ἐνταῦθα τοὺς Πυθαγορείους φησί, καὶ διαφερόντως τὸν Ἐμπεδοκλέα, φάσκοντα τὴν φιλίαν ἑνοῦν τὸν σφαῖρον, ἑνοποιὸν εἶναι. τοῦτο δὲ πρὸς τῇ μιᾷ ἐστὶ τῶν πάντων ἀρχῇ.

508. Ἡ ἰσότης ἡ γεωμετρικὴ] τουτέστιν ἡ δικαιοσύνη. ταύτην δὲ τὴν γεωμετρικὴν ἀναλογίαν Διὸς κρίσιν ἐν Νόμοις ἐκάλεσεν, ὡς δι' αὐτῆς τῶν πάντων κεκριμένων τε καὶ ὡρισμένων. ἰστέον δὲ ὅτι ἀριθμητικὴν ἀναλογίαν εἶναί φασιν, ὅταν τριῶν ἀριθμῶν ἀνίσων ὁ μέσος ὑπερέχῃ τε τῷ ἴσῳ καὶ ὑπερέχηται, οἷον β' δ' ϛ', γεωμετρικὴν δὲ ὅταν τριῶν ἀριθμῶν ὄντων ἀνίσων, ὃν ἔχει λόγον ὁ πρῶτος πρὸς τὸν δεύτερον, τοῦτον καὶ ὁ δεύτερος πρὸς τὸν τρίτον, οἷον δ' ϛ' θ', ἁρμονικὴν δέ, ὅταν τριῶν ἀριθμῶν ἀνίσων, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἔχῃ καὶ ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον β' γ' ϛ'. Ἐπὶ κόῤῥης] ἐπὶ κεφαλῆς ἢ γνάθου ἢ κροτάφου. κόῤῥην γὰρ καὶ κόρσην τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. τινὲς δὲ καὶ ῥάπισμά φασι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν, ἁπτόμενον καὶ τοῦ κροτάφου. Τέμνεσθαι] ἀντὶ τοῦ ζημιοῦσθαι ἐνταῦθα. Ἐμὲ] τὸν ἐκ ψυχῆς καὶ σώματος Σωκράτη, οὐ τὸν κατὰ τὴν ψυχὴν μόνον. οὐ γὰρ θεμιτόν, φησὶν αὐτός, ἀμείνονα ὑπὸ χείρονος βλάπτεσθαι.

509. Ἀγροικότερον] τοῦτό φησι διὰ τὴν μεταφορὰν τῶν σιδηρῶν καὶ ἀδαμαντίνων λόγων. Εἶναι] προσυπακουστέον τὸ τοῦτο ἀκριβῶς οἶδα. Εἰ οἷόν τε] ἐπειδὴ μεῖζον μεγίστου οὐκ ἔστι, διὰ τοῦτο τὸ εἰ οἷόντε πρόσκειται. Ταύτην] τὴν τῆς ψυχῆς δηλαδή, δευτέραν δὲ τὴν τοῦ σώματος, καὶ τρίτην τὴν τῶν ἐκτός. Καὶ τἄλλα] περὶ τῶν νομιζομένων ἀγαθῶν τοῦτο λέγει, οἷς καὶ τάξιν τινὰ ἐν Νόμοις ἐπέθηκεν, εἰπὼν ὑγίειαν, κάλλος, ἰσχύν, πλοῦτον.

517. Σκυτοτόμον σκυτέα ἢ λωροτόμον, σκυτοδεψὸν δὲ τὸν δερματομαλάκτην ἢ βυρσοδέψην.

523. Ἦν οὖν νόμος] τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφοράν, ἵνα σημάνῃ πρώτας καὶ δευτέρας ὑποστάσεις· ὅτι δὲ ἀχρόνως ταῦτα δεῖ νοεῖν, ἐμφαίνει τὸ ἀεί ἐστιν. Ὅτι ὁ συνέχων καὶ τὴν λοιπὴν δυάδα οὗτός ἐστιν ὁ Ζεύς, πρὸς ὃν καὶ ὁ Πλούτων ἐπιστρέφεται· καὶ τὸν νοῦν προσείληφε καὶ τοὺς λόγους πάντων πρὸ τῆς δυάδος. Ϫ. Δία νῦν ἀκουστέον οὐ τὸν πρὸ τῶν τριῶν ἀλλὰ τὸν ἕνα τῶν τριῶν, πρὸς ὃν ἐπιστρέφεται ὁ Πλούτων καὶ οἱ ἐπιμεληταί. εἰσὶ δὲ δαίμονες κολαστικοὶ καὶ καθαρτικοὶ καὶ τελεσιουργοί. Ϫ. Γυμνὸς ὁ κριτὴς οὐ μόνον τοῦ ὀστρεώδους σώματος ἀλλὰ καὶ τοῦ ἀερώδους φυράματος, καὶ μόνον ἔχων τὸ αὐτοειδὲς ὄχημα· οἱ δὲ κρινόμενοι γυμνοὶ μὲν τῆς παχύτητος τοῦ ὀστρεώδους, περιφέροντες δὲ τὸ ἀέριον φύραμα καὶ δεόμενοι καθάρσεως. Ϫ.

IN THEÆTETUM.

142. Ἄρτι] τοῦτο σημαίνει τὸ παρὸν καὶ ὑπόγυον καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι. Αἱρεῖ] καταλαμβάνει, νῦν δὲ τὸ καταπονεῖ.

Ἀτὰρ] καὶ δή, ὡς νῦν. σημαίνει δὲ καὶ ὅμως καὶ ἅτε δή καὶ πλήν καὶ δέ. Ἐθαύμασα Σωκράτους] σημείωσαι διὰ τὴν σύνταξιν.

143. Οὐδέν γε ἀπὸ τρόπου] οὐ πόῤῥω τοῦ καθήκοντος. Ἐπίδοξοι] ἔνδοξοι, ἢ ὡς νῦν, προσδόκιμοι.

144. Ἀνερμάτιστα] ἀστήρικτα· ἕρματα γὰρ τὰ ἐρείσματα ἢ στηρίγματα. Ἔξω δρόμῳ] τόποι τινὲς ἦσαν, ὁ μὲν ἐκτὸς ἄστεος, ὁ δὲ ἐντός, ἀπὸ τῶν ἐν αὐτοῖς τελουμένων ὑπὸ τῶν νέων δρόμοι καλούμενοι.

146. Ὄνος κάθου, ἐπὶ τῶν ἐν πράγματι ἡττωμένων. εἴρηται δὲ ἀπὸ τῶν παίδων τῶν σφαιριζόντων καὶ τὸν νικηθέντα εἰς ὄνον καθιζόντων. ἐμνήσθη δὲ ταύτης ἐνταῦθα Πλάτων. Ϫ: ἐν τῇ διὰ σφαίρας [παιδιᾷ . . . . ἡ μὲν οὐρανία,] ἡ δὲ ἀπόῤῥαξις, [ἡ δὲ ἐπίσκυρος,] ἡ δὲ φαινίνδα. [καὶ οὐρανία μέν ἐστιν ἡ] εἰς οὐρανὸν τῆς σφαίρας ἀναβολή, ἣν ὁ ποιητὴς ἐμφαίνειν δοκεῖ ἐν οἷς φησὶν (Od. 8, 372)

οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο
πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαΐφρων,
τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα
ἰδνωθεὶς ὀπίσω, ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς
ῥηϊδίως μεθέλεσκε πάρος οὖδας ἱκέσθαι.

ἀπόῤῥαξις δέ ἐστιν ὅταν τὴν σφαῖραν μὴ πρὸς τοῖχον ἀλλὰ πρὸς τὸ ἔδαφος σκληρῶς ῥίπτωσιν, ὥστε ἀποκρουομένην ἅλλεσθαι πάλιν. τὴν δὲ ἐπίσκυρον καὶ ἐφηβικὴν καὶ ἐπίκοινον ἔλεγον· ἐχρῶντο δὲ αὐτῇ κατὰ πλήθη· ὠνομάσθη δὲ οὕτως, ἐπειδὴ οἱ παίζοντες ἐπὶ λατύπης ἑστῶτες, ἣν σκῦρον προσαγορεύουσι, βολῇ σφαίρας ἀλλήλους ἐκδιώκουσιν. φαινίνδα δέ ἐστιν ὅταν ἑτέρῳ τὴν σφαῖραν προδεικνύντες ἑτέρῳ αὐτὴν ἐπιπέμπωσι. τῶν οὖν παιζόντων ταῦτα τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, καὶ ὅτι ἂν προσέτασσον τοῖς ἄλλοις ὑπήκουον, τοὺς δ' ἡττωμένους ὄνους. Κρατῖνος δὲ Χείροσι χαριέντως ὁμοῦ ἐγκαταμίξας καὶ τὴν ὄνος λύραν παροιμίαν ἔπλεξε τὸν λόγον οὕτως

ὡς ὄνος ἀπωτέρω κάθηνται τῆς λύρας·

τοὺς γὰρ ἡττωμένους, ὡς ἔφαμεν, ὄνους καθῆσθαι ἔλεγον, βασιλεῖς δὲ τοὺς νικῶντας. cf. Polluc. 9, 103—6.

152. Διὰ τοῦ ἔοικεν ὁ Θεαίτητος φαίνεται ἀγαπῶν τὸ Πρωταγόρου δόγμα, καὶ μένων τῇ ἐξ ἀρχῆς ἑαυτοῦ ἀποκρίσει. Ἆρ' οὖν] πρώτη κατασκευὴ τοῦ Πρωταγορείου δόγματος. Συρφετῷ] κονιορτῷ τῷ μετὰ κόπρων. οἱ δὲ κοιμῶν (λοιμῶν B) καὶ συρμός, καὶ σύρφη φρύγανα.

153. Κινήσεων ὄντων] τὴν σύνταξιν σημείωσαι, ὅτι οὐδετέρας εἶπεν ὄντων πρὸς τὰ πράγματα· οὐδέτερον γὰρ τὸ πρᾶγμα. Τὸν κολοφῶνα ἀναγκάζω προσβιβάζειν] δώδεκα πόλεις τῆς Ἰωνίας συνῄεσαν εἰς τὸ Πανιώνιον λεγόμενον, περὶ τῶν κοινῶν βουλευσόμεναι, καὶ εἴ ποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν ἐτίθεντο τὴν νικῶσαν· Σμυρναίους γὰρ ἐλθόντας εἶχον συνοίκους, ὑπὲρ ὧν καὶ τήνδε τὴν ψῆφον ἐτίθεντο. ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαιοτάτης ψήφου ἡ παροιμία ἐτίθετο, οἷον τὸν Κολοφῶνα ἐπιτίθημι ἢ τὸν Κολοφῶνα ἀναγκάζω προσβιβάζων. Παροιμία, ἄνω κάτω πάντα, ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Μένανδρος Ἐγχειριδίῳ, καὶ ἐν Χήρᾳ

τὸ λεγόμενον τοῦτ' ἐστὶ νῦν,
τἄνω κάτω, φασί, τὰ κάτω δ' ἄνω.

Ὑπόλαβε] δευτέρα κατασκευὴ ὑπὲρ τῶν Πρωταγόρᾳ δοκούντων. Προσήκουσαν] ἀντὶ τοῦ σύμμετρον.

154. Ἴδιον] ἀντὶ τοῦ μερικόν. Ὧι παραμετρούμεθα] τουτέστι τῷ αἰσθητηρίῳ. ἔστι δὲ τὸ ῥῆμα μέσης διαθέσεως. οὐδὲ ἐφαπτόμεθα, λέγει, τοῦ αἰσθητοῦ. τὸ δ' αὐτὸ εὐθὺς καὶ παραμετρούμενον λέγει, ἐφαπτόμενον δὲ τὸ αἰσθητήριον.

155. Φάσματα λέγει ταῦτα ὡς τῶν ψυχῶν ἀπατηλά, εἰ μή τις ὀρθῶς αὐτὰ μεταλάβοι. Κομιδῇ] πάνυ, παντελῶς· συναγωγή, ἐπιμέλεια. καὶ κομίστρια ἡ τροφός. Ὑπερφυῶς ὡς] μέχρι τοῦδε τὰ τῆς δευτέρας κατασκευῆς τῶν Πρωταγορείων δογμάτων. Ἀπρὶξ] προσπεφυκότως, ἰσχυρῶς, ὃ οὐχ οἷόν τε πρῖσαι διὰ τὴν σύμφυσιν.

156. Πρὸς τὰ πρότερα λέγει, πρὸς τὸ πάντων χρημάτων μέτρον εἶναι τὸν ἄνθρωπον, καὶ τὰ τοιαῦτα. Ὅσον μὲν οὖν ἄρα δὴ] οἷον ὡς τὸ ἁπτὸν καὶ τὸ γευστόν. παρέλιπε δὲ ὄψιν καὶ ἀκοὴν ταχέως γινόμενα· τούτων γὰρ σχεδὸν ἀχρόνως αἰσθανόμεθα. διὰ δὲ τὸ ἐναργῆ αὐτὰ εἶναι παρέλιπεν. ἑξῆς δὲ ὅταν λέγῃ "τὰ δὲ γεννώμενα οὕτω δή," εἰς τὸ δή ὑποστικτέον. οὕτω γὰρ δὴ λέγει, τουτέστι τὰ βραδέα, ἅπερ ἐστὶ γευστὰ καὶ ἁπτά. Τῆς δὲ λευκότητος] καὶ γάρ, φησίν, ἡ αὐτὴ αἴσθησις τῶν ἀντικειμένων οὐκ ἔστιν, οὐδὲ τὸ αὐτὸ αἰσθητὸν πάσης ἐστίν, ἀλλὰ μία ὄψις ἡ τοῦ λευκοῦ αἰσθητοῦ ἑνός. καὶ τὸ λευκὸν οὐ δύναται ἡ τοῦ μέλανος αἴσθησις ἀντιλαβέσθαι, ἀλλ' ἡ τοῦ λευκοῦ, καὶ ἔμπαλιν. ἑκατέρου δὲ λέγει, οἷον τῆς τοῦ μέλανος ὄψεως ἐπὶ τὸ λευκὸν αἰσθητόν. ἐφεξῆς δὲ ὄψιν μὲν λέγει τὴν ὀπτικὴν δύναμιν, λευκότητα δὲ τὴν λευκαντικὴν δύναμιν.

157. Ἐξ ἀρχῆς] ὅτε ἔλεγε τάχος καὶ βραδύτης ἕν, καὶ πάλιν φθαρτός ἐστι, καὶ τὰ τοιαῦτα. Χρῆσθαι αὐτῷ] ἤγουν τῷ εἶναι, ὡς ὁ τῶν

Πρωταγορείων λόγος. *Ἀθροισθέντων*] ἀντὶ τοῦ συντεθέντων. *Μὴ τοίνυν ἀπολείπωμεν*] ἔτι συνηγορῶν τῷ Πρωταγόρᾳ τὰς πρὸς αὐτὸν ἐνστάσεις δοκεῖ διαλύειν.

158. *Ἐντεῦθεν ἄρχεται διαλύειν τὰς πρὸς Πρωταγόραν ἐνστάσεις διὰ τὸ ἄπορον εἶναι τὸ περὶ τῶν ἐνυπνίων.* *Οὕτως ἐρωτῶντες*] ἔτι συνηγορεῖ καὶ ἐν τούτοις τῷ τοῦ Πρωταγόρου δόγματι, λαμβάνων τρία αἰτήματα. *Ταὐτὸν εἶναι*]· οἷον ὡς ἵππος καὶ ἄνθρωπος ταὐτόν ἐστι κατὰ τὸ αἰσθητικόν. ἀλλ' οὐ λέγω, φησίν, οὕτως.

159. *Πρόσθεν*] ἤγουν ἐν τοῖς κατὰ Πρωταγόραν.

160. *Ἐμαυτῷ τοιοῦτος*] κατὰ τὴν αἴσθησιν τοιοῦτος. κατὰ κοινοῦ ἡ ἄρνησις. *Οὐκοῦν ὅτε δὴ*] ὥστε, φησίν, οὐδὲν ἄτοπον συμβαίνει διὰ τὰς ἐνστάσεις, οἷον τὰς ὀνειρώξεις καὶ τὰ τοιαῦτα. *Κατὰ δὲ Θεαίτητον*] ἕπεται γὰρ ταῖς ἐκείνων θέσεσιν ὁ τοῦ Θεαιτήτου λόγος. *Ἀμφιδρόμια*] ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα παρ' ὅσον ἐν ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συνεφαψάμεναι τῆς μαιώσεως, καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσι τρέχουσαι κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ, δῶρά τε πέμπουσι τῷ παιδίῳ, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας, οἵ τε φίλοι καὶ οἰκεῖοι καὶ ἁπλῶς οἱ προσήκοντες.

161. *Τῆς ἀληθείας*] τὸ τοῦ Πρωταγόρου σύγγραμμα, ἐν ᾧ ταῦτα δοξάζει, ἀλήθεια ἐκαλεῖτο ὑπὸ Πρωταγόρου. *Ἤρξατο*] σημείωσαι ὁριστικὸν ῥῆμα ἀνθ' ὑποτακτικοῦ. Ⲭ. *Γυρῖνος* τὸ ἐκ τοῦ βατράχου παιδίον. *Δημούμενον*] δημοκοποῦντα, παίζοντα, θωπεύοντα.

162. *Διωλύγιος*] μεγάλη, ἡ ἐπὶ πολὺ διήκουσα. Ⲭ: ἀντὶ τοῦ περιβόητος. σημαίνει δ' ἔσθ' ὅτε καὶ τὸ σκοτεινὸν καὶ νυκτέρινον. *Εἰ οὕτως σοι φίλον, οὐδ' ἐμοὶ ἐχθρὸν*] παροιμία ἐπὶ τῶν ἔν τισι συμφερομένων. *Δημηγορίας*] τὸν δοκοῦντα ἔλεγχον, ὃν ἄρτι ἔλεγεν ὁ Σωκράτης κατὰ Πρωταγόρου, ὅτε τοῦ κυνοκεφάλου ἐμέμνητο, δημηγορίαν νῦν καλεῖ, διὰ τῆς εἰρωνείας τὸν λόγον παραμυθησάμενος, ἵνα πάλιν διεγείρῃ τὸν νέον. *Οὐδ' ἑνὸς μόνου*] καὶ γὰρ εἰ τὴν τῶν πολλῶν κρίσιν λάβοιμεν ἐπὶ γεωμετρίας κυρίαν, γέλοιοι ἂν ὦμεν, ἀσύμμετρα λέγοντες ἀλλήλοις μεγέθη, καὶ τὴν πεπερασμένην εὐθεῖαν διαιρετὴν εἶναι εἰς ἄπειρον, καὶ τὰ τοιαῦτα. ἐκ δὲ τῆς τῶν κυβευόντων συνηθείας ἔλαβε τὸ οὐδ' ἑνὸς μόνου, ὅταν ἐκεῖ πέσῃ ἐν τῷ παίζειν ἓν τὸ ἐλάχιστον.

163. *Καίτοι ἠδύνατο λέγειν, εἰ οὐκ ἐπίσταται ὁρῶν ὁ ἀγράμματος, ἄλλο ἐστὶν ἐπιστήμη καὶ ἄλλο ὅρασις ἤτοι αἴσθησις.*

164. *Τὸν πρόσθεν*] τὸν τὴν αἴσθησιν θέμενον εἶναι ἐπιστήμην. *Πάλιν ἐξ ἀρχῆς*] πάλιν ἐν τούτοις πρόκειται τῷ Σωκράτει ἀνακαλέσασθαι τὸν διὰ τὴν ἀπειρίαν ἑαυτοῦ κατασυλλογισθέντα Θεαίτητον. *Μῦθος ἀπώλετο*] παροιμία ἐπὶ τῶν τὴν διήγησιν μὴ ἐπὶ πέρας ἀγόντων.

Προπηλακίζομεν] ἀδικοῦμεν, ὑβρίζομεν, διασύρομεν, ἐξουθενοῦμεν.

165. *Σκέψαι οὖν*] πάλιν ἐπιχειρεῖ ἐλέγχειν ἐν τούτοις τὰ τοῦ Πρωταγόρου καὶ Θεαιτήτου δόγματα.

166. *Ἐξέλεγξον*] ἐκ τῶν δύο, φησί, θάτερον ἐξέλεγξον, εἴπερ δύνασαι· ἢ γὰρ ὡς οὐκ εἰσὶν αἱ αἰσθήσεις ἴδιαι, ἢ τούτων ἰδίων οὐσῶν οὐκ ἔστι τὰ αἰσθητὰ ἴδια ἑκάστῳ. *Ὑηνεῖς*] ὑϊκόν τι καὶ ζωῶδες ποιεῖς.

𝔄: οἷον ὡς εἴ τις εἴποι χοιρίζεις. Πολλοῦ δέω] πόρρω λίαν εἰμί, οὐ βούλομαι λέγειν, σιωπῶ. Ἐναντία] κατὰ γὰρ τὴν Πρωταγόρου δόξαν τὸ μὲν αἰσθητὸν πᾶν δοκεῖ εἶναι μὴ ὄν, τὸ δὲ δίκαιον καὶ τὸ καλὸν ἔστι μέν, ἀλλ' οὐ φύσει, θέσει δὲ μόνον, οἷον οἱ νόμοι παρ' ἑκάστοις. μόνον δὲ τὸ ἀγαθὸν φύσει.

167. Τοῖς φυτοῖς] πρὸς τί γάρ, φησί, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὡς (καὶ B) τὸ καλὸν καὶ τὸ δίκαιον; τὸ δὲ ἑξῆς, ὥσπερ, φησίν, ἡ κακὴ ψυχὴ δοξάζει συγγενῆ ἑαυτῇ πονηρά, οὕτως ἡ χρηστὴ χρηστά. ἑκατέρως δὲ τῇ δοκήσει τὸ ἀληθὲς καὶ πρός τι. Σώζεται ὁ λόγος ὁ λέγων μέτρον πάντων εἶναι τὸν ἄνθρωπον. ἐν τούτοις δὲ τοῖς ἀγαθοῖς καὶ κακοῖς τοῖς ἀληθῆ μὲν δοξάζουσιν ἑκατέροις, διαφέρουσι δὲ τῷ κρείττονι καὶ χείρονι μόνῳ.

168. Πρεσβύτεροι] οἱ γὰρ νέοι φιλόνεικοι. Τὸν Θεόδωρον νῦν παρακαλεῖ πρὸς τὴν διάλεξιν, ἵνα δι' αὐτοῦ οἱ ἀληθεῖς ἔλεγχοι κατὰ Πρωταγόρου γένωνται. καὶ ἤτοι διὰ τὸ ἀξιόπιστον τοῦ πρεσβυτικοῦ προσώπου τοῦτο ποιεῖ, ἢ καταβάλλων τὸ τοῦ νέου, ὡς εἰκός, οἴημα. Χαριεντισμὸν] ἀντὶ τοῦ παίγνιον.

169. Ὀλίγον] μετὰ γὰρ τοὺς τοῦ Πρωταγόρου ἐλέγχους πάλιν ἐπὶ τὴν Θεαιτήτου μαιείαν ἀναδραμεῖται. Ἡρακλέες τε καὶ Θησέες] οἱ Θρασύμαχοι, Καλλικλεῖς, Διονυσόδωροι, Εὐθύδημοι, καὶ οἱ τοιοῦτοι. Περαιτέρω] οἷον τοῦ ἐλέγχου μόνου, πλέον δὲ ἄλλο οὐδέν, οἷον τὰ περὶ ἐπιστήμης.

170. Ὡς πρὸς θεοὺς ἔχειν] ἀντὶ τοῦ ἐκθειάζειν τοὺς ἐν ἑκάστοις ἐπιστήμονας· οἷον καὶ τὸ Ὁμηρικὸν θεοῖς ἐναλίγκια μήδε' ἔχοντα, καὶ ἶσος Ἐνυαλίῳ ἀνδρειφόντῃ καὶ τὰ τοιαῦτα. Ἄλλων ζώων] οἷον ποιμένας, ἡνιόχους, κυνηγούς. Τῷ λόγῳ] τῷ κατασκευασθέντι ἐκ τῆς κοινῆς ἐννοίας τῶν πολλῶν. Περί τινος δόξαν] οἷον περὶ προνοίας, περὶ τοῦ ἐφ' ἡμῖν καὶ τῶν τοιούτων.

171. Οἷς μὴ δοκεῖ] οὐ γάρ ἐστι ποιότης ἐν τοῖς τοιούτοις ποσοῖς. Ὅταν, τἀναντία] ὅταν, φησίν, ὁ Πρωταγόρας συναίσθηται τῆς τοῦ λόγου ἀτοπίας. Σοφώτερον ἡμῶν εἶναι] ἔπου θεῷ, ἔπου λόγῳ. Τὰ μὲν πολλὰ] τὰ μὲν σωματικὰ καὶ πρός τι.

172. Συμφέροντα] τὸ γὰρ συμφέρον, φησί, φύσει, ὁ δὲ νόμος θέσει. Ὅσον ἂν δοκῇ χρόνον] ἀντὶ τοῦ ἕως τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. Τοῖς τοιούτοις] οἷον ἐργαστηρίοις, ἐμπορίαις. Ἄλλως] ἀντὶ τοῦ ματαίως καὶ ὡς ἔτυχεν.

173. Φαύλως διατρίβοντας] οἷον τοὺς πολιτικούς. Σπουδαὶ -πράττειν προσίσταται] Ἀττικὸν τὸ σχῆμα, γίνεται δὲ τῆς ἐπιφορικῆς φράσεως προταττομένης ὀρθῆς πτώσεως ἀντὶ γενικῆς ἢ δοτικῆς ἢ αἰτιατικῆς, γενικῆς μὲν οἷον "Ἀλκιβιάδης ἐξελθὼν τῶν πυλῶν Λακεδαιμόνιοι ἠτύχησαν·" ἔδει γὰρ εἰπεῖν Ἀλκιβιάδου ἐξελθόντος· δοτικῆς δὲ οἷον "ἐξερχόμενος ἔδωκέ μοι·" ἀντὶ γὰρ τοῦ ἐξερχομένῳ ἐξερχόμενος εἶπεν. ἀντὶ δὲ αἰτιατικῆς ὡς ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν σπουδὰς δὲ ἑταιρειῶν καὶ κώμους οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς, ἀντὶ τοῦ παρίσταται. 𝔄. Θαλάττης χόες] παροιμία ἐπὶ τοῦ πολυμαθοῦς καὶ ἐμπείρου.

174. Διερευνώμενος] ὅτι ἐν τούτοις τὸν ὡς ἀληθῶς μαθηματικὸν ἄν-

ἄρα εἰς ταὐτὸν ἄγει τῷ ὄντως φιλοσόφῳ, ἔτι δὲ καὶ τὸν φυσικόν, ἢ μᾶλλον ὡς μέρη τοῦ φιλοσόφου βούλεται εἶναι τοὺς ἄλλους ἐπιστήμονας. Εἰς φρέατα] ἐπὶ τῶν ὑλαίων πραγμάτων καὶ εἰδωλικῶν. Βδάλλοντα] ἀμέλγοντα, ἀπὸ τοῦ βδέλλα. Δοκεῖ ἀκούειν] νομίζει γίγνεσθαι κατὰ κοινοῦ.

175. Θῶπας] ἀπατηλούς. Τορῶς] τομῶς, ἐντρεχῶς, εὐπετῶς. Χ. Ἀναβάλλεσθαι] τῶν γὰρ ἀπαιδεύτων καὶ τὸ ἔνδυμα καὶ τὸ σχῆμα θορυβῶδες. ἄλλοι δὲ τὸ ἀναβάλλεσθαι ἐπὶ τῶν κιθαρῶν ἀκούουσι τῆς ᾠδῆς, οἷον τὸ ἄρχεσθαι κιθαρίζειν. καὶ οἶμαι οὐ κακῶς· τό τε γὰρ πρόκρουμα τῆς κιθάρας ἀναβολὴ καλεῖται (Ἀριστοφάνης Εἰρήνῃ. συνέλεγόν τ' ἀναβολὰς ποτώμεναι), καὶ τὰ τοῦ λόγου ἑξῆς πρὸς ταύτην τείνει τὴν ἔννοιαν. Χ.

176. Βάναυσοι] οἱ ἑδραῖοι τεχνῖται καὶ παρὰ βαύνῳ, ὅ ἐστι καμίνῳ, τὶ ἔργον διατιθέμενοι. οἱ δὲ βάναυσον τὸν ἀπάνθρωπον καὶ ὑπερήφανον. ἔνιοι δὲ βαναύσου χειρὸς τῆς ὑβριστικῆς ἢ τεχνικῆς. δηλοῖ δὲ τοὺς χειροτέχνας καὶ δημιουργούς. Γῆς ἄλλως ἄχθη] ἀλλὰ δεῖ ἐπιτιμᾶν αὐτοῖς, φησί, τὸ Ὁμηρικὸν "ἐτώσιον ἄχθος." τὸ γὰρ φυσικὸν βάρος καλόν, τὸ δὲ ἄλλως καὶ μάταιον κακόν.

177. Παντάπασιν ὡς δεινοὶ] τοὺς γὰρ τὰ συμφέροντα διδάσκοντας σοφοὺς οἱ δεινοὶ ὡς ἀνόητα φάσκοντας ἐκφαυλίζουσιν, ὡς ὁ τοῦ Ὁμήρου Πάρις

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.

Διαφέρειν] οἱ δεινοὶ ἐκεῖνοι. Χ. Μὴ λεγέτω τὸ ὄνομα] ἀντὶ τοῦ μὴ ὄνομα ψιλὸν μόνον λέγωμεν, οἷον τὸ ὠφέλιμον καὶ βλαβερόν.

178. Ἑκάστη] ἐπιρρηματικῶς ἀκουστέον ἀντὶ τοῦ ἑκασταχοῦ. Χ. Μέλλοντα χρόνον] τὸ γὰρ ἁπλῶς μέλλον καθολικώτερον τοῦ ὠφελίμου. Τοῦτο δὲ μέλλον ὀρθῶς ἂν ἐπιλέγχοιμεν] τοῦτο τὸ γενικώτερον μεταλαβὸν τὴν ἐρώτησιν, καὶ μὴ ἐπὶ μόνου τοῦ ὠφελίμου. γράφεται καὶ τοῦτο δὲ μᾶλλον ὀρθῶς ἂν λέγοιμεν. Ὦ μέλε] παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνον, ὡς τὸ ὦ τάλαν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς[1] ἐν Ἱππεῦσιν Ἀριστοφάνους, καὶ ἐν Μενάνδρου Συνερώσῃ (συνερῶσιν ΒΞ)

ἄφες τὸν ἄνθρωπον. τί κόπτεις, ὦ μέλε;

σημαίνει δέ, ὦ δείλαιε, ὦ πονηρέ. ἔνιοι δέ, ὦ ἐπιμελείας ἄξιε καὶ οἷον μεμελημένε.

179. Ἀνάλωτοι] ἐντεῦθεν εἰσβάλλει εἰς τοὺς κατὰ τοῦ Ἡρακλείτου ἐλέγχους. εἰ γὰρ πάντα, φησί, κινεῖται συνεχῶς καὶ ἀόριστά ἐστι καὶ ἄστατα, ἡ Πρωταγόρου δόξα ἀνάλωτός ἐστιν. Διακρούοντα] ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια, εἰ ἀκέραιά εἰσιν. Ἔμπειροι] ἀλλ' οὐκ ἐπιστήμονες διὰ τὸ ἄστατον τῶν ἀεὶ κινουμένων. Τὰ συγγράμματα] τὰ τοῦ Ἡρακλείτου συγγράμματα. ἠγριωμένοι καὶ μεγαλόφρονες· τοιοῦτος γὰρ ὁ Ἡράκλειτος γέγονεν, οὗ καὶ ἀπόφθεγμα φέρεται τοιοῦτον "πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην."

180. Τούτῳ] τῷ στασίμῳ διὰ τὴν ἑαυτῶν θέσιν τὴν πάντα κινεῖσθαι

[1] ὡς Meinek. Menandri rel. p. 157. libri καί.

λέγουσαν. Πρόβλημα] γεωμετρικῶς δεῖ, φησίν, ἐκθεμένους τὸ πρόβλημα ζητεῖν ἀποδεικτικῶς, πότερον πάντα κινεῖται ἢ οὔ. Προϊόντες] ἀπὸ μὲν Θεαιτήτου εἰς Ἡράκλειτον, εἶτα εἰς Παρμενίδην καὶ Μέλισσον.

181. Ῥέοντας] πικρὰ ἡ λέξις καὶ σκωπτική. Οἱ τοῦ ὅλου στασιῶται] γλυκεῖα ἡ λέξις καὶ ἐγκωμιαστικὴ τῶν ἀμφὶ Παρμενίδην. Ἀκίνητα κινούντων] παροιμία καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ ἔδη μηδὲ βωμοὺς κινεῖν ἢ τάφους ἢ ὅρους. ἐμνήσθη ταύτης καὶ ἐν Νόμων ὀγδόῳ. Ἔτι διασύρει τὸν Ἡρακλείτου χορὸν ὡς ἀσεβῆ· τὰ γὰρ ἱερὰ ἀκίνητα. Στρέφηται] ὡς ὁ στρόβιλος. Ἀμφότερον] ἔστι καὶ τρίτον σκέλος τῆς διαιρέσεως τὸ λέγον οὐδὲν ἀμφοτέρως, ὅπερ σὺν τῷ δευτέρῳ ἐλέγχεται. Ἀμφοτέρως] ἀντὶ τοῦ πάντα κατὰ τὰς δύο κινεῖται κινήσεις. Οὐδὲν μᾶλλον] τὸ γὰρ μὴ ἀλλοιούμενον, καθ' ὃ οὐκ ἀλλοιοῦται, οὐ κινεῖται ἀλλ' ἵσταται.

182. Ποιότης] ἐκ τούτων δῆλον ὅτι τὸ τῆς ποιότητος ὄνομα Πλάτων ἐστὶν ὁ πρῶτος θεὶς ἐν τοῖς Ἕλλησιν. Ἀλλόκοτον] ἐναντίον, ἢ ξένον. Ἀθρόον] γενικῶς. Κατὰ μέρη] εἰδικῶς. Ἄλλα] τὰ τῶν Ἡρακλειτείων ἄλλα δοξάσματα. Εἰ πάντα κινεῖται] εἰ γάρ, ὥς φασί, πάντα παντοίως κινεῖται, εἴ τι δ' ἄν τις εἴποι, οὐδ' ἐκεῖνο ἔσται, ἀλλὰ καὶ αὐτὴ αὐτῶν ἡ δόξα κινεῖται καὶ μεταβάλλει.

183. Οὕτω τ' ἔχειν] ἀντὶ τοῦ συνδραμεῖν τὴν ἀντίφασιν. Οὐδ' ὅπως] ἀόριστον γὰρ πάντῃ τὸ οὐδ' ὅπως. Μάλιστα δ' οὕτως ἂν] ἤγουν ἡ λέγουσα ἀπειραχῶς τὸ οὐδὲ ὅπως. Τοὺς φάσκοντας] τοὺς περὶ Μέλισσον. Ἱππέας προκαλεῖσθαι εἰς πεδίον, ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονικωτέρους αὐτῶν εἰς ἔριν προκαλουμένων. Πλάτων Θεαιτήτῳ καὶ Μένανδρος Καταψευδομένῳ. Γράφεται δὲ καὶ ἵππον εἰς πεδίον προκαλεῖσθαι, ἐπὶ τῶν εἰς ἃ βούλεταί τις προκαλούντων. Βάθος τι] φαίνεται καὶ Ἀριστοτέλης σεμνύνων τὸν Παρμενίδην. καὶ νῦν φησὶ φοβεῖσθαι ἕξ τινα καὶ διὰ τοῦτο μὴ ἐπιχειρεῖν βασανίζειν τὰ τοῦ Παρμενίδου.

184. Οὐχ ὅτι οἱ δούρειοι ἵπποι πολυαίσθητοι, οἷς οὐδεμία αἴσθησις· ἀλλ' ἔλαβε τοῦτο ἀπὸ τοῦ δουρείου ἵππου ᾧ Τροίαν εἷλον οἱ Ἕλληνες, τοῖς κοίλοις αὐτοῦ κατακρυψάντων ἑαυτοὺς τῶν ἀρίστων. διὸ καὶ πάνυ εὐσήμως τὸ ἐγκάθηνται· οὐδὲ γὰρ τοῦ μηχανήματος ἀλλὰ τῶν ἐγκεκρυμμένων αἱ αἰσθήσεις. Ἀ. Πάντα τὰ τοιαῦτα λέγει τὰ αἰσθητά· εἰς τὸ σῶμα δέ, εἰς τὰ αἰσθητήρια. Ἀδύνατον εἶναι δι' ἄλλης ταῦτα αἰσθέσθαι] τὴν διάνοιαν καὶ τὴν κοινὴν αἴσθησιν νῦν εἰς ταὐτὸν ἄγει διὰ τὸ πρόχειρον· μετ' ὀλίγον δὲ διαστέλλει.

185. Ἀμφοτέρω] φωνὴν καὶ χρόαν. Τό τ' ἐπὶ πᾶσι κοινὸν] τὸ τῶν πέντε αἰσθήσεων γενικῶς. Οὐσίαν] ἢ τὸν ἐπὶ τούτοις ὁρισμόν. Διὰ τίνος ποτὲ] νῦν τὸ διανοητικὸν ἐκ τῆς κοινῆς αἰσθήσεως διέκρινεν. Ἀκολουθεῖς,] τῇ τε κοινῇ αἰσθήσει καὶ τῇ διανοίᾳ.

186. Ποτέρων] τῶν μετὰ σώματος ἢ τῶν ἄνευ σώματος. Ἐπὶ πάντων] ἀντὶ τοῦ περιεκτικώτερον καὶ γενικώτερόν ἐστιν. Πρὸς τὰ μέλλοντα] οἱ γὰρ πολλοὶ τὸ ἀγαθὸν ἐκ τοῖς πρακτοῖς τίθενται μόνοις· καὶ διὰ τοῦτο εἶπεν οὕτω πρὸς τὰ μέλλοντα.

187. *Ψευδῆ φαμὲν*] τρία ἐπιχειρήματα κατὰ τῆς ψευδοδοξίας ἐκτίθεται· εἶτα προβὰς τῷ λόγῳ καὶ ἐπικρίνων λέγει ὅτι τὸ μὲν πρῶτον καὶ τὸ τρίτον δεῖταί τινος λύσεως, τὸ δὲ δεύτερον ἀποδέχεται, διότι μὴ ὂν ἐλάμβανε τὸ μηδαμῶς ὄν.

188. *Μεταξὺ*] ὁδοὶ γάρ εἰσι μεταξὺ τοῦ τε εἰδέναι καὶ μὴ εἰδέναι. Χ. *Χαίρειν λέγω*] ἀντὶ τοῦ ἀφίημι. Χ. *Οὐκ ἀπὸ τῶν γνώσεων, φησί, καὶ τῶν γινωσκόντων, ἀλλ' ἀπὸ τῶν γνωστῶν.* *Μὴ ἁπλοῦν ᾖ*] ὁμολογεῖται παρὰ πᾶσι, φησίν, ὅτι ὁ ψευδῆ δοξάζων τὰ μὴ ὄντα δοξάζει. *Κἂν ὁπωσοῦν*] κἂν ᾖ, φησίν, ἐπιστημονικώτατος. *Περὶ τῶν ὄντων του*] οἷον εἰ λέγοι τις πρὸς ἡμᾶς ἀπορῶν, ἆρα ψευδοδοξῶν περί τινος τῶν ὄντων ψευδοδοξήσει, οἷον ἵππον οἰόμενος τὸν ἵππον μὴ εἶναι, ἢ αὐτὸ τὸ μὴ ὂν λέγων, ὅτι ἔστι τὸ μὴ ὂν ἢ οὐκ ἔστιν.

189. *Ἕτερον δὲ ἀνθ' ἑτέρου*] τὸ καθ' ἑτερότητα μὴ ὂν λέγει. *Μάτην θαῤῥήσῃς*] ὡς εἰ ἔλεγεν, οὐκ εἰσὶ τὰ τοιαῦτα ἁμαρτήματα μεγάλα.

191. *Τῶν ἄλλων*] τῶν ἐνισταμένων κατὰ τῆς ψευδοδοξίας. *Γελοίου*] γελοῖόν ἐστι τὸ αἰσχρὸν μετὰ ἀσθενείας, αἰσχρὸν δὲ τὸ τὰ ψευδῆ ὁμολογεῖν, ἀσθένεια δὲ τὸ μὴ δύνασθαι τὰ σοφίσματα λύειν. *Ναυτιῶντες*] διὰ τὸν τῆς ψυχῆς ἐν τῇ γενέσει κλύδωνα. *Ἐγὼ γινώσκων*] ἡ συμπλοκὴ τῆς αἰσθήσεως καὶ τῆς δόξης ἔλυσε τὸ ἄπορον. *Οἷον λέγεις*] τὸ ὁμολογεῖν εἶναι ψευδοδοξίαν. *Μὴ οὕτω τιθῶμεν*, φησίν, ὡς ἔμπροσθεν, καὶ ἡμῖν συγχωρήσει τις εἶναι δυνατὸν ἃ οἶδέ τις δοξάσαι αὐτὰ ἅττα εἶναι ὧν οὐκ οἶδεν· ἴσως δὲ ἀντιτενεῖ. καὶ γὰρ τοῦτο προσέθηκεν, εἰδὼς ὅτι κἂν ἐν μίξει τοῦ εἰδέναι πρὸς τὸ αἰσθάνεσθαι δείξωμεν ψευδῆ δόξαν ἐνοῦσαν, οὐχ ἕξομέν τι λέγειν πρὸς τὸν ἀποροῦντα περὶ τούτων, ἐπειδὰν ἡμᾶς ἐρωτᾷ περὶ τῶν ἔξω τῆς αἰσθήσεως, εἰ δυνατὸν συστῆναι ψευδοδοξίαν, οἷον ἐπὶ τῶν παρὰ τοῖς γεωμέτραις καλουμένων ψευδαριθμῶν. οὐ γὰρ διὰ μίξιν αἰσθήσεως ψευδογραφοῦσιν.

194. *Τὸ λάσιον* ὁ φιλόσοφος ἀντὶ τοῦ τραχὺ ἀκούει. τὸ δὲ πάσσοφος εἰωθυῖα τοῦ Σωκράτους εἰρωνεία· τὸ γὰρ λάσιον καὶ τραχὺ οὐκ ἔστιν ἐπαινετόν, ὥστε σκώπτει τὸν ἐπαινέσαντα Ὅμηρον.

195. *Ἀδολέσχης*] ὁ δυσαπάλλακτος ἀφ' ἑκάστου λόγου. *Ὃν διανοούμεθα*] τὸ νοητὸν παράδειγμα, τὴν ἰδέαν.

196. *Ἀμφότερά γε κινδυνεύει*] τὸ τὴν ἀντίφασιν συντρέχειν. *Τολμητέον*] τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. *Τόλμα τοίνυν*] διὰ τοὺς ἀντιλογικούς.

200. *Δείξειν αὐτὸ*] ἐπὶ τῶν ἐκ τῆς πείρας γινωσκομένων. κατιόντων γάρ τινων εἰς ποταμὸν πρὸς τὸ διαπεράσαι, ἤρετό τις τὸν προηγούμενον εἰ βάθος ἔχει τὸ ὕδωρ· ὁ δὲ ἔφη "αὐτὸ δείξει."

201. *Τί μήν*] καταφατικόν ἐστιν, ἐν ἴσῳ τῷ οἶομαι.

209. *Μυσῶν ἔσχατος*, ἐπὶ τῶν εὐτελεστάτων. Μάγνης Ποαστρίᾳ[1]

οὐκ ἔστιν οὐδείς, οὐδ' ὁ Μυσῶν ἔσχατος,

καὶ Μένανδρος Ἀνδρογύνῳ

Μυσῶν ἔσχατος πολέμιος.

[1] ποαστρίαις Siebenk.

Ὑπέρου περιτροπὴ ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων, ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσι καὶ ἐνταῦθα Πλάτων.

IN MENONEM.

70. Θετταλία χώρα τις ὑπὸ τὴν Μακεδονίας ἐπαρχίαν. οἱ δ' ἀπ' αὐτῆς Θετταλοί. Λάρισσα πόλις Θετταλίας. Ἀλευάδαι οἱ ἐν Λαρίσσῃ τῆς Θετταλίας εὐγενέστατοι, ἀπὸ Ἀλεύου βασιλέως τὸ γένος ἔχοντες.

79. Περὶ τοῦ σχήματος] ἐλέγετο γὰρ ὅτι σχῆμά ἐστιν ὃ ἀεὶ χρόᾳ ἕπεται. αὕτη δὲ ἀγνοεῖσθαι ὑπέκειτο.

80. Ὡς γόης ἀπαχθείης] ὡς κακοῦργος παραδοθείης εἰς τὸ δεσμωτήριον.

82. Γιγνώσκεις τετράγωνον] σημείωσαι τὸν παρὰ τῷ Μένωνι λόγον, οὗ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης μνημονεύει ἐν τῇ λογικῇ πραγματείᾳ.

83. Μὴ ταύτῃ μὲν] οὕτω γὰρ ἐτερόμηκες εἴη. Διπλάσιον] τοῦ τετράποδος. Ἥμισυ] τοῦ ἑξκαιδεκάτου. Ἥμισυ ταύτης] τῆς δίποδος δηλονότι. ἔστι δ' ἕν, ὃ σὺν αὐτῇ τῇ δίποδι ληφθὲν τὴν τρίποδα ποιεῖ, κατά τε μῆκος καὶ πλάτος.

84. Ὠιετό] λέγων εἶναι τὴν διπλασίαν τῆς δίποδος.

91. Ἡράκλεις] ἐπίφθεγμα θαυμαστικόν.

93. Ἐδιδάξατο καὶ ἐπαιδεύσατο δι' ἑτέρου τὸν υἱόν· αὐτὸς μέντοι Θεμιστοκλῆς δι' ἑαυτοῦ οὐδὲν τούτων.

97. Δεδεμένα ᾖ] τῶν πάλαι δημιουργῶν πλαττόντων τὰ ζῶα συμμεμυκότας ἔχοντα τοὺς ὀφθαλμοὺς καὶ οὐ διεστηκότας τοὺς πόδας, ἀλλ' ἑστῶτα σύμποδα, Δαίδαλος ἄριστος ἀγαλματοποιὸς ἐπιγεγονὼς πρῶτος ἀναπετάννυσί τε τὰ τούτων βλέφαρα, ὡς δόξαι βλέπειν αὐτά, καὶ τοὺς πόδας, ὡς νομίσαι βαδίζειν, διΐστησι· καὶ διὰ τοῦτο δεδέσθαι, ἵνα μὴ φύγοιεν, ὡς δῆθεν ἐμψύχων ἤδη γεγονότων αὐτῶν. τοῖς δεδεμένοις οὖν τὰς ἀληθεῖς ἐοικέναι δόξας φησί, τοῖς λελυμένοις δὲ τούτων τὰς ψευδεῖς.

100. Οἷος πέπνυται] ἐν τῇ κ' τῆς Ὀδυσσείας φησὶν Ὅμηρος περὶ Τειρεσίου

> μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι,
> τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια,
> οἴῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

IN EUTHYDEMUM.

271. Σκληφρὸς ὁ τῷ μὲν χρόνῳ πρεσβύτερος, τῇ δὲ ὄψει νεώτερος δοκῶν. προφερὴς δὲ ὁ τῷ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει πρεσβύτερος.

278. Σχολύθρια] ταπεινὰ διφρία. ἔνιοι δὲ ὑποπόδια.

285. *Τῇ Μηδείᾳ*] αὕτη γὰρ συνεβούλευσεν, ἀπὸ Κόλχων μετὰ Ἰάσονος εἰς Ἰωλκὸν ἐλθοῦσα, ταῖς Πελίου θυγατράσιν ἵνα, εἰ τοῦτον βούλοιντο νέον γενέσθαι, ἑψηθῇ.

291. Κόρυδοι ὄρνιθες ὄρτυξιν ὅμοιοι, οὓς ἔνιοι μὲν κορυδάλλους φασί, Γῆς καὶ Ἀθηνᾶς ἱεροί.

292. Διὸς Κόρινθος ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων. τῶν γὰρ Κορινθίων βαρέα τοῖς Μεγαρεῦσιν ἀποίκοις οὖσιν ἐπιταττόντων τὸ μὲν πρῶτον ὑπήκουον· ὡς δὲ ὕβρεως οὐδὲν ἀπελίμπανον οἱ Κορίνθιοι, ἐλπίσαντες οἱ Μεγαρεῖς οὐδὲν ἂν παθεῖν ἀποστάντες, παραχρῆμα τῶν Κορινθίων ἀφίστανται. πέμπουσιν οὖν πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ παρελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῄεσαν, καὶ τέλος ὅτι δικαίως ἂν στενάξειεν ὁ Διὸς Κόρινθος ἐπὶ τοῖς γιγνομένοις, εἰ μὴ λήψονται δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τούς τε πρέσβεις παραχρῆμα λίθοις ἔβαλον, καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποχωρούντων, ἐφεπόμενοι καὶ κτείνοντες ἅμα παίειν ἀλλήλοις τὸν Διὸς Κόρινθον ἐκέλευον. μέμνηται δὲ ταύτης Ἀριστοφάνης ἐν τοῖς Βατράχοις, λέγων

ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν,

καὶ ἐν Ταγηνισταῖς, καὶ Ἔφορος ἐν πρώτῃ ἱστοριῶν, καὶ Πλάτων Εὐθυδήμῳ. ἄλλοι δὲ ἐπὶ τῶν ἐπ' οὐδενὶ τέλει ἀπειλούντων φασὶν εἰρῆσθαι τὴν παροιμίαν· Μεγαρεῦσι γὰρ ὡρμημένοις ἀφίστασθαι ἐπιλέγειν τὸν Κορίνθιον "οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος." μέμνηται ταύτης καὶ Πίνδαρος.

293. *Καλὰ δὴ πάντα λέγεις*] ἀντὶ τοῦ ἀγγέλλεις, ἐπὶ τῶν αἴσια ἀγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς καὶ Πλάτων Εὐθυδήμῳ.

298. *Λίνον λίνῳ συνάπτεις*, παροιμία ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως "οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί," καὶ Στράττις Ποταμοῖς καὶ Πλάτων Εὐθυδήμῳ.

301. *Ἔγρυξα*] ἔκραξα, ἢ ἐφθεγξάμην, ὡς νῦν.

302. *Ἀπόλλων πατρῷος*] φασί τινες Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τούτῳ γονέας ἔχειν Γῆν καὶ Ἥλιον, ὃς ὁ αὐτός ἐστιν Ἀπόλλωνι. οἱ δέ, ὅτι Κρεούσῃ τῇ Ἐρεχθέως μιγεὶς Ἀπόλλων Ἴωνα ἐγέννησεν, ἀφ' οὗ καὶ τοὺς Ἀθηναίους ποτὲ Ἴωνας κληθῆναι, καὶ διὰ ταῦτα πατρῷον αὐτοὺς Ἀπόλλωνα ἔχειν. *Ἕρκιος*] ἕρκη τοὺς οἴκους Ἀθηναῖοί φασιν· ἐκ τούτου δὲ καὶ Ζεὺς Ἕρκιος παρ' αὐτοῖς, ὃν ἵδρυον ἐν τούτοις φυλακῆς χάριν. φρατρία δέ ἐστι τὸ τρίτον μέρος ἑκάστης φυλῆς, καὶ Ἀθηνᾶ φρατρία ἡ τούτου ἔφορος.

303. Τὸ νῦν βόμβαξ λεγόμενον πύπαξ ἔλεγον, ὡς καὶ Λυκόφρων ᾠήθη. οὐκ ἔστι δέ· τὸ μὲν γὰρ πύπαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου, τὸ δὲ βόμβαξ οὐκέτι.

305. *Κολούεσθαι*] ἐλαττοῦσθαι, ἐμποδίζεσθαι.

IN CRATYLUM.

384. *Χαλεπὰ τὰ καλὰ*] παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα. φησὶ δὲ αὐτὴν Δίδυμος ὑπὸ Σόλωνος ἀναφωνηθῆναι ἐπὶ Πιττακῷ ἱκετεύοντι τὴν ἀρχὴν ἀποθέσθαι, καὶ φάντι χαλεπὸν ἐσθλὸν φῦναι, διὰ τὸ τὸν Περίανδρον εἰς ὠμότητα μεταβαλεῖν. ὅθεν, οἶμαι, φησὶ καὶ Μένανδρος

ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
ἀγαθὰ τὰ λίαν ἀγαθά.

μέμνηται δὲ αὐτῆς καὶ Ἐπίχαρμος καὶ Πλάτων Πολιτείᾳ καὶ Κρατύλῳ.

395. *Ἀτηρὰ*] ἀκόλαστα, ὑβριστικά, χαλεπά, κακά, βλαβερά. *Ταλάντατον*] ἀτυχέστατον. *Ἀποδιοπομπεῖσθαί* φασι τὸ ἀποτρέπεσθαι τὸν προστρόπαιον Δία καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά.

399. *Κομψῶς*] καλῶς, μετρίως.

402. *Ὤπυιεν*] ὡμίλει, συνεγίνετο κατὰ νόμον καὶ ἐμίγνυτο, συνῴκει.

407. *Ἄρρατον*] ἀσφαλὲς ἢ ἀκάματον, οἱ δὲ ἰσχυρόν, ἔνιοι μικρόν, οἱ δὲ μέγα, οἱ δὲ τὸ σκληρὸν καὶ ἀμετάστροφον.

412. *Ἐσύθη*] ἀπεφέρετο, ἀπηνέχθη.

413. *Παροιμία*, ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς, ὅμοιον τῷ ὑπερβάθμιον πόδα τείνεις.

421. *Ἀγὼν πρόφασιν οὐκ ἀναμένει*, ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς Πλάτων ἐνταῦθα οὕτως "οὐ μέντοι μοι δοκεῖ προφάσεις ἀγὼν δέχεσθαι," καὶ ἐν Νόμων ἕκτῳ "ἀλλὰ γὰρ ἀγῶνα προφάσεις φασὶν οὐ πάνυ δέχεσθαι." Αἰσχύλος δέ φησι Γλαύκῳ Ποτνιεῖ

ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους·

καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄.

423. *Δεινοὶ*] ἱκανοί, ἢ δέους ἄξιοι, ὡς νῦν.

428. *Θαμὰ*] πυκνῶς, συχνῶς.

IN SOPHISTAM.

216. Ὅτι σοφιστὴν καλεῖ ὁ Πλάτων καὶ τὸν Ἔρωτα καὶ τὸν Ἅιδην καὶ τὸν Δία, καὶ παγκάλην λέγει εἶναι τὴν σοφιστικὴν τέχνην· ὅθεν ὑπονοοῦμεν ὅτι γλαφυρωτέρου σκοποῦ ἔχεται ὁ διάλογος. ἔστι γὰρ κατὰ τὸν μέγαν Ἰάμβλιχον σκοπὸς νῦν περὶ τοῦ ὑπὸ σελήνην δημιουργοῦ. οὗτος γὰρ καὶ εἰδωλοποιὸς καὶ καθαρτὴς ψυχῶν, ἐναντίων λόγων ἀεὶ χωρίζων, μεταβλητικός, καὶ νέων πλουσίων ἔμμισθος θηρευτής, ψυχὰς ὑποδεχόμενος πλήρεις λόγων ἄνωθεν ἰούσας, καὶ μισθὸν λαμβάνων παρ᾽ αὐτῶν τὴν ζωοποιίαν τὴν κατὰ λόγον τῶν θνητῶν. οὗτος ἐνδέδεται τῷ μὴ ὄντι, τὰ ἔνυλα δημιουργῶν, καὶ τὸ ὡς ἀληθῶς ψεῦδος ἀσπαζόμενος, τὴν ὕλην· βλέπει δὲ εἰς τὸ ὄντως ὄν. οὗτός ἐστιν ὁ πολυκέφαλος, πολλὰς οὐσίας καὶ ζωὰς προβεβλημένος, δι᾽ ὧν κατασκευάζει τὴν ποι-

κιλίαν τῆς γενέσεως. ὁ δ' αὐτὸς καὶ γόης, ὡς θέλγων τὰς ψυχὰς τοῖς φυσικοῖς λόγοις, ὡς δυσαποσπάστως ἔχειν ἀπὸ τῆς γενέσεως· καὶ γὰρ ὁ ἔρως γόης, καὶ ἡ φύσις ὑπό τινων μάγος κέκληται διὰ τὰς συμπαθείας καὶ ἀντιπαθείας τῶν φύσει. νῦν οὖν τὸν παντοδαπὸν σοφιστὴν βούλεται διδάσκειν. καὶ γὰρ καὶ ὁ φιλόσοφος σοφιστὴς ὡς μιμούμενος τόν τε οὐράνιον δημιουργὸν καὶ τὸν γενεσιουργόν. καὶ ἡ διαιρετικὴ μιμεῖται τὴν ἀπὸ τοῦ ἑνὸς τῶν ὄντων πρόοδον, καὶ ὁ γενεσιουργὸς τὸν οὐράνιον δημιουργόν· διὸ καὶ σοφιστής. καὶ αὐτὸς δὲ ὁ σοφιστὴς ἄνθρωπος ὢν διὰ τὸ τὰ μεγάλα μιμεῖσθαι σοφιστὴς καλεῖται· ὅθεν καὶ τὸν σοφιστὴν πολυκέφαλον εἴρηκεν. ὁ δὲ ξένος εἰς τύπον τοῦ πατρὸς τῶν δημιουργῶν νοείσθω ὑπερουράνιος καὶ ἐξῃρημένος, οἱ δὲ ἀκροαταὶ εἰς τὰς δημιουργικὰς νοήσεις, ὁ μὲν εἰς τὴν τοῦ Διός, ὁ δὲ εἰς τὴν ἀγγελικὴν ὡς Ἑρμαϊκὸς καὶ γεωμετρικός. καὶ ἐπεὶ ἡ δημιουργία ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον, διὰ τοῦτο πρῶτον ὁ ξένος τῷ Θεοδώρῳ συγγίνεται, εἶτα δι' ἐπιστροφῆς τῷ δίῳ Σωκράτει. Ἐλέα πόλις Ἰταλίας. Ⅹ: αὕτη ἡ Ἐλέα οὐχ ὥς τινες ὑπέλαβον τῆς Ἰωνίας ἐστὶν ἀλλὰ τῆς Ἰταλίας, εἴ τι δεῖ Στράβωνι πείθεσθαι τῷ γεωγράφῳ· κεῖται δὲ ἐν τῷ ἐχομένῳ κόλπῳ τοῦ Ποσειδωνιάτου κόλπου, ἧς οἱ Οἰνοτρίδες προβέβληνται νῆσοι. Τὸ μὲν Ὁμηρικὸν ἔχει "καί τε θεοὶ ξείνοισιν ἐοικότες" καὶ τὰ ἑξῆς. ὁ δὲ Σωκράτης νῦν, συμφωνῶν ἑαυτῷ ἐν τῇ Πολιτείᾳ, πραότερον ἐπιῤῥαπίζει τὸν τοῦ Ὁμήρου λόγον διὰ τοῦ συνοπαδὸν γινόμενον. τὸ γὰρ μεταμορφοῦσθαι θεὸν ὡς ἀπατηλὸν ἐκβάλλει τῆς ἑαυτοῦ πολιτείας Πλάτων.

220. Ἄττα] τοῦτο ψιλούμενον μέν τινά σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ τῆς παραπρεσβείας "ὁ δὲ πρεσβεύων Αἰσχίνης οὑτοσὶ ἐλθὼν πῶς μὲν καὶ ἄττα ποτὲ διελέχθη;" ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν τῷ Χείρωνι Φερεκράτης "τοῖς δέκα ταλάντοις ἄλλα προστιθείς, ἔφη ἄττα πεντήκοντα·" οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Ἀριστοφάνης Νεφέλαις

ὅστις σκαλαθυρμάτι'[1] ἄττα μικρὰ μανθάνων.

Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι·

πυθοῦ χελιδὼν κᾆποθ' ἅττα φαίνεται,

καὶ πάλιν

ὁπηνίκ' ἅτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.

241. Τυφλῷ] καὶ τυφλῷ δῆλον, ἐπὶ τῶν ἄγαν σαφεστάτων. μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι καὶ Ῥαπιζομένῃ, καὶ Ἀριστοφάνης Πλούτῳ.

243. Ἦν] ἀντὶ τοῦ ἤμην, Ἀττικῶς. Κατὰ πόδα] παρ' αὐτά, κατὰ τάξιν.

247. Τί μήν;] κατάφασιν δηλοῖ ἀντὶ τοῦ πῶς γὰρ οὔ; διὰ τί γὰρ οὔ;

252. Παροιμία ἐπὶ τῶν ἑαυτοῖς τινὰ κακὰ μαντευομένων, λεγομένη ἐξ Εὐρυκλέους ἐγγαστριμύθου μάντεως, ἀφ' οὗ καὶ γένος τι μάντεων Εὐρυκλεῖς ἔλεγον. ἐγγαστρίμυθος δέ ἐστιν ὁ ἐν γαστρὶ μαντευόμενος. τοῦτον καὶ ἐγγαστρίμαντιν, νῦν τινὲς Πύθωνά φασι, Σοφοκλῆς δὲ στερνόμαντιν. καὶ Ἀριστοφάνης ἐν Σφηξί

[1] καλ' ἀθύρματ' B, καλ' ἀθυρμάτι' Marcianus Siebenk.

μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν. Φιλόχορος δὲ ἐν τρίτῳ καὶ γυναῖκας ἐγγαστριμύθους φησίν. Ἄλλως. ἐπὶ τῶν ἑαυτοῖς κακὰ μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. οὗτος δὲ προειπών τινί ποτε τὰ μὴ καθ' ἡδονὴν κακῶς ἀπήλλαξεν. ἄτοπον δὲ τὸν μὴ ἑδραῖον ἀλλ' ἀεὶ ἐκτοπίζοντα λέγει.

259. Ἀμηγέπη] ὁπωσδήποτε, καθ' ὁτιοῦν. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἀμουγέπου, καὶ ἀμοιγέποι, καὶ ἀμόσεποι.

IN POLITICUM.

257. Εἶεν] ἄγε δή· ἢ συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα· ἢ ἀναφώνημα ὅμοιον τοῦ ἀλλά. Τὸν μέν] τὸν Θεαίτητον. Τοῦ δ'] τοῦ νέου Σωκράτους.

260. Ὅτι αὐτοπώλης πᾶς ὁ τὸ ἴδιον ἐργόχειρον ἢ οἶνον ἢ σῖτον ἐξ οἰκείου γεωργίου πιπράσκων. ὁ δὲ παρὰ τούτων ἀγοράζων ἤτοι ὠνούμενος καὶ πιπράσκων ἄλλοις κάπηλος λέγεται. Χ.

265. Νεαλὴς ὁ πρόσφατος. κυρίως δὲ ἐπὶ τῶν ἁλσὶ παττομένων ἡ λέξις. ἔστι δὲ καὶ ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς, καὶ δὴ καὶ ὁ νεωστὶ ἁλισθείς.

280. Πιλητικὴν] τὴν ἐξ ἐρίων πίλησιν.

285. Κομψὸς τωθαστής, γελοιαστής, σκωπτικός, ἢ καλός, ἢ μέτριος. Ἤ που] ἴσως, σχεδόν. τὸ δὲ ἤ πού γε, πολλῷ πλέον.

298. Τρίγωνοι πίνακες οἱ κύρβεις, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ πολιτικοί· ἄξονες δὲ τετράγωνοι, ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν. τινὲς δὲ ἀδιάφορα ταῦτα φασίν.

307. Βλακικὰ] εὐήθη, μωρά, ἀνόητα, ἀπὸ ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου, τῆς Βλακείας.

310. Εὐήτριον] ἱμάτιον εὐυφές. ἤτριον δὲ ἔνδυμα ὑμενῶδες.

IN CONVIVIUM.

172. Φάληρον δῆμος Αἰαντίδος, ἐξ οὗ Ἀπολλόδωρος. Ἀγάθωνος] . . . τραγῳδι . . . ἐπὶ μαλακίᾳ . . . τάδῃ. ἦν δ' οὗτος . . . παῖς, Ἀθηναῖος . . . παιδικὰ Παυσανίου τοῦ τραγικοῦ, καὶ πρὸς Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος. Χ.

173. Ἦ] Ἀττικὸν τοῦτο, ἀπὸ τοῦ ἔα συνῃρημένον. σημαίνει δὲ τὸ ἔα τὸ ὑπῆρχον· ἔστι γὰρ ἀπὸ τοῦ ἦν κατὰ διάλυσιν Ἰωνικήν. Ὅμηρος· ἢ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει. Κυδαθήναιον δῆμος ἐν ἄστει τῆς Πανδιονίδος φυλῆς· καλεῖται δὲ καὶ Κύδαθον. ἐξ οὗ Ἀριστόδημος.

174. *Βλαύτας*] ὑποδήματα. οἱ δὲ βλαυτία, σανδάλια ἰσχνά. *Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασι.* Ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε ἑστιῶντο τῷ Κήϋκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ μεταλλάξας αὐτὴν γράφει οὕτως·

οἱδ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς
λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι
κομψῶν ἐπὶ δαῖτα θεατῶν.

καὶ Εὔπολις ἐν Χρυσῷ γένει.

176. *Ῥᾷστα*] τὸ ἥδιστα ἐνταῦθα σημαίνει. Μυῤῥινοῦς δῆμος Αἰγηΐδος, ἀφ' ἧς ὁ Φαῖδρος.

177. *Παιᾶνας*] ἢ τοὺς λεγομένους παιᾶνας, ὕμνους εἰς Ἀπόλλωνα ἐπὶ καταπαύσει λοιμοῦ. ἢ Παιήονα τὸν τῶν θεῶν ἰατρόν. ἢ παιᾶνας, ὡς νῦν, ᾠδὰς ἐπὶ εὐτυχίᾳ καὶ νίκῃ, διὰ τοῦ ω, ἐξ οὗ καὶ παιωνίζειν.

179. Ἡ περὶ τῆς Ἀλκήστιδος ὑπόθεσις τοιαύτη τίς ἐστιν. Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾷν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπένθει. Ἄλλως. Ἄλκηστις ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

183. Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος, λέγων

ἐκ τοῦδ' ὅρκον ἔθηκεν ἀμείνονα ἀνθρώποισι
νοσφιδίων ἔργων περὶ Κύπριδος,

καὶ Πλάτων ἐν Συμποσίῳ.

184. *Βασανίζειν*] δοκιμάζειν, διακρίνειν. μετενήνεκται δὲ ἀπὸ τῆς Λυδῆς λίθου, δι' ἧς ὁ χρυσὸς βασανίζεται, τουτέστι δοκιμάζεται.

185. *Ἐκ τοῦ παραχρῆμα*] ἐκ τοῦ αὐτομάτου, ἐκ τοῦ προχείρου. Τὸ τοῦ λυγμοῦ σύμπτωμα ἐπιγίνεται τῷ στομάχῳ διὰ πλήρωσιν ἢ κένωσιν ἢ ψύξιν, ἐνίοτε δὲ καὶ διὰ δῆξιν δριμέων ὑγρῶν καὶ φαρμακωδῶν ταῖς ποιότησιν· οὓς ἐὰν ἐμῶσιν, αὐτίκα παύονται λύζοντες. πολλοὶ καὶ τὸ διὰ τριῶν πεπερῶν πιόντες ἢ αὐτὸ τὸ πέπερι, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, αὐτίκα λύζουσι. καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζουσιν ἔνιοι. καὶ ῥιγώσαντες δὲ τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι· καὶ μάλιστά γε τοῖς παισὶ συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει καὶ τῇ τῆς τροφῆς διαφθορᾷ. γίνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς, καὶ μάλιστα φλεγμαίνοντος στομάχου ἢ ἑτέρου σπλάγχνου. ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ ἐπιτίθει τῷ

στομάχῳ ἐν ἐρίῳ ἔλαιον, ἐν ᾧ ἡψῶμεν κύμινον, πήγανον, ἀψίνθιον· δίδου δὲ ποτὸν πήγανον μετ' οἴνου ἢ σεύτλου ἡψημένου μελικράτῳ. καλὸν δὲ καὶ τὸ σκιλλητικὸν ὄξος καταῤῥοφούμενον. τὸ δὲ καστόρειον καὶ τοῖς διὰ ψύξιν λύζουσι τελείοις δίδου, καὶ τοῖς ἐπὶ πλήθει χυμῶν τοῦτο πάσχουσι, δι' ὀξυκράτου κεράτια ιη. ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γίνηται, ἔμετος τούτοις ἴαμα καὶ τῶν ἄκρων τρῖψις καὶ πνεύματος κατοχή. Ἀνακογχυλιάσαι τὸ κλύσαι τὴν φάρυγγα, ὃ λέγομεν ἀναγαργαρίσαι. Οὐκ ἂν φθάνοις] ἐπὶ τῶν εἰς πέρας ἀγόντων ἀξίωσίν τινος, μήπω πέρας ἐπιθέντος αὐτῇ.

186. Ὡς ἔπος εἰπεῖν] ὡς φαίνεται, ὡς ἐν λόγῳ εἰπεῖν. τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος εἰπεῖν, καὶ ὡς ἔπος φάναι, καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν· σημαίνει δὲ τὸ αὐτό. οἱ δέ φασιν ἀντὶ τοῦ ὡς φαίνεται κεῖσθαι, ἢ ἀντὶ τοῦ ὡς ἐν λόγῳ εἰπεῖν. Πρεσβεύωμεν] προτιμῶμεν, μεγαλύνωμεν.

190. Κυβιστὴρ ὁ ὀρχηστής, καὶ κυβιστᾶν τὸ ὀρχεῖσθαι. Ἀσκωλιάζειν κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι ἀληλιμμένους, ἐφ' οὓς ἐπήδων γελοίου ἕνεκα· τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἀλλομένων. ἤδη δὲ τιθέασι καὶ ἐπὶ τοῦ ἅλλεσθαι τὸ νεῦρον (τὸν ἕτερον ?) τῶν ποδῶν ἀνέχοντα, ἢ ὡς νῦν, ἐπὶ σκέλους ἑνὸς βαίνοντα. ἔστι δὲ καὶ τὸ χωλαίνειν.

191. Ἰχθύδιόν τι τῶν πλατέων ἡ ψῆττα, ἐκ δύο δερμάτων συγκεῖσθαι τὴν ἰδέαν δοκοῦν, ὅ τινες σανδάλιον καλοῦσιν, οἱ δὲ βούγλωσσον, κακῶς δέ· ἄλλα γάρ ἐστι ταῦτα.

193. Λίσπαι] αἱ λεῖαι καὶ ἐκτετριμμέναι καὶ ἄπυγοι λίαν, καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. οἵ τε Ἀθηναῖοι λίσποι καλοῦνται τῷ ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας αὐτοὺς ἀπογλούτους εἶναι.

194. Ὀκρίβαντα] τὸ λογεῖον ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ κιλλίβαντα τρισκελῆ φασίν, ἐφ' οὗ ἵστανται οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν.

195. Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον
ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου λαβοῦσα τὴν ἀρχήν. μέμνηται δὲ αὐτῆς Πλάτων καὶ ἐν Λύσιδι καὶ ἐν Συμποσίῳ, καὶ Μένανδρος Σικυωνίᾳ. Πίλναται] προσπελάζει, προσεγγίζει.

198. Ἀδεὲς δέος, ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. ὅμοιον τούτῳ καὶ τὸ ψοφοδεὴς ἄνθρωπος.

203. Ἴτης] ἵστωρ, ἐπιστήμων, ὡς ἐνταῦθα. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰταμοῦ καὶ θρασέος.

205. Τὸ τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως καὶ τάγματος καὶ δαπάνης, ἔνθεν ὁ πολυτελὴς καὶ εὐτελὴς καὶ ὁ συντελής καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια. λέγεται καὶ ἀντὶ ἀρχῆς· Θουκυδίδης "προσελθὼν δὲ τοῖς τέλεσιν," ὡς εἰ ἔφη τοῖς ἐν ἀρχῇ οὖσι. σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων. καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν χρέος τέλος καλεῖται.

206. Συσπειρᾶται] συστρέφεται. Σπαργῶντι] ὁρμῶντι, ὁρ-

γῶντι, ταραττομένῳ, ἢ ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μασθῶν πεπληρωμένων γάλακτος.

208. Κόδρος ἦν ἀπὸ Δευκαλίωνος, ὥς φησιν Ἑλλάνικος. γίνεται γὰρ Δευκαλίωνος μὲν καὶ Πύῤῥας, ὡς δὲ τινές, Διὸς καὶ Πύῤῥας, Ἕλλην· Ἕλληνος δὲ καὶ Ὀθρηΐδος Ξοῦθος, Αἴολος, Δῶρος, Ξενοπάτρα· Αἰόλου δὲ καὶ Ἴφιδος τῆς Πηνειοῦ Σαλμωνεύς, Σαλμωνέως δὲ καὶ Ἀλκιδίκης (Ἀλκιδόκης ΒΞ) Τυρώ, ἧς καὶ Ποσειδῶνος Νηλεύς, Νηλέως δὲ καὶ Χλωρίδος Περικλύμενος, Περικλυμένου δὲ καὶ Πεισιδίκης Βῶρος, Βώρου δὲ καὶ Λυσιδίκης Πένθιλος, Πενθίλου δὲ καὶ Ἀγχιρόης Ἀνδρόπομπος, Ἀνδροπόμπου δὲ καὶ Ἡνιόχης τῆς Ἀρμενίου τοῦ Ζευξίππου τοῦ Εὐμήλου τοῦ Ἀδμήτου Μέλανθος. οὗτος Ἡρακλειδῶν ἐπιόντων ἐκ Μεσσήνης εἰς Ἀθήνας ὑπεχώρησε, καὶ αὐτῷ γίνεται παῖς Κόδρος. χρόνῳ δὲ ὕστερον γενομένης τοῖς Βοιωτοῖς ἀμφισβητήσεως πρὸς Ἀθηναίους, ὡς μὲν τινές, περὶ Οἰνόης καὶ Πανάκτου, ὡς δὲ τινές, περὶ Μελαινῶν, καὶ τῶν Βοιωτῶν ἀξιούντων τοὺς βασιλέας προκινδυνεῦσαι περὶ τῆς χώρας εἰς μονομαχίαν καταστάντας, Ξάνθιος μὲν ὁ τῶν Βοιωτῶν βασιλεὺς ὑποδέχεται, Θυμοίτης δὲ ὁ τῶν Ἀθηναίων ἀρνεῖται, λέγων τῷ βουλομένῳ μονομαχεῖν τῆς ἀρχῆς παραχωρεῖν. Μέλανθος δὲ ὑποστὰς τὸν κίνδυνον ἐπὶ τῷ βασιλεῦσαι τῶν Ἀθηναίων αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ, ὁπλισάμενος προῄει, καὶ πλησίον τοῦ Ξανθίου γενόμενος εἶπεν "ἀδικεῖς, ὦ Ξάνθιε, σὺν ἑτέρῳ ἐπ' ἐμὲ ἥκων καὶ οὐ μόνος," ὡς ὡμολόγητο. Ξάνθιος δὲ ταῦτα ἀκούσας μετεστράφη, θεάσασθαι βουλόμενος εἴ τις αὐτῷ ἑπόμενος εἴη· καὶ μεταστραφέντα βαλὼν αὐτὸν ἀπέκτεινε, καὶ βασιλεὺς τῆς Ἀττικῆς ἐγένετο. ὅθεν τοῖς Ἀθηναίοις κρατήσασι τῆς χώρας ἔδοξεν ἑορτὴν ἄγειν, ἣν πάλαι μὲν Ἀπατηνόρια ὕστερον δὲ Ἀπατούρια ἐκάλουν ὡς ἀπὸ τῆς γενομένης ἀπάτης. Μελάνθου δὲ Κόδρος γενόμενος ἐκδέχεται τὴν βασιλείαν· ὃς καὶ ὑπὲρ τῆς πατρίδος ἀπέθανε τρόπῳ τοιῷδε. πολέμου τοῖς Δωριεῦσιν ὄντος πρὸς Ἀθηναίους, ἔχρησεν ὁ θεὸς τοῖς Δωριεῦσιν αἱρήσειν τὰς Ἀθήνας, εἰ Κόδρον τὸν βασιλέα μὴ φονεύσωσι. γνοὺς δὲ τοῦτο ὁ Κόδρος, στείλας ἑαυτὸν εὐτελεῖ σκευῇ ὡς ξυλιοτὴν καὶ δρέπανον λαβών, ἐπὶ τὸν χάρακα τῶν πολεμίων προῄει. δύο δὲ αὐτῷ ἀπαντησάντων πολεμίων τὸν μὲν ἕνα πατάξας κατέβαλεν, ὑπὸ δὲ τοῦ ἑτέρου ἀγνοηθεὶς ὅστις ἦν, πληγεὶς ἀπέθανε, καταλιπὼν τὴν ἀρχὴν Μέδοντι τῷ πρεσβυτέρῳ τῶν παίδων. ὁ δὲ νεώτερος αὐτοῦ παῖς Νηλεὺς τῆς δωδεκαπόλεως Ἰωνίας κτιστὴς ἐγένετο. ἀφ' οὗ φασὶν Ἀθηναίοις τὴν τῶν Κοδριδῶν εὐγένειαν εἰς παροιμίαν περιστῆναι· "εὐγενέστερος Κόδρου" ἐπὶ τῶν πάνυ εὐγενῶν.

211. Τὸ παιδεραστεῖν ἐπὶ τοῦ παιδείας ἐρᾷν ἀεὶ κεῖται παρὰ Πλάτωνι. Χ.

213. Ψυκτὴρ σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ.

214. Τρίτον μέρος ἡ κοτύλη τῆς χοίνικος.

215. Σιληνοὶ Διονύσου χορευταί, παρὰ τὸ σιλλαίνειν, ὅ ἐστι σκώπτειν, λεγόμενοι, παρὰ τοὺς πότους. Σάτυροι Διονύσου ὀπαδοὶ καὶ οὗτοι, οἳ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν ἀλουτοῦντες, τράγων σκέλη καὶ τρίχας

νομιζόμενοι ἔχειν παραδέδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι τῷ οἴνῳ, τουτέστι κεχηνέναι· φίλοινοι γάρ εἰσι. Μαρσύας δὲ αὐλητής, Ὀλύμπου υἱός, ὃς τοὺς αὐλοὺς Ἀθηνᾶς ῥιψάσης διὰ τὸ ἐνασχημονεῖν αὐτοῖς ἀνελόμενος ἤρισεν Ἀπόλλωνι περὶ μουσικῆς, καὶ ἡττήθη, καὶ ποινὴν δέδωκε τὸ δέρμα δαρείς· ἀφ' οὗπερ αἵματος ἔρρευσε ποταμὸς ὁ ἐξ αὐτοῦ ὕστερον Μαρσύας κληθείς. Κομιδῇ] κυρίως μὲν τὸ ἐπιμελῶς, ὅθεν καὶ ὀρεοκόμος καὶ γεροντοκόμος· ἰσοδυναμεῖ δὲ καὶ τῷ σφόδρα καὶ τελέως, κομιδῇ σμικρά - σφόδρα σμικρά. Κορυβαντιώντων] ἐνθουσιώντων, ἤ τινα ὄρχησιν ἐμμανῆ ὀρχουμένων, ἀπὸ τῶν Κορυβάντων, οἳ καὶ τροφεῖς καὶ φύλακες καὶ διδάσκαλοι τοῦ Διὸς εἶναι μυθολογοῦνται. τινὲς δὲ τοὺς αὐτοὺς τοῖς Κούρησιν εἶναι φασίν. εἶναι δὲ καὶ τῆς Ῥέας ὀπαδούς, ἀπὸ τῶν τοῦ Διὸς δακρύων γεγενημένους· ὧν ἀριθμὸν οἱ μὲν θ', οἱ δὲ ι' λέγουσιν.

216. Εἰρωνευόμενος] ὑποκρινόμενος, χλευάζων.

217. Ἕρμαιον τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσι. καὶ γὰρ ἐν ταῖς ὁδοῖς ἔθος ἦν ἱδρῦσθαι τὸν Ἑρμῆν, παρ' ὃ καὶ ἐνόδιος λέγεται. 𝔛. Ἤνυτον] ἤνυον, ἐτέλουν. Οἶνος καὶ ἀλήθεια, ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων. ἔστι δὲ ᾄσματος Ἀλκαίου ἀρχὴ

οἶνος, ὦ φίλε παῖ, καὶ ἀλήθεια.

καὶ Θεόκριτος. τινὲς δέ φασιν ὅτι πρὶν οἶνον εὑρεθῆναι ὕδωρ κατὰ τῶν ἱερῶν ἔσπενδον, καθάπερ νῦν τα νηφάλια, οἴνου δὲ φανέντος οὕτω θαυμάσαι τοὺς ἀνθρώπους καὶ θείαν ἡγήσασθαι τὴν φύσιν, ὡς καὶ τὰς συνθήκας παρὰ τὸν οἶνον γινομένας νομίσαι δεῖν εἶναι κυρίας, καὶ μὴ τολμᾷν παραβαίνειν, ἀλλὰ κατὰ πάντας τρόπους ἀφαιρεῖν τὸ ψεῦδος ἀπὸ τῶν παρὰ τὸν οἶνον συνθηκῶν. ὁμοία δὲ ταύτης καὶ αὕτη "τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῇ γλώσσῃ τοῦ μεθύοντος."

218. Ἐντεῦθεν παρῴδησε Καλλίμαχος ἐν ὕμνῳ Δήμητρος καλάθου τὸ θύρας δ' ἐπίθεσθε βέβηλοι. 𝔛.

219. Τρίβων ἐστὶ στολή τις ἔχουσα σημεῖα ὡς γραμμάτια. τριβώνιον δὲ ἱμάτιον παλαιὸν καὶ τετριμμένον. Καταδεδαρθηκώς] καθυπνωκώς.

220. Πῖλος ἱμάτιον ἐξ ἐρίου πιλήσεως γινόμενον, εἰς ὑετῶν καὶ χειμώνων ἄμυναν. ἀρνακίδες δὲ ἀρνῶν κώδια. Χαμεύνια] ταπεινὰ κλινίδια. Δήλιον χωρίον τῆς Βοιωτίας.

221. Προτροπάδην] προθύμως, ἀμεταστρεπτί, μετὰ προτροπῆς, ἢ εἰς τοὔμπροσθεν. Κανθηλίους] τοὺς βραδεῖς νοῆσαι ἢ ἀφυεῖς, ἀπὸ κάνθωνος, ὅς ἐστιν ὄνος, εἰρημένοι, ὃς πάλιν ἀπὸ τῶν κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ ἐπικάμπτων ξύλων, τουτέστι σαγμάτων, ὀνομάζεται οὕτως. Βυρσοδέψας] τοὺς τὰς βύρσας ἐργαζομένους καὶ μαλάττοντας.

222. Ῥεχθὲν δέ τε νήπιος ἔγνω

ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. Ἐπὶ τὸ αὐτὸ ἑτέρα παροιμία "ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει" (οἴσει *B* cum Sieb.). φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ

σκορπίου πληγῆναι· καὶ εἶπε "πληγεὶς νοῦν φύσεις" (οἴσεις B), καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ Σατυρικῷ, λέγων ἔτ' αὖ ὥσπερ ἁλιεὺς πληγεὶς ενων διδάσκαλος (B). Ἔστι καὶ τρίτη ὁμοία· "ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς." Ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου, μηκέτι προσιεμένου τοὺς κόλακας.

IN PHÆDONEM.

58. Θεωρίαν ἀπάξειν] ἀντὶ τοῦ θυσίαν ἀπενεγκεῖν. θεωροὶ δέ εἰσιν οἱ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο θεωρίδες κέλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα θεωρικά, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη θεωρίς, καὶ ὁ ἱερεὺς θεωρός.

59. Ἄτοπον τὸ θαυμαστόν, ὡς καὶ ἐν Θεαιτήτῳ φησὶν "οὐδέν γ' ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἦν·" ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. τάττεται δὲ καὶ ἐπὶ τοῦ ἀνυπόπτου· Εὔπολις Μαρικᾷ

καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κουρείοις ἐγὼ
ἀτόπως καθίζων, κοὐδὲ γινώσκειν δοκῶν.

καὶ τὸ ἀδόκητον καὶ ἀνυπονόητον. οἱ δὲ ἄλογον.

61. Καθῆκε τὰ σκέλη] συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον, ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι. Οὗτος ὁ Φιλόλαος Πυθαγόρειος ἦν, ἐξ Ἰταλίας πεφευγὼς διὰ τὸν ἐμπρησμὸν τὸν τότε ὑπὸ Γύλωνος γεγονότα διὰ τὸ ἀνεπιτήδειον αὐτὸν πρὸς φιλοσοφίαν ὄντα ἀπελαθῆναι τοῦ ὁμακοΐου. ὃς καὶ δι' αἰνιγμάτων, ἐδίδασκε, καθάπερ ἦν ἔθος αὐτοῖς. ἦλθεν οὖν οὗτος εἰς Θήβας, τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσων, ἐκεῖ τεθαμμένῳ. Ἵππαρχος δὲ καὶ Φιλόλαος μόνοι τῆς εἰρημένης συμφορᾶς τῶν Πυθαγορείων διεσώθησαν. πρὸς τὸν Λύσιν δὲ τοῦτον Πλάτων ποιεῖται τὸν διάλογον. Τὸ μὲν ἴσως διὰ τὸ μυθικὸν ἐπιχείρημα, τὸ δὲ μάλιστα διὰ τὸ φιλόσοφον. Μέχρις ἡλίου δυσμῶν] ὡς ζήσεσθαι μέλλων μέχρις ἡλίου δυσμῶν. ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο, καθὰ τοῖς Πυθαγορείοις τὸ ἐν μεσημβρίᾳ καθεύδειν, διὰ τὸ τὸν ἥλιον τότε μᾶλλον ἐνεργεῖν.

62. Τἄλλα] οἷον πλοῦτος, δόξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τἄλλα πάντα, θάνατος δὲ μόνως ἀγαθόν ἐστιν. Ἐπιγελάσας, Ἴττω Ζεὺς] ἐγέλασε, διότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ ἴττω ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίδι διαλέκτῳ· ὃ δείκνυσιν ὅτι φύσει τὸν Σωκράτην θαυμάζει. Ἐν ἀποῤῥήτοις] ἐντεῦθεν τὸ πρῶτον πρόβλημα, τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν. ἔπειτα δεύτερον διαλεκτικὸν καὶ φιλόσοφον.

64. Κινδυνεύουσιν] ἀντὶ τοῦ δι' ἀνάγκης καὶ ἀποδείξεως τοῦτο αὐτοῖς συνάγεται. Γελασείοντα] γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα. Θανατῶσι] θανάτου ἐπιθυμοῦσιν. Ἥκιστα] οὐδαμῶς. Καθ' ὅσον μὴ πολλὴ ἀνάγκη] τοῦτο ἐπεξηγηματικόν ἐστι τοῦ ἐν τοῖς ἐφεξῆς, τοῦ ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶ-

μεν, ὅ τι μὴ πᾶσα ἀνάγκη. τὸ γὰρ ὅτι ἴσον τῷ καθ' ὅσον. λείπει δ' ἐκεῖ τὸ κοινωνεῖν αὐτοῦ. ὅπερ δὴ νοεῖται καὶ συνυπακούεται.

65. Ἦ δ' ὅς] ἐὰν μὲν ᾖ δύο μέρη λόγου, ἔσται ἔφη δὲ ὅς, τουτέστιν ἔφη δὲ οὗτος· οἱ δὲ λέγουσιν ὅτι αὐτὸ μόνον σημαίνει· τὸ ἔφη. ἐὰν δὲ ᾖ ἓν μέρος λόγου, ἔσται φίλος, ὡς Ἀθηναῖοι, ἢ ὄφελος, ὡς Αἰγινῆται, ἢ ὄξος (ὄζος ΒΞ), ὡς Χαλκιδεῖς, ᾧ πρὸς τὰ ἱερὰ χρῶνται. τάττεται δὲ ἐπὶ παντὸς προσώπου καὶ ἀριθμοῦ, ὡς τὸ ὦ τάν.

67. Διαβέβληνται] ἀντὶ τοῦ διαβεβλημένως ἔχουσι πρὸς τὸ σῶμα.

72. Ὁμοῦ πάντα] ὁμοῦ σημαίνει ποτὲ μὲν τὸ ἐγγύς, ὡς δηλοῖ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας "καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι ἀπὸ Σόλωνος· ὁ δ' ἐστιν ὁμοῦ σ' ἔτη καὶ μ'." καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος "εἰσὶν ὁμοῦ πάντες δισμύριοι Ἀθηναῖοι." καὶ Μένανδρος ἐν τῷ ἑαυτὸν τιμωρουμένῳ

πρὸς τῆς Ἀθηνᾶς δαιμονᾷς[1] γεγονὼς ἔτη
τοσαῦθ'· ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι.

καὶ Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσα φησὶ

λάβεσθε· καὶ γάρ ἐσθ' ὁμοῦ.

δηλοῖ δὲ καὶ τὸ ἐν ταὐτῷ· Ὅμηρος

ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐφ' ὑμετέροισι δόμοισι,

καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους "οὐκοῦν εἰ μέν τι ἐάσομεν τούτων συμβάντων ἡμᾶς, οὐ καθαροῖς ὁμοῦ διατρίψομεν." ἔστι καὶ χρονικόν· Σοφοκλῆς Οἰδίποδι

πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

ἔχει καὶ δύναμιν συλλεκτικήν, ὡς παρὰ Μενάνδρῳ ἐν Ὑδρίᾳ· οἱ Θρᾷκες Λιβύτρωες καλοῦνται. πάντα νῦν ἤδη 'σθ' (ἠιδεισθ' Β) ὁμοῦ. ὅπερ δηλοῖ τὸ ἐν τῷ αὐτῷ.

86. Ὑπερδικεῖν] ἤγουν συνηγορεῖν. καὶ ὑπέρδικοι οἱ συνήγοροι. Θρᾶττον] ταράττον, ἐνοχλοῦν.

89. Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς] ταύτης τὴν αἰτίαν ὁ Δοῦρις οὕτως ἀφηγεῖται. Ἡρακλέα φησὶ βωμὸν δειμάμενον (εἱσάμενον apud Sieb.) ἐπὶ τῷ Ἀλφειῷ πυγμῆς ἀγῶνα θεῖναι, καὶ νικήσαντα, τὴν ἑξῆς Ὀλυμπιάδα πάλιν ἀγωνιζόμενον, ὑπὸ Ἐλάτου (ἐλαίου ΒΞ, ἐλείου Sieb.) καὶ Φεράνδρου πάλῃ ληφθῆναι, καὶ ἐξ ἐκείνου τὸ πρὸς δύο οὐδ' Ἡρακλῆς παροιμιασθῆναι. Ἐχεφυλλίδας δὲ αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου τῶν Μολιονιδῶν ἡττηθῆναι κατὰ τὴν ἐπ' Αὐγέαν στρατείαν· διωχθέντα δὲ ἄχρι τῆς Βουπρασίδος καὶ περιβλεψάμενον, ὡς οὐδεὶς ἐξίκετο τῶν πολεμίων, ἀναψύξαι τε, καὶ ἐκ τοῦ παραῤῥέοντος ποταμοῦ πιόντα προσαγορεῦσαι τοῦτο ἡδὺ ὕδωρ· ὃ νῦν δείκνυται ἰόντων ἐκ Δύμης εἰς Ἦλιν, καλούμενον ὑπὸ τῶν ἐγχωρίων βαδὺ (σαδὺ Β) ὕδωρ. τὰ δὲ αὐτὰ καὶ Φερεκύδης καὶ Κώμαρχος καὶ Ἴστρος ἐν τοῖς Ἠλιακοῖς ἱστοροῦσι. καὶ διὰ τοῦτο θεωροὺς τοὺς Μολιονίδας ἰόντας εἰς Κόρινθον λοχήσαντα τὸν Ἡρακλέα περὶ

[1] δαιμονᾷς] libri δαίμων δύο. correxit Porsonus Miscell. p. 250.

Κλεωνὰς ἀποκτεῖναι· ὅθεν Ἠλείοις ἀπώμοτον εἶναι τὰ Ἴσθμια ἀγωνίζεσθαι, ὅτι θεωροὺς πεμφθέντας εἰς τὸν Ἰσθμὸν τοὺς Μολιονίδας ἑλὼν Ἡρακλῆς ὑπὸ Κορινθίων ἐδέχθη. Ἡρόδωρος δὲ καὶ Ἑλλάνικός φασιν ὡς, ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκίνον ἐφορμῆσαι, πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων, καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. ἐμνήσθη δὲ ταύτης Πλάτων καὶ ἐν ιά Νόμων "ὀρθὸν μὲν δὴ τὸ πάλαι τε εἰρημένον, ὡς πρὸς δύο μάχεσθαι χαλεπόν," καὶ ἐνταῦθα.

96. Ὑπερήφανος] ὑπέρφρων.

99. Καρδόπῳ] τῇ μάκτρᾳ τοῦ ἀλεύρου. Παροιμία, δεύτερος πλοῦς, ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, παρ' ὅσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον. ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Ἠθικῶν, καὶ Μένανδρος Κεκρυφάλῳ καὶ Πλοκίῳ καὶ Θεοφορουμένῃ.

101. Τὴν αὐτοῦ σκιὰν δέδοικεν, ἐπὶ τῶν σφόδρα δειλοτάτων. μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις.

103. Καὶ μή μοι —] καὶ μή μοι ἣν ἂν ἐρωτῶ ἀπόκρισιν ἀποκρίνου, ἀλλ' ἄλλην, μιμούμενος ἐμέ.

107. Ἀναβάλοιτο] ἀνακρούοιτο.

108. Γλαύκου τέχνη] ἡ ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ τῶν πάνυ, ἐμμελῶς (ἐπιμελῶς B et Sieb.) καὶ ἐντέχνως εἰργασμένων. Ἵππασος γάρ τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους οὕτως, ὥστε τὰς μὲν διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος ἐπίτριτον μὲν εἶναι τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ τοῦ τετάρτου, κρουομένους δὲ τούτους ἐπιτελεῖν συμφωνίαν τινά. καὶ λέγεται Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν, καὶ ἀπὸ ταύτης τῆς πραγματείας ἔτι καὶ νῦν λέγεσθαι τὴν καλουμένην Γλαύκου τέχνην. μέμνηται δὲ τούτου Ἀριστόξενος ἐν τῷ περὶ τῆς μουσικῆς ἀκροάσεως, καὶ Νικοκλῆς (τιμοκλῆς 𝔄) ἐν τῷ περὶ θεωρίας. ἔστι δὲ καὶ ἑτέρα τέχνη γραμμάτων, ἣν ἀνατιθέασι Γλαύκῳ Σαμίῳ, ἀφ' ἧς ἴσως καὶ ἡ παροιμία διεδόθη. οὗτος δὲ καὶ σιδήρου κόλλησιν εὗρεν, ὥς φησιν Ἡρόδοτος.

109. Αὐτὴν δὲ τὴν γῆν] τοῦτ' ἐκεῖνο, ὃ λέγει ἐν τῷ Τιμαίῳ, τὸν οὐρανὸν τῶν τεσσάρων εἶναι στοιχείων, ἀφ' ἑκάστου τοῦ καθαρωτάτου καὶ οἷον νῷ μόνῳ θεατοῦ τε καὶ ληπτοῦ εἰς τὴν κατασκευὴν τοῦ ποιητοῦ δεηθέντος.

110. Κατεδηδεσμένοι] καταβεβρωμένοι.

111. Αἰώραν] ὕψωσιν, ἔπαρσιν.

IN PHILEBUM.

13. Πειρασόμεθα] πειρώμεθα.

14. Ὥσπερ μῦθος, ἀπολόμενος] ὁ μῦθος ἀπώλετο. τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπέτισι καὶ Κράτης Λαμίᾳ.

15. *Μὴ κινεῖν κακὸν εὖ κείμενον*, ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων. ταύτης μέμνηται καὶ Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ πρὸς Ἀριστογείτονα· "καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μανθάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον." μετῆκται δὲ ἐκ τοῦ ἐν Ῥόδῳ Κολοσσοῦ, ὃς πεσὼν πολλὰς οἰκίας κατέσεισε. βασιλέως δὲ βουλομένου αὐτὸν ἀναστῆσαι, φοβούμενοι οἱ Ῥόδιοι μὴ πάλιν καταπέσῃ, τὸ προκείμενον ἐπεφθέγξαντο.

30. *Γενούστης* ὁ οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος, ὧν τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον, ἢ ὁ οἷον γεννητικός. γεννῆται δὲ οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι, καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττῦς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς δ' κατὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ, τὰς δὲ φρατρίας καὶ τριττύας δυοκαίδεκα, οἷον μῆνας, τὰ δὲ γένη λ' ἐν ἑκάστῃ φρατρίᾳ, καθάπερ ἡμέρας τξ'· δωδεκάκις γὰρ λ' τξ'.

45. *Μηδὲν ἄγαν*] ἑνὸς τῶν ἑπτὰ σοφῶν ἀπόφθεγμα, ὅμοιον τῷ μηδὲν ὑπὲρ τὸ μέτρον.

48. *Πέλας*] τοῦτο καὶ τοπικῶς τάσσεται καὶ χρονικῶς καὶ ἐπὶ συγγενείας. Θουκυδίδης γοῦν ἐπὶ Κερκυραίων εἴρηκε πέλας, διὰ τὸ σύνεγγυς εἶναι ἀλλήλοις τὰ ναυτικά.

48. *Γνῶθι σαυτόν*, ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. λέγουσι δὲ οἱ μὲν Χίλωνος εἶναι τὸ ἀπόφθεγμα, οἱ δὲ Λάβυος (λώβιος Sieb.) εὐνούχου τινὸς νεωκόρου· οἱ δέ φασιν ὅτι Χίλωνος ἐρομένου τὸν θεὸν τί εἴη ἄριστον, εἶπεν ἡ Πυθία τὸ γνῶθι σαυτόν.

56. *Προσαγώγιον* τεκτονικόν ἐστιν ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα. *Τευταζόντων*] πραγματευομένων, ἐπὶ πολὺ διατριβόντων ἐν τῷ αὐτῷ, φροντιζόντων, ἢ ἐπιστρεφῶς τι πραττόντων, ἢ ἐνεργούντων, ἢ σπουδαζόντων· ἅπαντα γὰρ δυνατὸν ἐπὶ τοῦ παρόντος ἐκδέξασθαι. σημαίνει δὲ καὶ τὸ ἡσυχαζόντων, καὶ ἔτι τὸ σκευωρουμένων, ἢ στραγγευομένων, ὅ ἐστι σκολιῶς διακειμένων, πρὸς τούτοις καὶ ταυτολογούντων ἢ φλυαρούντων· πολύσημος γὰρ ἡ λέξις ἥδε.

60. *Οἷ* περισπωμένως ἑαυτῷ, ὡς ἐνταῦθα· ὀξυτόνως δέ, οἵ τινες. σημαίνει δὲ καὶ τὸ ὅποι.

61. *Δόξα* σημαίνει τὸν παρὰ τῶν πολλῶν ἔπαινον. τάττεται δὲ καὶ ἀντὶ τῆς δοκήσεως, τουτέστιν ἀντὶ τῆς κατ' ἀρετὴν ὑπολήψεως. διαφέρει δὲ εὐκλείας, ἐπεὶ ἐκείνη ἐστὶ παρὰ τῶν ἀγαθῶν, δόξα δὲ ὁ παρὰ τῶν πολλῶν ἔπαινος.

62. *Μισγαγκεία* ἡ μίξις, ὅπου ποταμοὶ ἢ ῥύακες συμβάλλουσιν.

66. *Τὸ τρίτον τῷ σωτῆρι*] ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι. ἐκιρνῶντο γὰρ ἐν αὐταῖς κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνταῦθά τε καὶ δὴ καὶ ἐν Πολιτείᾳ. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς.

IN THEAGEM.

122. *Παροιμία ἱερὸν συμβουλή, ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων. δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν· τὸ γὰρ ἱερὸν οὐδενὸς ἴδιον ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν· ἐπειδὴ καταφεύγουσιν ὥσπερ εἰς τὰ ἱερὰ θέλοντες συμβουλεύεσθαι οἱ ἄνθρωποι. προσήκει οὖν τοῖς συμβουλεύουσιν ἀψευδεῖν καὶ τὰ βέλτιστα κατὰ τὴν αὐτῶν γνώμην συμβουλεύειν. ἄλλοι δέ φασιν ἔπαινον φέρειν τῆς συμβουλῆς τὴν παροιμίαν· εἶναι γὰρ αὐτὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον. μέμνηται δ' αὐτῆς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ. Ἐδιδάξατο] ἀντὶ τοῦ οὐκ αὐτὸς ἀλλὰ δι' ἑτέρου ἐδίδαξέ τινος.*

126. *Παρὰ τίνος] Ἀττικὴ ἡ σύνταξις· Ἀττικοὶ γὰρ εἰς διδασκάλου φασίν, οὐκ εἰς διδάσκαλον. οὕτως οὖν κἀνταῦθα γενικὴ ἀντ' αἰτιατικῆς.* Χ.

127. *Ἔμβραχυ] ὅπερ ἂν εἴποι τις εὐχερῶς εἰπεῖν ἐθέλων ἢ ἁπλῶς, τοῦτο ἔμβραχυ λέγεται. ἔμβραχυ οὖν συντόμως καὶ ἁπλῶς. Ὑπερίδης ἐν τῷ κατὰ Ἀριστοφῶντος "οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράττειν καὶ γράφειν ὅ τι ἂν ἔμβραχυ βούληται." Ἀριστοφάνης Θεσμοφοριαζούσαις*

> *ποῦ δ' οὐχὶ διαβέβληκεν, ὅπου περ ἔμβραχυ*
> *εἰσὶν θεαταὶ καὶ τραγῳδικοὶ χοροί;*

Κρατῖνος Ὥραις

> *ἔδει παρέχειν, ὅ τι τις εὔξαιτ' ἔμβραχυ.*

Ἀναγυροῦς δῆμος Αἰαντίδος, ἀφ' οὗ Ἀναγυράσιοι.

IN AMATORES.

133. *Παροιμία*

> *γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος,*

ἐπὶ τῶν διὰ τὸ γῆρας ἐμπειροτέρων. εἵλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων. Εἰρωνικῶς] εἰρωνεία τὸ προχείρως καὶ μετὰ τοῦ πρὸς χάριν διαλέγεσθαι, κολακεία, ψευδολογία. καὶ εἴρωνα τὸν κόλακα.

135. *Πένταθλοι οἱ τὸν ἀγῶνα τὸν πένταθλον ἀγωνιζόμενοι. ἔστι γὰρ*

> *πένταθλος οὗτος τοῖς νέοις ἀγωνία,*
> *πάλη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος.*

σίγυννος δέ ἐστι ξυστὸν δόρυ· παρ' Ἡροδότῳ δὲ τὸ ὁλοσίδηρον ἀκόντιον. πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα ἢ τετράγωνος, ἣν οἱ φοροῦντες λέγονται πελτασταί, ἢ τοξόται, ἢ οἱ τοὺς ξυστοὺς κατέχοντες.

138. *Σημείωσαι ὅτι διαιτητὴς μὲν ὁ τοὺς φίλους ἰδίᾳ συμβιβάζων, δικαστὴς δὲ ὁ δημοσίᾳ κρίνειν ἅπαντας τοὺς ἀμφισβητοῦντας λαχών.* Χ.

IN ALCIBIADEM PRIMUM.

103. *Προσεῖπον*] προσηγόρευσα. *Δαιμόνιον ἐναντίωμα*] τὸ ἀπαρουσιάστως ἐρᾷν θεοειδὲς καὶ νοερόν. ὅπερ δὲ νῦν δαιμόνιον καλεῖ Πλάτων, μετὰ μικρὸν θεὸν λέγει τὸν ἐναντιούμενον. τοῦτο δὲ καὶ Ὅμηρος ποιεῖ· κἀκεῖνος γὰρ ἐπὶ ταὐτοῦ τίθησι δαίμονα καὶ θεόν. *Καὶ ὕστερον πεύσει*] οὐχ ὡς καὶ πρότερον αὐτοῦ πεπυσμένου, ἀλλὰ παραπληρωματικός ἐστιν ὁ καί σύνδεσμος, ὡς καὶ παρ' Ὁμήρῳ

ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.

104. *Προσθήσω*] προειπὼν τὰ ὑπάρχοντα Ἀλκιβιάδῃ μεγάλα εἶναι, ἀπὸ τοῦ σώματος ἀρχόμενα καὶ τελευτῶντα εἰς τὴν ψυχήν, νῦν λέγει καὶ προστίθησι τὰ ἐκτός.

105. *Εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς*] ἰστέον ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοστοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνῃσι γὰρ οἱ νέοι εἰς μὲν τοὺς ἐφήβους εἰσῄεσαν ὀκτωκαίδεκα ἔτη γενόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν· εἰκοστῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθὸ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν Ὀνομαστικοῖς. *Ἐνδειξάμενος*] τὸ ἐνδειξάμενος ἐπὶ τοῦ λογικοῦ τάττει, τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην.

106. *Ἀτοπώτερος*] παραδοξότερος, θαυμασιώτερος. *Φέρε δή*] ἐντεῦθεν τὸ πρῶτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἀπαλλάττον τῆς διπλῆς τὸν νεανίσκον ἀγνοίας. ἔστι δὲ ἐλεγκτικόν.

107. *Ἀκροχειρίζεσθαι*] πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι.

110. *Τὸ ἑλληνίζειν τριττόν.* ἢ τὸ τὴν Ἑλληνικὴν συνήθειαν διασώζειν τῶν ὀνομάτων ἐπὶ πάντων· οἱ πολλοί. ἢ τὸ ἀκριβοῦν τὴν Ἑλληνικὴν φωνὴν καὶ τὴν ὀρθότητα τὴν ἐν τῇ προφορᾷ· οἱ γραμματικοί. ἢ τὴν κυριότητα τῶν ὀνομάτων τὴν κατὰ φύσιν προσήκουσαν τοῖς πράγμασιν ἀπονέμειν· οἱ φιλόσοφοι.

112. *Ἐμὲ φὴς ταῦτα λέγειν*] τὸ τῆς Φαίδρας φησὶν ἐνταῦθα Σωκράτης. τῆς γὰρ τροφοῦ εἰπούσης ὅτι "τὸν Ἱππόλυτον λέγεις" φησὶν ὅτι "σοῦ τάδε κοὐκ ἐμοῦ κλύεις." οὕτως οὖν καὶ ὁ Σωκράτης· σὺ ταῦτα εἶπες, οὐκ ἐγώ, καὶ ἐνταῦθα πάροδος γίνεται τοῦ τρίτου συλλογισμοῦ, ἐν ᾧ δείκνυσιν ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, οὐχ ὁ ἐρωτῶν.

113. *Ἐνὶ λόγῳ εἰπὲ*] ἀντὶ τοῦ καθόλου εἰπέ. *Ἐκ τῶν ὡμολογημένων*] ἐπειδὴ ὡμολόγησε μὴ εἰδέναι τὸ δίκαιον, κέχρηται καταδρομῇ ὁ Σωκράτης ἐλέγχων κατὰ τοῦ Ἀλκιβιάδου, οὐκ ἀπὸ ἀλλοτρίου προσώπου, ὡς Φοῖνιξ εἰσάγων τὸν Πηλέα οὕτως ἐλέγχει τὸν Ἀχιλλέα, ἢ Δημοσθένης ἐλέγξαι θέλων τοὺς Ἀθηναίους τῇ καταδρομῇ χρῆται ὡς ἐκ τῶν Ἑλλήνων πάντων, ἀλλὰ τῷ ἐλεγχομένῳ χρῆται Σωκράτης πρὸς μείζονα καταδρομήν. *Σοῦ τάδε κινδυνεύεις*] σημείωσαι πῶς χρηστέον τοῖς ποιητικοῖς, ὅτι οὐ κατὰ τὴν τῆς λέξεως ἀκρίβειαν, ἀλλὰ μετὰ

τοῦ παραδεῖν αὐτὰ ἐπὶ τὸ πεζοφανέστερον. Εἰ ὅτι μάλιστα] ἄρχεται τοῦ ἐλέγχου, καὶ δείκνυσιν αὐτὸν μὴ εἰδότα τὰ συμφέροντα, ἐκ τῆς ἀντιπαραστάσεως. πολλῶν γὰρ δεῖται λόγων ἡ ἔνστασις, ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον, ὃ ἐφεξῆς δείξει. νῦν δέ φησιν ὅτι εἰ μὲν ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐδείχθης δὲ μὴ εἰδὼς τὸ δίκαιον, οὐδὲ τὸ συμφέρον ἄρα· εἰ δὲ ἕτερον, δειχθείης δὲ μὴ εἰδὼς τὸ συμφέρον, διὰ τῶν αὐτῶν λόγων δύο ἀνθ' ἑνὸς δειχθήσῃ ἀγνοῶν. Σκευαρίων] οὐδὲ γὰρ δέος μὴ κατατριβήσονται οἱ λόγοι δίκην τῶν σκευαρίων, ἃ δὴ σημαίνει τρία, ἢ τὰ σκεύη κοινῶς, ἢ τὴν τρυφήν, ἢ ὡς νῦν, τὰς σκευὰς τῶν κωμικῶν καὶ τραγικῶν, ὅ ἐστι τὰ ἐνδύματα.

114. Προδρομή ἐστιν, ὅταν ἐν πολέμῳ καταλάβῃ τις φρουρίον, ἐξ οὗ δύναται ἀσφαλῶς πολεμεῖν. νῦν δὲ τὸ μὴ ἐρωτᾶσθαι διὰ τῶν αὐτῶν λόγων μετὰ τοῦ Σωκράτους. Ἐπειδὴ δὲ τρυφᾷς] ἐπειδὴ τρυφηλὸς εἶ, ὡς ἐπὶ τῶν ἐδεστῶν, οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο λόγου. Συμφέροντα] τὴν ἔνστασιν διὰ τούτων φησίν, ὡς ἔδει σε δεῖξαι ὅτι οὐ ταὐτὸν δίκαιον καὶ συμφέρον. εἰ γὰρ μὴ δείξεις, δειχθήσῃ δύο ἀνθ' ἑνὸς ἀγνοῶν.

115. Πολλοὶ ἐν πολέμῳ] ἰδοὺ τῇ μείζονι μάχεται, ὅτι οὐ πᾶν καλὸν ἀγαθὸν διὰ τὰ ἐν τῷ πολέμῳ τραύματα. Οὐκοῦν τὴν τοιαύτην] ἡ πρώτη λύσις, ὅτι δύο δυσὶν ἠκολούθησεν, οὐ δύο ἑνί. οὐ γὰρ ταὐτὸν ἀνδρία καὶ θάνατος.

116. Ἔτι τοίνυν] διὰ τῶν καθ' ἕκαστα δείξας, βούλεται καὶ διὰ τῶν καθ' ὅλου κατασκευάσαι τὸ αὐτό. διὸ καὶ τὸ ἔτι προσέθηκεν. Εὖ πράττει] σημείωσαι ὅτι τὸ εὖ μέσον ἐστὶ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ. Πεπάρηθος νῆσός ἐστι μία τῶν Κυκλάδων. αὗται δὲ διὰ τὸ τὴν Δῆλον κυκλοῦν οὕτω καλοῦνται.

118. Πυθοκλείδης μουσικὸς ἦν, τῆς σεμνῆς μουσικῆς διδάσκαλος, καὶ Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων. Ἀναξαγόρας δὲ φυσικὸς φιλόσοφος, ὁ νοῦς ἐπικληθείς, ὅτι τοῦτον πρῶτος πάντων ἐπέστησε τῷ παντί. Ξάνθιππος καὶ Πάραλος οἱ Περικλέους υἱοί, οὓς καὶ βλιττομάμμας ἐκάλουν. βλίτται γὰρ καὶ βλίττωνες οἱ εὐήθεις, μάμματα δὲ τὰ βρώματα, καὶ τὸ ἐσθίειν Ἀργεῖοι μαμμιᾶν ἔλεγον· ἐκ τούτων οὖν σύνθετον ὁ βλιττομάμμας, ὁ ἐσθίων εὐήθως, ὡς καὶ συκομάμμας ὁ συκοφάγος. ὁ δὲ Κλεινίας αὐθάδης οὕτως ὡς μηδενὶ τῶν συμβούλων προσέχειν.

119. Ζήνων ὁ Ἐλεάτης Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν. τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε. Καλλίας δὲ Ἀθηναίων στρατηγὸς ἔνδοξός τε πολιτικὸς καὶ αὐτός. Τί οὖν διανοεῖ] ἐντεῦθεν τὸ δεύτερον τοῦ διαλόγου κεφάλαιον, τὸ πεῖθον μεταβαίνειν ἀπὸ τῆς φυσικῆς ἀρετῆς ἐπὶ τὴν πολιτικήν. Πότερον ἐὰν] τὸ Ὁμηρικὸν νῦν παραφράζει ῥητόν (Od. 4, 371)

νήπιος εἰς, ὦ ξεῖνε, λίην τόσον, ἠὲ χαλίφρων,
ἠὲ ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων.

IN ALCIBIADEM PRIMUM.

103. *Προσεῖπον*] προσηγόρευσα. *Δαιμόνιον ἐναντίωμα*] τὸ ἀπαρουσιάστως ἐρᾶν θεοειδὲς καὶ νοερόν. ὅπερ δὲ νῦν δαιμόνιον καλεῖ Πλάτων, μετὰ μικρὸν θεὸν λέγει τὸν ἐναντιούμενον. τοῦτο δὲ καὶ Ὅμηρος ποιεῖ· κἀκεῖνος γὰρ ἐπὶ ταὐτοῦ τίθησι δαίμονα καὶ θεόν. *Καὶ ὕστερον πεύσει*] οὐχ ὡς καὶ πρότερον αὐτοῦ πεπυσμένου, ἀλλὰ παραπληρωματικός ἐστιν ὁ καί σύνδεσμος, ὡς καὶ παρ' Ὁμήρῳ

ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.

104. *Προσθήσω*] προειπὼν τὰ ὑπάρχοντα Ἀλκιβιάδῃ μεγάλα εἶναι, ἀπὸ τοῦ σώματος ἀρχόμενα καὶ τελευτῶντα εἰς τὴν ψυχήν, νῦν λέγει καὶ προστίθησι τὰ ἐκτός.

105. *Εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς*] ἰστέον ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοστοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνησι γὰρ οἱ νέοι εἰς μὲν τοὺς ἐφήβους εἰσῄεσαν ὀκτωκαίδεκα ἔτη γενόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν· εἰκοστῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθὸ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν Ὀνομαστικοῖς. *Ἐνδειξάμενος*] τὸ ἐνδειξάμενος ἐπὶ τοῦ λογικοῦ τάττει, τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην.

106. *Ἀτοπώτερος*] παραδοξότερος, θαυμασιώτερος. *Φέρε δὴ*] ἐντεῦθεν τὸ πρῶτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἀπαλλάττον τῆς διπλῆς τὸν νεανίσκον ἀγνοίας. ἔστι δὲ ἐλεγκτικόν.

107. *Ἀκροχειρίζεσθαι*] πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἄλλου γυμνάζεσθαι.

110. *Τὸ ἑλληνίζειν τριττόν.* ἢ τὸ τὴν Ἑλληνικὴν συνήθειαν διασώζειν τῶν ὀνομάτων ἐπὶ πάντων· οἱ πολλοί. ἢ τὸ ἀκριβοῦν τὴν Ἑλληνικὴν φωνὴν καὶ τὴν ὀρθότητα τὴν ἐν τῇ προφορᾷ· οἱ γραμματικοί. ἢ τὴν κυριότητα τῶν ὀνομάτων τὴν κατὰ φύσιν προσήκουσαν τοῖς πράγμασιν ἀπονέμειν· οἱ φιλόσοφοι.

112. *Ἐμὲ φῂς ταῦτα λέγειν*] τὸ τῆς Φαίδρας φησὶν ἐνταῦθα Σωκράτης. τῆς γὰρ τροφοῦ εἰπούσης ὅτι "τὸν Ἱππόλυτον λέγεις" φησὶν ὅτι "σοῦ τάδε κοὐκ ἐμοῦ κλύεις." οὕτως οὖν καὶ ὁ Σωκράτης· σὺ ταῦτα εἶπες, οὐκ ἐγώ, καὶ ἐνταῦθα πάροδος γίνεται τοῦ τρίτου συλλογισμοῦ, ἐν ᾧ δείκνυσιν ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων, οὐχ ὁ ἐρωτῶν.

113. *Ἑνὶ λόγῳ εἰπὲ*] ἀντὶ τοῦ καθόλου εἰπέ. *Ἐκ τῶν ὡμολογημένων*] ἐπειδὴ ὡμολόγησε μὴ εἰδέναι τὸ δίκαιον, κέχρηται καταδρομῇ ὁ Σωκράτης ἐλέγχων κατὰ τοῦ Ἀλκιβιάδου, οὐκ ἀπὸ ἀλλοτρίου προσώπου, ὡς Φοῖνιξ εἰσάγων τὸν Πηλέα οὕτως ἐλέγχει τὸν Ἀχιλλέα, ἢ Δημοσθένης ἐλέγξαι θέλων τοὺς Ἀθηναίους τῇ καταδρομῇ χρῆται ὡς ἐκ τῶν Ἑλλήνων πάντων, ἀλλὰ τῷ ἐλεγχομένῳ χρῆται Σωκράτης πρὸς μείζονα καταδρομήν. *Σοῦ τάδε κινδυνεύεις*] σημείωσαι πῶς χρηστέον τοῖς ποιητικοῖς, ὅτι οὐ κατὰ τὴν τῆς λέξεως ἀκρίβειαν, ἀλλὰ μετὰ

τοῦ παραδεῖν αὐτὰ ἐπὶ τὸ πεζοφανέστερον. Εἰ ὅτι μάλιστα] ἄρχεται τοῦ ἐλέγχου, καὶ δείκνυσιν αὐτὸν μὴ εἰδότα τὰ συμφέροντα, ἐκ τῆς ἀντιπαραστάσεως. πολλῶν γὰρ δεῖται λόγων ἡ ἔνστασις, ὅτι ταὐτόν ἐστι δίκαιον καὶ συμφέρον, ὃ ἐφεξῆς δείξει. νῦν δέ φησιν ὅτι εἰ μὲν ταὐτόν ἐστι τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐδείχθης δὲ μὴ εἰδὼς τὸ δίκαιον, οὐδὲ τὸ συμφέρον ἄρα· εἰ δὲ ἕτερον, δειχθείης δὲ μὴ εἰδὼς τὸ συμφέρον, διὰ τῶν αὐτῶν λόγων δύο ἀνθ' ἑνὸς δειχθήσῃ ἀγνοῶν. Σκευαρίων] οὐδὲ γὰρ δέος μὴ κατατριβήσονται οἱ λόγοι δίκην τῶν σκευαρίων, ἃ δὴ σημαίνει τρία, ἢ τὰ σκεύη κοινῶς, ἢ τὴν τρυφήν, ἢ ὡς νῦν, τὰς σκευὰς τῶν κωμικῶν καὶ τραγικῶν, ὅ ἐστι τὰ ἐνδύματα.

114. *Προδρομή* ἐστιν, ὅταν ἐν πολέμῳ καταλάβῃ τις φρουρίον, ἐξ οὗ δύναται ἀσφαλῶς πολεμεῖν. νῦν δὲ τὸ μὴ ἐρωτᾶσθαι διὰ τῶν αὐτῶν λόγων μετὰ τοῦ Σωκράτους. Ἐπειδὴ δὲ τρυφᾷς] ἐπειδὴ τρυφηλὸς εἶ, ὡς ἐπὶ τῶν ἐδεστῶν, οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ γεύσαιο λόγου. Συμφέροντα] τὴν ἔνστασιν διὰ τούτων φησίν, ὡς ἔδει σε δεῖξαι ὅτι οὐ ταὐτὸν δίκαιον καὶ συμφέρον. εἰ γὰρ μὴ δείξεις, δειχθήσῃ δύο ἀνθ' ἑνὸς ἀγνοῶν.

115. *Πολλοὶ ἐν πολέμῳ*] ἰδοὺ τῇ μείζονι μάχεται, ὅτι οὐ πᾶν καλὸν ἀγαθὸν διὰ τὰ ἐν τῷ πολέμῳ τραύματα. Οὐκοῦν τὴν τοιαύτην] ἡ πρώτη λύσις, ὅτι δύο δυσὶν ἠκολούθησεν, οὐ δύο ἑνί. οὐ γὰρ ταὐτὸν ἀνδρία καὶ θάνατος.

116. *Ἔτι τοίνυν*] διὰ τῶν καθ' ἕκαστα δείξας, βούλεται καὶ διὰ τῶν καθ' ὅλου κατασκευάσαι τὸ αὐτό. διὸ καὶ τὸ ἔτι προσέθηκεν. Εὖ πράττει] σημείωσαι ὅτι τὸ εὖ μέσον ἐστὶ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ. *Πεπάρηθος* νῆσός ἐστι μία τῶν Κυκλάδων. αὗται δὲ διὰ τὸ τὴν Δῆλον κυκλοῦν οὕτω καλοῦνται.

118. *Πυθοκλείδης* μουσικὸς ἦν, τῆς σεμνῆς μουσικῆς διδάσκαλος, καὶ Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων. *Ἀναξαγόρας* δὲ φυσικὸς φιλόσοφος, ὁ νοῦς ἐπικληθείς, ὅτι τοῦτον πρῶτος πάντων ἐπέστησε τῷ παντί. *Ξάνθιππος* καὶ *Πάραλος* οἱ Περικλέους υἱοί, οὓς καὶ βλιττομάμμας ἐκάλουν. βλίτται γὰρ καὶ βλίττωνες οἱ εὐήθεις, μάμματα δὲ τὰ βρώματα, καὶ τὸ ἐσθίειν Ἀργεῖοι μαμμιᾶν ἔλεγον· ἐκ τούτων οὖν σύνθετον ὁ βλιττομάμμας, ὁ ἐσθίων εὐήθως, ὡς καὶ συκομάμμας ὁ συκοφάγος. ὁ δὲ *Κλεινίας* αὐθάδης οὕτως ὡς μηδενὶ τῶν συμβούλων προσέχειν.

119. *Ζήνων* ὁ Ἐλεάτης Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν. τούτου *Πυθόδωρος* ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ *Κέφαλος* ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε. *Καλλίας* δὲ Ἀθηναίων στρατηγὸς ἔνδοξός τε πολιτικὸς καὶ αὐτός. Τί οὖν διανοεῖ] ἐντεῦθεν τὸ δεύτερον τοῦ διαλόγου κεφάλαιον, τὸ πεῖθον μεταβαίνειν ἀπὸ τῆς φυσικῆς ἀρετῆς ἐπὶ τὴν πολιτικήν. Πότερον ἐᾷν] τὸ Ὁμηρικὸν νῦν παραφράζει ῥητόν (Od. 4, 371)

νήπιος εἶς, ὦ ξεῖνε, λίην τόσον, ἠὲ χαλίφρων,
ἠὲ ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων.

πᾶς γὰρ μὴ μανθάνων ἢ φύσεως ἀντιπραττούσης πάσχει τοῦτο, καὶ ἔστιν ὁ τοιοῦτος νήπιος καὶ ἠλίθιος· ἢ δύναται μέν, οἴεται δὲ ἀνωφελῆ εἶναι τὰ μανθανόμενα, καὶ διὰ τοῦτο οὐκ ἐπιτείνεται πρὸς αὐτά, καὶ ἔστιν ὁ τοιοῦτος χαλίφρων καὶ μαινόμενος· ἢ οἴεται μὲν ὠφέλιμα εἶναι, ῥαθυμεῖ δὲ καὶ βλακεύει, καὶ ἔστιν ὁ τοιοῦτος ἑκὼν μαθίων καὶ μὴ προσέχων τὸν νοῦν. *Πράγματα*] ἀντὶ τοῦ φροντίδας.

120. *Ὀρτυγοτρόφον*] εἰρωνικῶς. οὗτος ἐπὶ κύκλου τοὺς ὄρτυγας παριστὰς κόπτειν αὐτοὺς ἀλλήλους ἐδίδασκεν. *Τὴν ἀνδραποδώδη τρίχα* παροιμίαν εἶναί φασιν οἱ μὲν ἀπὸ τῶν ἀρτιγενῶν πώλων, οἱ δὲ ἀπὸ εἴδους κουρᾶς προσηκούσης ἀνδραπόδοις, παρ᾽ ὃ καὶ αἱ γυναῖκες τοὺς ἀπὸ δούλων ἐλευθέρους γεγονότας, οὔπω δὲ τὸ ἦθος μεταβαλόντας, ταύτην ἔτι ἔχειν τὴν τρίχα ἔλεγον σκώπτουσαι. οἱ δέ, ὅτι τὰς ἐν τῷ στήθει τρίχας φρένας οὕτως ὁ Πλάτων μεταβαλὼν τὰς ἀνδραποδώδεις φρένας οὕτως ἐκάλεσεν. *Ὅσα μαθήσεως*] διττὴ ἡ τελειότης ἡμῖν, ἡ μὲν τοῦ λογικοῦ διὰ μαθήσεως γιγνομένη, ἡ δὲ τοῦ ἀλόγου δι᾽ ἀσκήσεως τῶν βελτιόνων ἐθῶν. *Ἡρακλέους τε γένος καὶ Ἀχαιμένους*] Ζεὺς - Δανάη, Περσεὺς - Ἀνδρομέδα Κηφέως, Ἀχαιμένης. Ζεὺς - ἄλλαι γυναῖκες, Ἀγκαῖος - Λαονόμη, Ἀμφιτρύων· Ἠλεκτρύων - Λυσιδίκη, Ἀλκμήνη· Ἀμφιτρύων - Ἀλκμήνη, Ἡρακλῆς.

121. *Εἰς Εὐρυσάκη*] Ζεὺς - Αἴγινα· Αἰακος - Ἐνδηΐς· Τελαμὼν - Περίβοια· Αἴας - Τέκμησσα, Εὐρυσάκης· διὰ μέσου πολλοὶ - πολλαί· Κλεινίας - Δεινομάχη, Ἀλκιβιάδης. *Εἰς Δαίδαλον*] Ζεὺς - Ἥρα· Ἥφαιστος - Γῆ· Ἐρεχθεὺς - Προκρίς· Μητίων - γυνή τις· Εὐπάλαμος - Ἀλκίππη· Δαίδαλος, διὰ μέσου πολλοὶ - πολλαί· Σωφρονίσκος - Φαιναρέτη, Σωκράτης. *Σαλαμῖνα*] νῆσον πρὸς τῇ Ἀττικῇ καὶ πόλιν. *Αἴγιναν*] νῆσον μίαν τῶν Κυκλάδων. *Γενέθλιά* ἐστιν ἡ δι᾽ ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἑορτή, γενέσια δὲ ἡ δι᾽ ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη. *Τοῦ κωμῳδοποιοῦ*] ὃν Πλάτωνα καλεῖσθαί φασιν. *Τροφοῦ*] αὕτη Λάκαινα τὸ γένος ἦν, Λανικὴ καλουμένη. *Ἑπτέτεις*] ἢ διὰ τὸ τὸν λόγον τότε ἄρχεσθαι τελειοῦσθαι, ἢ διὰ τὸ τὸν Ζωροάστρην ζʹ γενόμενον ἐτῶν σιωπῆσαι, εἶτα μετὰ λʹ χρόνους ἐξηγήσασθαι τῷ βασιλεῖ τῆς ὅλης φιλοσοφίας, ἢ ὡς τῷ Μίθρᾳ οἰκεῖον τὸν ζ ἀριθμόν, ὃν διαφερόντως οἱ Πέρσαι σέβουσιν. *Δὶς ἑπτὰ*] τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόρειος φασίν.

122. *Ζωροάστρης* ἀρχαιότερος ἑξακισχιλίοις ἔτεσιν εἶναι λέγεται Πλάτωνος· ὃν οἱ μὲν Ἕλληνα, οἱ δὲ τῶν ἐκ τῆς ὑπὲρ τὴν μεγάλην θάλασσαν ἠπείρου ὡρμημένων [παῖδά] φασι, πᾶσάν τε σοφίαν παρὰ τοῦ ἀγαθοῦ δαίμονος ἐκμαθεῖν, τουτέστιν ἐπιτυχοῦς νοήματος· οὗ δὴ εἰς Ἑλληνικὴν φωνὴν μεταφραζόμενον τοὔνομα τὸν ἀστροθύτην δηλοῖ. τιμῆσαί τε αὐτὸν τὴν ἀνακεχωρηκυῖαν διαγωγὴν τῶν πολλῶν, καὶ δὴ τὴν τῶν ἐμψύχων ἀποχήν, συγγράμματά τε διάφορα καταλιπεῖν, ἐξ ὧν καὶ δείκνυσθαι τρία μέρη φιλοσοφίας εἶναι κατ᾽ αὐτόν, φυσικόν, οἰκονομικόν, πολιτικόν. *Ἕλξεις*] ὅτι καὶ τὴν ἱματίων ἕλξιν, ἥ φησί Πλούταρχος, διαφερόντως Ἀλκιβιάδης ἐπετήδευεν. Σημείωσαι φι-

λονικίαν διὰ τοῦ ι, τὴν φιλίαν τῆς νίκης. *Μεσσήνης*] ὡς Τυρταῖός φησι

Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεύειν.

χώρα δέ ἐστιν αὕτη. *Εἵλωτες* παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι, ἀπὸ τοῦ Ἕλους, πόλεως ἐν Πελοποννήσῳ·

καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον

φησὶν Ὅμηρος. καὶ εἱλωτεία ἡ δουλεία. *Ὁ μῦθος τοιοῦτος.* λέων μὴ οἷός τε διὰ γῆρας θηρεύειν ὢν προσεποιεῖτο νοσεῖν, ἵνα δὴ τὰ θηρία πρὸς ἐπίσκεψιν ἰόντα παρ' αὐτὸν κατεσθίοι. δεινὴ δ' ἡ ἀλώπηξ οὖσα τὸν δόλον συνιδεῖν ἐφώρασε, καὶ τοῦ λέοντος αὐτὴν ἀξιοῦντος εἰσελθεῖν πρὸς αὐτὸν ἔφη μὴ δύνασθαι εἰσιέναι· ὁρᾷν γὰρ ἴχνη μὲν εἰσιόντων, ἐξιόντων δ' οὔ.

123. *Ἀνδρὸς ἀξιοπίστου*] περὶ Ξενοφῶντός φασι λέγειν αὐτόν· οὗτος γὰρ ἐν τῇ Ἀναβάσει ἱστόρησε τὰ Περσῶν, Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρτοξέρξην. *Ἐρχιεῖς* δῆμος. ὑπὸ τὴν Αἰαντίδα φυλήν, ἢ ὥς τινες, Αἰγηΐδα. πλέθρον δέ ἐστι μέρος ἕκτον σταδίου· τοῦτο δὲ πήχεις ἔχει τετρακοσίους, ων τὸ ἕκτον πήχεις ἑξήκοντα ἓξ δίμοιρον, ὅ ἐστι τὸ πλέθρον. *Λεωτυχίδης* ὁ κατὰ Μήδου στρατηγήσας. *Ἀρχίδαμος*, ἐφ' οὗ ὁ Πελοποννησιακὸς πόλεμος. *Ἆγις* δέ, ἐφ' οὗ ἐκράτησαν Λακεδαιμόνιοι.

124. *Ἀλλ' ὦ μακάριε*] ἐντεῦθεν τὸ τρίτον τοῦ διαλόγου κεφάλαιον, τὸ ἐκφαῖνον τὴν οὐσίαν ἡμῶν καθ' ἣν ὑφεστήκαμεν. *Παίζεις*] ὅτι ἐπιμελείας δεῖσθαί φησιν ἑαυτόν, διὰ τοῦτο παίζειν λέγεται. *Νώ γε*] ἀγνοεῖ ἑαυτὸν ὁ Σωκράτης ἐνθουσιαστικῶς. *Οἱ πράττειν τὰ πράγματα*] ὅτι τὸ ὑλικὸν αἴτιον τῆς πολιτικῆς τὰ πρακτέα εἰσίν.

125. *Τοῦτο ἀγαθὸς*] ἐπὶ μὲν τῶν βαναύσων τοῦτο οὐκ ἄτοπον, ἐπὶ δὲ τοῦ πολιτικοῦ ἀνδρὸς ἄτοπον τὸ εἶναι τὸν σοφὸν κατά τι ἀγαθόν. *Ἄρχειν*] ἐντεῦθεν τὸ εἶδος παραδίδωσι τοῦ πολιτικοῦ, ὅτι τὸ ἄρχειν. *Κελευστῶν*] τῶν περὶ τὰ ἄρμενα ἱσταμένων. *Τίς οὖν αὕτη*] ἐντεῦθεν τὸ πολιτικὸν ὅτι φρόνησις καὶ οὐ σοφία.

126. *Ἆρ' οὖν φιλίαν*] οὐχ ὡς βουλόμενος ὁ Σωκράτης καὶ αὐτὸς εἶναι τέλος τὴν φιλίαν, ταῦτα ἐρωτᾷ, ἀλλ' ὅτι ᾤετο τὸν νεανίσκον ταὐτὸν ὑπολαμβάνειν στοργὴν καὶ φιλίαν. *Ὁμόνοιά* ἐστι γνῶσις τῶν αὐτογνωστῶν. *Ἀριθμοὺς*] ἀριθμοί, ἀριθμητά, διωρισμένα. *Πήχεως*] πήχεις, μετρική, συνεχές. *Σταθμοῦ*] σταθμοί, στατική, ῥοπή· ὥστε ἐκ τῶν Πλάτωνος τρίτον εἶδος ποσοῦ ῥοπή. *Μὴ κάμῃς*] πολλὰ ἠρώτησε· διὸ τὸν νέον διεγείρων λέγει μὴ κάμῃς. *Ταλασιουργίας*] τῆς ξαντικῆς. ταλασιουργία δὲ ἢ ὅτι τὰ λάσια ἐργάζεται, ἢ παρὰ τοὺς ταλάρους.

127. *Κατὰ τὸν σὸν λόγον*] ἀναγκαίως πρόσκειται διὰ τὰ ἐν τῇ Πολιτείᾳ ἀποδεδειγμένα, μηδὲν διαφέρειν κατὰ τὰ πολεμικὰ τὸ θῆλυ τοῦ ἄῤῥενος. *Ἠι ἄρα*] κατὰ γὰρ τὸ προσεχὲς τέλος οὐχ ὁμονοεῖ ἀνὴρ καὶ γυνή, ἀλλὰ κατὰ τὸ πόῤῥω. *Ἀντιλέγει* ὁ Ἀλκιβιάδης τῷ Σωκράτει, ὅτι ἀλλ' εὖ οἰκοῦσι τὰς πόλεις δι' αὐτὸ τοῦτο, ὅτι τὰ αὑτῶν πράττουσιν. ὁ δὲ Σωκράτης φησὶν ὅτι πάλαι ὑπὸ σοῦ ταῦτα ἐλέγετο, οὐκ ἄρτι γε.

129. *Πότερον οὖν δὴ ῥᾴδιον τυγχάνειν*] ὡς ῥᾴδιον παντὸς εἶναι τὸ λόγῳ διεξιέναι, παγχαλεπὸν δὲ τὸ ἔργῳ ἐπιχειρεῖν. καὶ γὰρ λέγεται

τὸ γνῶθι σαυτὸν ἐν λόγοις οὐδὲν μέγα,
ἔργῳ δὲ μόνος τοῦτ' ἐπίσταται θεός.[1]

Φαυλος] ἀντὶ τοῦ εὐτελής. *'Αναθεὶς*] τὸ γνῶθι σαυτὸν Χίλων ὁ Λακεδαιμόνιος ἀνέθηκεν. οἱ δέ φασιν ὅτι Φημονόη ἡ προφῆτις. *'Εσμὲν αὐτοί*] ἐντεῦθεν κατασκευάζει ὅτι ὁ ἄνθρωπος ἡ ψυχή ἐστι κατηγορικῶς. *"Εχε οὖν*] ἡ ἐλάττων πρότασις ἐνθένδε, ὅτι ὁ ἄνθρωπος ὀργάνῳ χρῆται τῷ σώματι.

130. *Ἡ οὖν ἄλλο τι*] ἡ μείζων πρότασις, ἡ λέγουσα τὸ τῷ σώματι χρώμενον ψυχή ἐστιν. *Σαφέστερον*] οἶδεν ἐλλιπῆ τὸν ὅρον ὁ Σωκράτης. ὁ ῥάθυμος 'Αλκιβιάδης, ἴδε, τί λέγει.

131. *"Οστις ἄρα*] ἐκ τούτων δῆλον ὡς τῶν τεχνιτῶν οἱ λόγοι οὐκ εἰσὶν ἀεὶ ἐν ψυχῇ, ἐκείνων δέ, ὧν μετὰ τὸν τοῦ σώματος χωρισμὸν οὐκ ἀπήλλακται. *Σωφροσύνην* λέγει Πλάτων τὴν φρόνησιν, ὡς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ἐπιστρέφουσαν, καὶ ἄλλως, ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ πολιτικαὶ ἀρεταί. *Εἰ ἄρα τις*] ἐντεῦθεν κατασκευάζει ὑποθετικῶς ὅτι ὁ ἄνθρωπος ἡ ψυχή ἐστιν.

132. *Τοῦ μεγαλήτορος*] παρῳδεῖ τὸ ἔπος (Il. 2, 547.)

δῆμος 'Ερεχθῆος μεγαλήτορος.

εὐπρόσωπος δὲ κατὰ τὴν ὁλότητα, ἐπεὶ κατὰ τὸν καθ' ἕνα ἕκαστον αὐτοῦ εὐτελής. *Κάτοπτρα*] τὰ φυσικά, οἷον ὕαλον ἢ κέρας.

133. *"Αρ' οὖν μὴ γινώσκοντες*] συλλογισμὸς δεικνύων ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐκ ἔστι πολιτικός, πρότασις ἡ λέγουσα οὐδὲ τὰ ἑαυτοῦ οἶδεν. *"Οστις δὲ*] ἐνταῦθα ἡ δευτέρα πρότασις τοῦ συλλογισμοῦ. *Οὐκ ἄρα*] τὸ συμπέρασμα, ὅτι ὁ ἑαυτὸν ἀγνοῶν οὐκ ἔστι πολιτικὸς οὐδ' οἰκονομικὸς οὐδ' ἠθικός.

134. *Εἰ δὴ μέλλεις*] συλλογισμοῦ πρώτη πρότασις· ὁ τὰ τῆς πολιτείας μέλλων πράττειν ὀρθῶς ἀρετῆς τοῖς πολίταις μεταδίδωσιν. *Δύναιτο δ' ἄν τις*] δευτέρα πρότασις· οὐδεὶς ἀρετῆς τοῖς πολίταις μεταδιδοὺς δύναται μὴ ἔχειν ἀρετήν.

135. *"Ινα μὴ ὀνομάζωμεν*] τῇ ἀποσιωπήσει ἐξογκοῖ τὸ πρᾶγμα, οἷον τὸ δουλοπρεπές. *Τὸ μὲν σὸν*] ἐγὼ μὲν ἐραστής, σὺ δὲ ἐρώμενος. *Πελαργοῦ*] ἐπειδὴ τοὺς πελαργούς φασι γηράσαντας τοὺς γονεῖς ἀμοιβαίας κομιδῆς ἀξιοῦν, ἧς ἔτυχον ἐν τῇ νεοττείᾳ παρ' αὐτῶν.

IN MENEXENUM.

235. *'Εξ ὑπογυίου*] ἐκ τοῦ σύνεγγυς, ἀπερισκέπτως, παραυτά. *Αὐτοσχεδιάζειν*] αὐτομάτως, ἀσκέπτως εἰπεῖν. *'Ασπασίαν*] αὕτη 'Αξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματι φησίν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότα-

[1] Cf. Meinek. Menandri reliq. p. 576.

τὸν κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδηταῖς. Κρατῖνος δὲ Ὀμφάλῃ τύραννον αὐτὴν καλεῖ, χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ. ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις. Ῥαμνοῦς δῆμος Αἰαντίδος, ἐξ οὗ οὗτος.

237. Βοτά] τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων λέγεται ζώων, ὅσα βόσκεται.

239. Ὁ δὲ υἱὸς] τὸν Καμβύσην φησίν.

240. Σάρδεις πόλις Λυδίας. Ἐρέτρια πόλις Εὐβοίας. Μαραθὼν τόπος τῆς Ἀττικῆς, ἀπέχων τῶν Ἀθηνῶν σταδίους τριακοσίους, τῇ φύσει τραχύς, δυσίππαστος, ἔχων ἐν ἑαυτῷ πηλούς, τενάγη, λίμνας. Τῇ ὑστεραίᾳ] νόμος γὰρ ἦν αὐτοῖς μὴ ἄλλως ἐξάγειν εἰς πόλεμον, εἰ μὴ πανσέληνος ᾖ.

241. Σαλαμὶς πρὸς τῇ Ἀττικῇ νῆσός τε καὶ πόλις. Ἀρτεμίσιον δὲ ἄκρα τῆς Εὐβοίας, ἡ τείνουσα ἐπὶ θάλασσαν. ἕτερος δὲ αὐλὼν παράκειται τῇ θαλάσσῃ, ἐν ᾧ ἡ ναυμαχία ἐγένετο. Πλαταιαὶ πόλις Βοιωτίας. Εὐρυμέδων ποταμὸς Παμφυλίας.

242. Τάναγρα πόλις Βοιωτίας. Σικελίαν] ἰστέον δὲ ὅτι Ἄλεξις ὁ κωμικός φησι

τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λέγος,
ἐστὶν μεγίστη, δευτέρα Σαρδώ, τρίτη
Κύρνος, τετάρτη δ' ἡ[1] Διὸς Κρήτη τροφός,
Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος·
Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦσ' ἔχει.

Σικελία δ' ἐκλήθη ἀπὸ Σικελοῦ τοῦ βασιλεύσαντος Αὐσόνων, οἱ ὑπὸ Ἰαπύγων ἐξαναστάντες διέβησαν εἰς τὴν πάλαι Σικανίαν καλουμένην.

243. Ἑλλήσποντον] Ἀθάμαντος γυναῖκες Νεφέλη καὶ Ἰνώ. αὕτη ἐπιβουλεύουσα Φρίξῳ καὶ Ἕλλῃ, τοῖς ἐκ Νεφέλης τούτου παισί, πείθει τοὺς ὑπ' αὐτοῦ πεμφθέντας εἰς Δελφοὺς διὰ τὸν λιμὸν εἰπεῖν ὅτι παύσεσθαι τοῦτον ὁ Ἀπόλλων εἶπεν, εἰ Φρίξον αὐτῷ σφαγιάσειεν. Νεφέλη δὲ μαθοῦσα τοῦτο λαμβάνει παρ' Ἑρμοῦ κριόπρωρον πλοῖον ὑπόχρυσον, ἐμβάλλει τε τοὺς παῖδας ἐν αὐτῷ πλεῖν καὶ φεύγειν. τῶν δὲ κατὰ τὴν μεταξὺ Σιγείου καὶ Χερρονήσου γενομένων θάλασσαν, ἡ Ἕλλη ἐκ τοῦ πλοίου εἰς τὸν βυθὸν ὤλισθε, καὶ τῷ πελάγει τοὔνομα δίδωσιν αὐτῆς. Μιτυλήνη πόλις ἐν Λέσβῳ τῇ νήσῳ. Ἐλευσὶς δῆμος καὶ πόλις Ἀττικῆς.

245. Ἐντέτηκε] ἐγκεκόλληται, πέπηγεν. Κόρινθος πόλις ἐν Πελοποννήσῳ, κειμένη ἐπὶ τοῦ Ἰσθμοῦ. Λεχαιὸν δὲ ἐπίνειον Κορινθίων, ὥσπερ ὁ Πειραιεὺς Ἀθηναίων. εἰς τούτους δὲ τοὺς τόπους ἀπεδίδρασκον οἱ οἰκέται.

[1] δευτέρα — δ' ἡ] πρὸς δὲ σάρδος δευτέρα, τρίτη τε κύρνος καὶ τετάρτη ἡ B.

IN HIPPIAM MAJOREM.

281. Ἦλις πόλις Πελοποννήσου πρὸς τῇ Ὀλυμπίᾳ, ἀπέχουσα Πίσης τριακοσίους σταδίους. Λακεδαίμων] πόλις καὶ αὕτη Πελοποννήσου, πρότερον Σπάρτη προσαγορευομένη.

282. Λεοντῖνοι πόλις Σικελίας. Κέως νῆσος, ἣ καὶ Μακρὶς ἐκαλεῖτο.

286. Παροιμία, αὐτὸ δείξει, ἐπὶ τῶν ἀπιστούντων τι μὴ γενέσθαι. μέμνηται δ' αὐτῆς καὶ Κρατῖνος ἐν Πυλαίᾳ, καὶ Πλάτων ἐν Θεαιτήτῳ καὶ ἐνταῦθα. καὶ ἔστιν, ὁ τὸν ποταμὸν καθηγούμενος καὶ τὸν πόρον ζητῶν, αὐτὸ δείξει. τῶν γὰρ παροιμιῶν αἱ μὲν καθ' αὑτὰς λέγονται, αἱ δὲ ἐπὶ λόγων σαφηνίζονται. μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Λημνίαις οὕτως·

ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγώ, σαφῶς.

290. Τωθάσεται] σκώψει, λοιδορήσει, χλευάσει. Ἔτνος εἶδος ὀσπρίου, ὅ τινες καλοῦσι πισσάριον. τορύνη δὲ τὸ ταρακτήριον. Μέρμερος] φροντίδος ἄξιος, ἢ χαλεπός.

292. Ἐφικέσθαι] καταλαβεῖν. Γεγωνεῖν] μέγα φθέγγεσθαι.

293. Βάλλ' ἐς Μακαρίαν] Ἡρακλέους θυγάτηρ, Μακαρία τοὔνομα, ἣν λόγος κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν αὐτοκέλευστον ἑαυτὴν ὑπὲρ τῆς πόλεως εἰς σφαγὴν ἐκδοῦναι. τοὺς οὖν Ἀθηναίους κατὰ τιμὴν τῆς παιδός, βάλλοντας αὐτὴν ἄνθεσι καὶ στεφάνοις, παρακελεύεσθαι τοῖς ἄλλοις "βάλλ' εἰς Μακαρίαν," ὡς τὴν παροιμίαν παρελθεῖν καὶ ἐπὶ τῶν προθυμουμένων τι, αὖθις δὲ κατεχρηστικῶς καὶ ἐπὶ πάσης ἀφοσιώσεως. Δοῦρις δέ φησιν ὅτι αὕτη τὴν πυρὰν τοῦ πατρὸς κατέσβεσε, καὶ ἐξ ἐκείνου παρὰ Μακεδόσι νενόμισται τὰς θυγατέρας τῶν κηδευομένων, οἷς ἂν ὦσι παῖδες, τὸ αὐτὸ πράττειν ἐπὶ τοῖς πατράσιν.

295. Ἆ περισπασθὲν δηλοῖ εἴθε· Καλλίμαχος

ἆ πάντως ἵνα γῆρας.

καὶ τὸ ὦ τὸ κλητικόν· Ὅμηρος

ἆ δειλοί, τί κακῶν.

σημαίνει δὲ καὶ τὸ πολὺ καὶ μέγα, παρ' Ἀρχιλόχῳ

ἆ ἰαδ' εἴς τε ταύρους.[1]

τό τε ἐν ἴσῳ τῷ ναί, καὶ εἴθε. καὶ ἔτι σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ ἐπιρρήματος, ὡς ἐνταῦθα. βραχέως δὲ καὶ δασέως τὸ ἅτινα, ὡς παρ' Ἱπποκράτει. παρὰ δὲ Δημοκρίτῳ ἴδια. παρ' Ὁμήρῳ τὰ ἑαυτοῦ·

τὰ ἃ πρὸς δώμαθ' ἕκαστος.

καὶ ἀντὶ τοῦ ὧν τέτακται, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ

πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι,

καὶ παρὰ Σοφοκλεῖ

αἰτεῖς ἃ τεύξῃ.

εἰ δὲ ψιλωθείη περισπασθέν, τὸ νῦν σημαίνει, ὡς ἐν Εὔκλου τοῦ χρησ-

[1] ἀεαδεῖς τεταύρους B: conf. Bast. ad Corinth. p. 245.

μολόγου ποιήμασι. βραχέως δὲ καὶ ψιλῶς σημαίνει ἀπόφασιν ἀρνητικήν. Ἀμέλει] ἀντὶ τοῦ τοιγαροῦν συλλογιστικοῦ συνδέσμου.

301. Διανεκῆ] διὰ παντός. οὕτω καὶ Διογενιανός. Παροιμία ἐπὶ τῶν λεγομένων ἢ πραττομένων κατὰ δύναμιν ὑφ' ἑκάστου λεγομένη· τὰ ἡμέτερα οὐχ οἷα βούλεταί τις, ἀλλ' οἷα δύναται.

304. Χαλεπὰ τὰ καλὰ] Περίανδρος ὁ Κορινθίων δυνάστης κατ' ἀρχὰς δημοτικὸς ὢν ὕστερον εἰς τὸ τύραννος εἶναι μετῆλθε. τοῦτο Πιττακὸν ἀκούσαντα, τότε Μιτυληναίων δυναστεύοντα, καὶ δείσαντα περὶ τῆς ἑαυτοῦ γνώμης καθίσαι τε ἐπὶ τὸν βωμὸν ἱκέτην καὶ ἀπολυθῆναι τῆς ἀρχῆς ἀξιοῦν. τῶν δὲ Μιτυληναίων πυνθανομένων τὴν αἰτίαν, εἰπεῖν τὸν Πιττακὸν ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τοῦτο δὲ μαθόντα Σόλωνα εἰπεῖν "χαλεπὰ τὰ καλά," καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. οἱ δὲ ἐπὶ τοῦ ἀδυνάτου τὸ χαλεπὸν ἀκούουσιν· ἐπὶ πάντων γὰρ γενέσθαι ἀγαθὸν ἀδύνατον.

IN CLITOPHONTEM.

406. Διατριβὰς] τὰς φιλοσόφους διαλέξεις σημαίνει, καὶ τὸν τόπον ἐν ᾧ εἰσί, καὶ τὴν περί τι χρόνιον διάθεσιν.

407. Ἐπὶ μηχανῆς] ἐν ταῖς τραγῳδίαις, μετὰ ἄλλας ἐπιδείξεις πολλάς, ἐπιφάνειαί τινες ἐπὶ τέλει ἐκ μηχανῆς τινὸς θεῶν ἀνεδείκνυντο. τοῦτο γοῦν ἐνταῦθα φησίν. Ἄλλως. ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης, ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ καὶ σωτηρίᾳ φαινομένων. ἐκ γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοὶ ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο. Μένανδρος Θεοφορουμένῃ καὶ Κεκρυφάλῳ. Ὀφθαλμοῖς χρῆσθαι] κρεῖττόν ἐστι τῷ μὴ ἐπισταμένῳ ὡς δεῖ ὁρᾶν μηδ' αὖ χρείαν μηδεμίαν χρῆσθαι τῷ σώματι, μηδ' ὅλως ὁρᾶν μηδέ τι πράττειν, ἢ ὡς ἔτυχε πράττειν ἀμαθῶς καὶ ἀφυῶς.

408. Μὴ ζῆν κρεῖττον] οἴομαι παρόμοιον καὶ τὸ παρὰ Σοφοκλεῖ·

ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή.

409. Κομψότατα] πιθανώτατα, ἢ τεχνικώτατα, ἢ σπουδαιότατα.

410. Λιπαρῶν] παρακαλῶν, προσεδρεύων.

IN REM PUBLICAM.

I.

327. Πειραιεὺς πόλις Ἀττικῆς καὶ ἐπίνειον Ἀθηναίων ἤγουν λιμήν, ἢ ὁρμητήριον. Ἑορτὴν ἐνταῦθα τὴν τῶν μικρῶν Παναθηναίων φησίν· ἦν γὰρ καὶ μεγάλα. καὶ ταῦτα μὲν ἦγον εἰς ἄστυ, Ἑκατομβαιῶνος μηνὸς τρίτῃ ἀπιόντος· ἐν οἷς πέπλος τις ἀνήγετο τῇ Ἀθηνᾷ, καθ' ὃν ἐδείκνυτο ἡ κατὰ τῶν Γιγάντων ταύτης τε καὶ ἡ τῶν Ὀλυμπίων νίκη θεῶν. τὰ δὲ μικρὰ Παναθήναια κατὰ τὸν Πειραιᾶ ἐτέλουν, ἐν οἷς καὶ πέπλος

[illegible]

328. [illegible] Θρᾷξ] [illegible] [illegible] λόγους [illegible] [illegible] Σεριφίους [illegible] [illegible] λόγου [illegible] [illegible] λόγῳ Κεφάλου.

329. Τὸ παλαιὸν [illegible] [illegible] ζῆν [illegible] [illegible] γάρ τινι τὸ ζῆν. [illegible] [illegible] προσομιλούντων. [illegible] [illegible] Ὑποσύρων] ἐστι τοῦ [illegible], [illegible], [illegible]. Σέριφος νῆσος μία τῶν Κυκλάδων καὶ πόλις ἐν αὐτῇ · οἱ [illegible] αὐτῆς Σερίφιοι.

330. Χρηματιστής] χρημάτων κτηστής. [illegible]] τρέφουσα, τέρπουσα, σαίνουσα. [illegible] [illegible].

333. Συμβόλαια] σημείωσαι ὅτι συμβόλαιά φησι τὰ [illegible]. Περὶ [illegible] [illegible], [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible] παγκρατίῳ διαλαμβάνεται (338.)

335. [illegible]] [illegible] ἔχοντας [illegible].

336. Εὐηθίζεσθε] [illegible], [illegible], [illegible].

337. Ἀνεκάγχασέ τε μάλα Σαρδάνιον] παροιμία ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων. οἱ γὰρ τὴν Σαρδὼ κατοικοῦντες, ὥς φησι Τίμαιος, ἐπειδὰν αὐτοῖς ἀπογηράσκωσιν οἱ γονεῖς καὶ περίεισιν ἱκανὸν βεβιωκότες χρόνον, ἄγουσιν αὐτοὺς ἐπὶ τὸν τόπον ἐν ᾧ μέλλουσι θάψαι, κἀκεῖ λάκκους ὀρύξαντες ἐπ' ἄκρων χειλῶν τοὺς μέλλοντας ἀποθνήσκειν καθίζουσιν, ἔπειτα ἕκαστος αὐτῶν σχίζαν ἔχων τύπτει τὸν ἑαυτοῦ πατέρα καὶ εἰς τοὺς λάκκους περιωθεῖ· τοὺς δὲ πρεσβύτας χαίροντας ἐπὶ τὸν θάνατον παραγίνεσθαι ὡς εὐδαίμονας, καὶ μετὰ γέλωτος καὶ εὐθυμίας ἀπόλλυσθαι. ἐπεὶ οὖν γελῶν μὲν συνέβαινεν, οὐ μέντοι δὲ ὁ γέλως ἐπ' ἀγαθῷ τινὶ ἐγίνετο, παρὰ τοῖς Ἕλλησι τὴν προκειμένην λεχθῆναι παροιμίαν. Κλείταρχος δέ φησι τοὺς Φοίνικας, καὶ μάλιστα Καρχηδονίους, τὸν Κρόνον τιμῶντας, ἐπάν τινος μεγάλου κατατυχεῖν σπεύδωσιν, εὔχεσθαι καθ' ἑνὸς τῶν παίδων, εἰ περιγένοιντο τῶν ἐπιθυμηθέντων, καθαγιεῖν αὐτὸν τῷ θεῷ. τοῦ δὲ Κρόνου χαλκοῦ παρ' αὐτοῖς ἑστῶτος, τὰς χεῖρας ὑπτίας ἐκτετακότος ὑπὲρ κριβάνου χαλκοῦ, τοῦτον ἐκκαίειν τὸ παιδίον. τῆς δὲ φλογὸς τοῦ ἐκκαιομένου πρὸς τὸ σῶμα ἐμπιπτούσης, συνέλκεσθαί τε τὰ μέλη, καὶ τὸ στόμα σεσηρὸς φαίνεσθαι τοῖς γελῶσι παραπλησίως, ἕως ἂν συσπασθὲν εἰς τὸν κρίβανον παρολίσθῃ. τὸν οὖν σεσηρότα γέλωτα σαρδάνιον ἐντεῦθεν λέγεσθαι, ἐπεὶ γελῶντες ἀποθνήσκουσι· σαίρειν δέ ἐστι τὸ διέλκειν τὸ στόμα καὶ χαίνειν. Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ φύλακα τῆς νήσου ποιήσασθαι, ἔμψυχον ὄντα, τοὺς πελάζοντάς φησι κατακαίοντα ἀναιρεῖν· ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα τὸν σαρδάνιόν φησι λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ·

ἤκουσα δέ, φησὶν ὁ Ταῤῥαῖος, ἐγχωρίων λεγόντων ὅτι ἐν Σαρδόνι γίγνοιτο βοτάνη σελίνῳ παραπλησία, ἧς οἱ γευσάμενοι δοκοῦσι μὲν γελῶντες, σπασμῷ δὲ ἀποθνήσκουσιν. οὕτω δὲ Σαρδόνιος ἂν λέγοιτο, καὶ οὐ Σαρδάνιος. μήποτε οὖν τὸ Ὁμηρικόν, ὅθεν καὶ ἡ παροιμία ἴσως ἐῤῥύη,

μείδησε δὲ θυμῷ
σαρδάνιον μάλα τοῖον,

τὸν ἀπ' αὐτῶν τῶν χειλῶν γέλωτα καὶ μέχρι τοῦ σεσηρέναι γιγνόμενον σημαίνει.

338. Οὗτος ὁ Πουλυδάμας ἀπὸ Σκοτούσσης ἦν, πόλεως Θεσσαλίας, διασημότατος παγκρατιαστής, ὑπερμεγέθης, ὃς ἐν Πέρσαις παρ' Ὤχῳ γενόμενος τῷ βασιλεῖ λέοντας ἀνεῖλε καὶ ὡπλισμένους γυμνὸς κατηγωνίσατο. παγκρατιαστὴς ὁ παγκράτιον ἀγωνιζόμενος. ἔστι δὲ τοῦτο ἀγών τις ἐξ ἀτελοῦς πάλης καὶ ἀτελοῦς πυγμῆς συγκείμενος. καὶ δήλη μὲν ἡ πάλη, πυγμὴ δὲ τὸ πρὶν ἐσκευάζετο οὕτως. εἰς στρόφιον, ὅ ἐστι στρογγύλον ζωνάριον, οἱ τέσσαρες τῶν δακτύλων ἐνεβιβάζοντο, καὶ ὑπερέβαλλον τοῦ στροφίου τοσοῦτον ὅσον, εἰ συνάγοιντο, πὺξ εἶναι. ξυνείχοντο δὲ ὑπὸ σειρᾶς, ἣν καθάπερ ἔρεισμα ἐβέβληντο ἐκ τοῦ πήχεος. νυνὶ δ' αὖ μεθέστηκε· ῥινοὺς γὰρ τῶν πιοτάτων βοῶν ἕψοντες, ἱμάντα ἐργάζονται πυκτικὸν ὀξὺν καὶ προεμβάλλοντα. ὁ δὲ ἀντίχειρ οὐ συλλαμβάνει τοῖς δακτύλοις τὸ πλήττειν, ὑπὲρ συμμετρίας τῶν τραυμάτων, ὡς μὴ πᾶσα ἡ χεὶρ μάχοιτο. ταῦτα Φιλόστρατός φησιν ἐν τῷ περὶ γυμναστικῆς.

340. Συκοφάντης λέγεται ὁ ψευδῶς τί τινος κατηγορῶν. κεκλῆσθαι δ' οὕτω παρ' Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα.[1] τῶν δὲ φαινόντων τοὺς ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντάς τινων φιλαπεχθημόνως οὕτω προσαγορευθῆναι.

341. Ὡς ἔπος εἰπεῖν] τὸν ὡς φαίνεται μόνον, καὶ ὡς ἐν λόγῳ μόνον εἰπεῖν. Ξυρεῖν ἐπιχειρεῖν λέοντα] παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν τι ἢ ἀδύνατα ποιεῖν ἐπιχειρούντων λεγομένη.

343. Τηθὴ] μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ. Κορυζῶντα] μωραίνοντα, μυξάζοντα· κόρυζα γὰρ ἡ μύξα, ἣν οἱ Ἀττικοὶ κατάῤῥουν φασίν.

344. Ὅσια] ὅσια τὰ βέβηλα, εἰς ἃ ἔστιν εἰσιέναι, ὡς Ἀριστοφάνης Λυσιστράτῃ

ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου,
ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον.

καὶ ὅσια χρήματα τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ Διονύσιον ὅσιον. Ἄλλως. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους τὰ μὲν τῶν θεῶν χρήματα ἱερά, τὰ δὲ κοινὰ τῆς πόλεως ὅσια ὀνομάζει. Οἱ κατὰ μέρη] τὸ ἑξῆς οὕτως· οἱ κατὰ μέρος τῶν τοιούτων κακουργημάτων ἀδικοῦντες.

346. Ἀρνυμένους] ἀντὶ τοῦ καταλλαττομένους.

347. Ἢ ζημίαν] τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ὡς μετ' ὀλίγον ἐρεῖ. Ἐπιτρέψαι] τὴν ἀρχὴν δηλονότι ἀναλαβέσθαι. Πράγματα] ἀντὶ τοῦ φροντίδας· ἐξ οὗ καὶ πολυπράγμων ὁ πολύφροντις.

[1] cf. Bœckh. (Staatshaushalt. d. Athen. 1. p. 46.)

ὠνομάσθη. Ὁ διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, κισσήρης καὶ πολὺ τὸ ἐνθουσιῶδες μετὰ χορείας ἔχων, κέκληται δὲ ἀπὸ τῶν συμβάντων περὶ αὐτόν. ὀνομάζεται γὰρ οὕτως ἢ ἀπὸ τοῦ κατὰ τὴν Νύσαν ἐπὶ ἄντρῳ διθύρῳ τραφῆναι, ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων ἐκ τοῦ Διὸς μηροῦ εὑρεθῆναι, ἢ ὅτι δὶς ἔδοξε γεννηθῆναι, ἔκ τε τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. εὑρεθῆναι μὲν τὸν διθύραμβον ἐν Κορίνθῳ ὑπὸ Ἀρίονός φασι. τῶν δὲ ποιητῶν τῷ μὲν πρώτῳ βοῦς ἆθλον ἦν, τῷ δὲ δευτέρῳ ἀμφορεύς, τῷ δὲ τρίτῳ τράγος, ὃν τρυγὶ κεχρισμένον ἀπῆγον.

396. Ἔστι τι εἶδος λέξεως] τὸ ἀπαγγελτικὸν ἅμα καὶ τὸ τῶν σπουδαίων μιμητικόν. τοῦτο γὰρ μόνον τὸ εἶδος τῆς ἑρμηνείας ἀγαπᾷ ὁ Πλάτων ἐν τῇ ἀριστοκρατίᾳ. Ἡ ἐμὴ νικᾷ] κατ' ἔλλειψιν τοῦ ψῆφος ἢ γνώμη.

398. Μύρον κατὰ τῆς κεφαλῆς] παροιμία ἐπὶ τῶν ἀπὸ τῆς χρείας ἀφιεμένων. καὶ γὰρ ἐπὶ τῶν ἱερῶν ἐποίουν οἱ ἄνθρωποι μύρῳ κατὰ τῆς κεφαλῆς καταχεῖσθαι, ὡς ἂν σχολάζοντας ἀπὸ τῶν ἔργων καὶ μόνον σχολάζοντες θρησκείᾳ. καὶ πάλιν τοὺς ἀπὸ δουλείας μεταγομένους ἐπ' ἐλευθερίαν ἐρίου κάταγμα κατὰ τῆς κεφαλῆς ἐνδεσμούμενον τὸ ἐπίσημον. Ἄλλως. μύρον καταχέαν τῶν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς ἀγαλμάτων θέμις ἦν, ἐρίῳ τε στέψαν αὐτά, καὶ τοῦτο κατά τινα ἱερατικὸν νόμον, ὡς ὁ μέγας Πρόκλος φησίν.

399. Ὁ Πρόκλος φησὶ τὴν μὲν Δώριον ἁρμονίαν ὡς παιδείαν ἐξαρκεῖν ὡς καταστηματικήν, τὴν δὲ Φρύγιον εἰς ἱερὰ καὶ ἐνθουσιασμοὺς ὡς ἐκστατικήν. Δεομένῳ ἢ διδάσκοντι] ἵνα ἄλλον νοήσωμεν προσερχόμενον τῷ μουσικῷ χάριν τινὸς δεήσεως καὶ ἂν λέγοι, ἵνα μὴ πεισθῇ τῷ προσιόντι καὶ μεταπείθοντι ὁ μουσικός. Μαρσύας Ὀλύμπου τοῦ αὐλητοῦ υἱὸς ἦν, ἄκρος δὲ τὴν τέχνην οὕτως ὡς διαμιλληθῆναι θαῤῥῆσαι τῷ Ἀπόλλωνι περὶ μουσικῆς. δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, κατήκουσαν μὲν αἱ Μοῦσαι ἀμφοῖν, γίνεται δὲ ἡ ψῆφος Ἀπόλλωνι. δαρείς τε εἰς τιμωρίαν ὁ Μαρσύας μετέδωκε κλήσεως τῷ ποταμῷ τῆς αὐτῆς, τῷ ἀπὸ τῆς ῥοῆς τοῦ αἵματος αὐτοῦ γεγονότι.

400. Ὁ ἐνόπλιος σύνθετός ἐστιν ἐξ ἰάμβου καὶ δακτύλου καὶ τῆς παριαμβίδος, ἀνδρικὸς πρὸς πράξεις ἀναγκαίας καὶ ἀκουσίους, ἐξορμητικὸς εἰς πόλεμον. ὁ δὲ ἡρῷος δάκτυλος, ἁπλοῦς, κοσμιότητος ποιητικὸς καὶ ὁμαλότητος, παιδευομένοις προσήκων, ὡς ἰσότητι κεκοσμημένος, ὡς ἐν τῷ εἰς ταῦτα ὑπομνήματι Πρόκλος φησίν. Ὑποκοριζόμενοι] διασύροντες, ὡς Ξενοφῶν, ἢ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες, ὡς Δημοσθένης. κολακεύοντες, ὑποκρινόμενοι.

401. Ἐκεῖ] ἐν τῇ ἀριστοκρατίᾳ.

403. Ἀπειροκαλίας] τῆς ἀπειράτως τοῦ καλοῦ ἐχούσης ἕξεως.

404. Ἀκροσφαλεῖς] ἄκρως σφαλλομένους. Ἡδυσμάτων] ἀρτυμάτων.

405. Λυγιζόμενος[1]] στρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων

[1] Hoc Platoni reddendum cum Porsono (Miscell. p. 206). Idem ἀποσυνάγειν reposuit Phileb. p. 163, 6 et ἐχέγγυος Alcib. 1. p. 371, 21.

λόγος δέ ἐστι φυτὸν ἱμαντῶδες. τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν φασί· καὶ αἱ μάστιγες αἷς οἱ ἀθληταὶ τύπτονται λύγοι καλοῦνται. Ἄτοπα νῦν, ἃ μή ἐστι τοπάσαι, ὅ ἐστιν ὑπονοῆσαι. σημαίνει δὲ καὶ κακὸν καὶ ἄλογον καὶ θαυμάσιον.

406. Ἡρόδικον] τὸν Σηλυμβριανόν φησιν ἰατρόν. οὗτος ἦν, παρ' ᾧ ὁ Κῷος φοιτήσας Ἱπποκράτης κάτω ἑαυτοῦ βαίνειν ὅσον ἐπὶ τῇ ἰατρικῇ τοὺς πάντας ἀπέλιπεν. Ἀπέκναισε] διέφθειρεν, ὡς νῦν. σημαίνει δὲ καὶ διέκοψε καὶ ἐλύπησεν.

407. Μὴ μελετῶντι] τὸ ἀρετὴν ἀσκεῖν.

408. Κυκεών ἐστι κρᾶμα ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ τυροῦ καὶ ὕδατος ἀναμεμιγμένον, ᾧ ἐχρῶντο πρὸς πόσιν. Μίδας Φρυγῶν βασιλεύς, ὃς δοκεῖ πλουσιώτατος γεγονέναι. τοῦτόν φασι καὶ ὄνου ὦτα ἔχειν, διὰ τὸ πρῶτον ὠτακουσταῖς αὐτὸν χρήσασθαι, παρ' ὅσον καὶ τὸ ζῷον ὁ ὄνος ἀκουστικώτατον.

412. Μινυρίζων] θρηνῶν, ἢ ἠρέμα ᾄδων. Γεγανωμένος] λελαμπρυσμένος. Ἀκράχολοι] ἄκρως χολούμενοι.

414. Τὸ ψεῦδος Φοινικικόν φησιν ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων. οὗτος γὰρ Ἀγήνορος τοῦ Ποσειδῶνος καὶ Λιβύης ἦν, ἧς ἡ Φοινίκη χώρα.

415. Ἄλλοι ἄνθρωποι] ἀπὸ κοινοῦ τὸ πεισθεῖεν. Ἀγάγῃ] τὸ τοὺς ἔπειτα πεῖσαι.

416. Ἂν μὴ πᾶσα ἀνάγκη] εἰ μὴ τὴν ἀναγκαίαν, ἱμάτιόν φημι καὶ βρώματα εὐτελῆ.

IV.

420. Ἐπισίτιοι] οἱ τροφῆς χάριν ἐργαζόμενοι. Φάρμακα] νῦν τὰ χρώματα, ἢ βάμματα. Ξυστίς ἐστι λεπτὸν ὕφασμα, περιβόλαιον, ἢ χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα, ὅ ἐστιν ἐπὶ τῇ πόρπῃ προσκόσμημα ἢ λίθινον ἢ χρυσοῦν ἢ ἀργυροῦν· πόρπη δέ ἐστιν ἡ ἄνω τῆς χλαμύδος σύνδεσις. οἱ δὲ ξυστίδα τὸ λεπτόν, παρὰ τὸ ἐξύσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.

421. Νευρορράφους εἶπε Λυκοῦργος τοὺς τὰ νεῦρα ῥάπτοντας ταῖς λύραις. Χυτρεὺς] κεραμεύς, ἀφ' ἑνὸς εἴδους τῶν κεραμευομένων, τῆς χύτρας.

422. Πόλεις παίζειν εἶδός ἐστι πεττευτικῆς παιδιᾶς· μετῆκται δὲ καὶ εἰς παροιμίαν.

423. Φαῦλον τὸ ῥᾴδιον, ὡς νῦν. εὕρηται δὲ σημαῖνον καὶ τὸ ἁπλοῦν καὶ κακὸν καὶ μοχθηρὸν καὶ τυχὸν καὶ μέγα.

426. Χαριέντως] εὐτραπέλως, σκωπτικῶς. Ὕδραν τέμνειν, παροιμία ἐπὶ τῶν ἀμηχάνων εἰρημένη, διὰ τὰς τῆς ὕδρας κεφαλὰς ἃς τέμνων Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει, ταύτης ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων κεφαλάς.

427. Δελφοὶ πόλις ἐπὶ τοῦ Παρνασσοῦ πρὸς τῇ Φωκίδι.

429. Δευσοποιὸν] ἔμμονον, δυσαπόπλυτον, ὡς νῦν. σημαίνει δὲ καὶ

του βαθέα. Ῥυπαίνων] [illegible], [illegible]. τὸ δὲ [illegible] ἀπὸ [illegible].

430. Χαλάστρα πόλις τῆς Μακεδονίας [illegible], ὅθεν τὸ Χαλαστραῖον νίτρον [illegible] διὰ [illegible]. [illegible] δὲ καὶ λίτ-ρα. Κονία [illegible], [illegible]. [illegible] [illegible] [illegible] γὰρ [illegible] ἡ [illegible].

431. Ἔα] [illegible] ἢ ἔστω. [illegible] τι [illegible], ὡς [illegible] [illegible] δὲ καὶ τι [illegible], καὶ [illegible], καὶ [illegible], καὶ μετὰ χρη-στότητος, καὶ [illegible] ἡ [illegible].

432. Ἐκ γὰρ [illegible]] [illegible] [illegible]. Ἰοὺ ἰού] σχετλιαστικὸν ἐπίρρημα.

434. Πάντα τἄλλα μεταλλαττόμενα] ἀντὶ τοῦ πάσας τὰς ἄλλας τέχνας [illegible] ἐπ᾽ αὐτοῦ μόνου, [illegible] ἑτέρου, [illegible] ἄλλῳ καὶ ἄλλῳ.

436. Χαριεντίζεσθε] εὐτραπελεύεσθε, σκώπτετε, ὡς Ἀριστοφάνης
χαριεντίζεις καὶ καταπαίζεις ἡμῶν καὶ [illegible].

437. Διασαφητικὸν τὸ ἤ, ἀντὶ τοῦ ἤπερ, οἷον ἤπερ ταύτῃ.

439. Τῷ αὐτῷ] τῷ ἑαυτοῦ μέρει. ἡ μὲν γὰρ ἐπιθυμία ἄγει πρὸς τὸ πιεῖν, ὁ δὲ λόγος ἀνθέλκει.

440. Ἐμπλήσθητε] ὀφθαλμοὶ δηλαδή. Τοῦ τοιούτου λέγει, τοῦ συμμαχεῖν τῷ λόγῳ τὸν θυμόν. ὁ δὲ νοῦς οὕτως· ταῖς δὲ ἐπιθυμίαις σε κοινωνήσαντα ταῖς ἀλογίστοις, καὶ γινώσκοντά σε τοῦτο ἐκ τῆς πείρας, οὐχ ὑπολαμβάνω σε εἰπεῖν ὅτι ᾔσθημαι ἐν ταῖς τοιούταις ἀγαθαῖς ἡδοναῖς τὸν θυμὸν ἀντιπράττοντα ταῖς ἐπιθυμίαις, ὥσπερ ἐπὶ ταῖς τοῦ Λεοντίου ἀλόγοις ἡδοναῖς ἀντέπραττεν.

443. Νεάτη ἤγουν νήτη ὑπερβολαίων ἡ ἐσχάτη χορδὴ τοῦ δὶς διὰ πασῶν συστήματος, ὑπάτη δὲ ἡ μετὰ τὸν προλαμβανόμενον λεγόμενον φθόγγον πρώτη χορδὴ τοῦ αὐτοῦ τοῦ δὶς διὰ πασῶν συστήματος. μέση δὲ καὶ αὐτὴ ἤτοι φθόγγος ἢ χορδὴ ἡ τελευταία μὲν τοῦ πρώτου διὰ πασῶν, ἀρχὴ δὲ τοῦ δευτέρου, ὡς εἶναι τούτων κοινήν, ὡς Πτολεμαῖός τέ φησι καὶ οἱ ἄλλοι μουσικοί.

V.

445. Ἦα δισυλλάβως τὸ ἐπορευόμην. σὺν τῷ ἰῶτα γράφεται· οἱ γοῦν Ἴωνες ἤϊα λέγουσι, καὶ ἤϊσαν τὸ ἤεσαν. καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον "ὅτι ἀκμάζοντες ἤϊσαν ἐς ταυτόν." οἱ δὲ Ἴωνες ἤεσαν καὶ ἤϊσαν.

451. Ἀδράστειαν] τρεῖς Μοίρας εἶναι θυγατέρας Ἀνάγκης φασίν, Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἣν καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι περ οὐκ ἄν τις αὐτὴν ἀποδράσειεν, ἢ ὅτι ἀειδράστειά τις οἷόν ἐστιν, ὡς ἀεὶ δρῶσα τὰ καθ᾽ ἑαυτήν, ἢ ὡς πολυδράστεια (πολλὰ γὰρ δρᾷ) τοῦ ἄλφα πλῆθος δηλοῦντος ὡς ἐπὶ τῆς ἀξύλου ὕλης. ἡ δὲ αὐτὴ καὶ Νέμεσις λέγεται ἀπὸ τῆς νεμήσεως, ὡς διαιροῦσα καὶ νέμουσα τὸ ἐπιβάλλον ἑκάστῳ.

452. Χαριέντων] νῦν τῶν ἐν ἔργῳ τὸ σκώπτειν ποιουμένων. Φιλοπαίσμων Ἀττικῶς ὁ φιλοπαίγμων.

453. *Νεῖ*] *νῦν κολυμβᾷ· σημαίνει δὲ καὶ τὸ νήθει. Νευστέον*] *κολυμβητέον. Δελφῖνα*] *ὡς τὸν Ἀρίονα δηλονότι τὸν Μηθυμναῖον. Μήθυμνα πόλις ἐν Λέσβῳ τῇ νήσῳ, ἀφ' ἧς Ἀρίων, κιθαρῳδὸς Περιάνδρου τοῦ Κορινθίων τυράννου. οὗτος ἱκανῶς ἔχων χρημάτων, ἐπιθυμίᾳ πλειόνων εἴς τε Ἰταλίαν καὶ Σικελίαν ἧκεν, ἀφ' ὧν ἀπὸ τῆς τέχνης χρήματα συλλέξας πολλὰ εἰς Κόρινθον ἐπαναπλεῖ. ἐν ᾧ τῶν ναυτῶν διὰ τὰ τοῦδε χρήματα βουλομένων αὐτὸν ἀνελεῖν, τούτων μὲν ἐκείνοις, εἰ ἀφεῖεν, ἐξίστατο, πείθειν δὲ οὐκ ἔχων ἐδεῖτο αὐτῶν ἐπὶ τῆς πρώρας ᾆσαι βραχύ, εἶτα εἰς τὴν θάλασσαν ἅλλεσθαι. καὶ οἱ μὲν ἔδωκαν, ὁ δὲ ᾄσας ἑαυτὸν ἔρριψε· δελφὶς δὲ ὑποθεὶς ἑαυτὸν τῷ κιθαρῳδῷ εἰς Ταίναρον κομίζει τὸ τῆς Λακωνικῆς ἀκρωτήριον. περὶ ταύτης οὖν τῆς ἱστορίας ἐνταῦθα φησίν. Ἦ*] *διασαφητικόν, ὡς νῦν, ψιλούμενον καὶ περισπώμενον. ἔστι δὲ καὶ ἀπορηματικόν, ἀλλὰ δὴ καὶ ἐρωτηματικόν. εἰ δὲ βαρύνοιτο, διαζευκτικὸν δηλοῖ.*

454. *Ἀνδρείως*] *ἀντὶ τοῦ θρασέως. Τὸ πρὸς αὐτὰ τεῖνον*] *τὸ ἐπιτήδειον.*

455. *Ποπάνων*] *πλακουντίων πλατέων καὶ λεπτῶν καὶ περιφερῶν. ἕψημα δέ ἐστιν ὃ ἔνιοι ἐραῖον καλοῦσιν, οἱ δὲ γλυκύ.*

456. *Εὐχαῖς ὅμοια*] *τὰ μὴ καθήκοντα· ἔστι γὰρ ὅτε καὶ τοιαῦτα εὐχόμεθα.*

460. *Σπαργῶσι*] *Ὅμηρος*

οὔθατα γὰρ σφαραγεῦντο.

τοὺς μαστοὺς πλήρεις ἔχουσι γάλακτος, καὶ σπαράττονται ὑπὸ θλίψεως, δέονταί τε τοῦ ἐκκριθῆναι αὐτό. σημαίνει δὲ καὶ ὁρμῶσι καὶ ὀργῶσι καὶ ταράττονται. Τίτθαις ταῖς τοὺς τίτθους παρεχούσαις, τροφοῖς δὲ ταῖς τὸν ἄλλον ἀναδεχομέναις πόνον, αἳ καὶ τιθῆναι καλοῦνται, αἵ τινες περιφέρουσι, προσπαίζουσι, καὶ τῆς ἄλλης τροφῆς τῆς μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ἔχουσιν.

464. *Βιαίων δίκη βίας δίκης διαφέρει. βιαίων μὲν γάρ ἐστιν, εἴ τις βίᾳ ἐπεισελθών τι ἔλαβεν ἀλλότριον ἢ ἐκ χωρίου ἢ ἐξ οἰκίας, βιαίων ἐκρίνετο. ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσιν βίας ἔγκλημά ἐστι κατὰ τῶν κόρην ἁρπασάντων ἢ παῖδα ἐλεύθερον. σημειωτέον δὲ ὅτι βιαίων γράφουσι τὴν δίκην οἱ παλαιοί, καὶ οὐδεὶς βίας. αἰκίας δὲ δίκη ἐστίν, ὅταν ἐκ προχείρου πάθους τινὸς καὶ μὴ ἐκ προνοίας ἀδίκων τις ἄρξῃ χειρῶν. εἰσήγετο δὲ πρὸς τοὺς τεσσαράκοντα.*

465. *Πορισάμενοι*] *κλέψαντες, ἤ τι τοιοῦτον. Οἰκέτας τοὺς οἰκείους, οὐχὶ δὲ τοὺς δούλους μόνον, ὡς ἡ νῦν συνήθεια. ἔστι καὶ παρ' Ἡροδότῳ ἡ χρῆσις. Ὀλυμπιονῖκαι οἱ τοὺς ἐν Ὀλύμπῳ νικῶντες ἀγῶνας. μετὰ Πίσον γὰρ καὶ Πέλοπα καὶ Ἡρακλέα, τοὺς πρώτους διαθεμένους αὐτούς, ἠμελήθησαν ἐπὶ ὀκτὼ καὶ εἴκοσιν Ὀλυμπιάδας. Ἴφιτος δὲ καὶ Λυκοῦργος οἱ Ἡρακλεῖδαι καὶ Κλεοσθένης ὁ Κλεονίκου ἐπιγενόμενοι, καὶ εἰς ὁμόνοιαν τοὺς Πελοποννησίους παρακαλοῦντες, πέμπουσι περὶ τοῦ ἀγῶνος ἐρωτῶντες εἰς Δελφούς. καὶ ὁ Ἀπόλλων χρᾷ τοῦτον ἀνανεοῦν, καὶ τοῖς νικῶσιν ἆθλον διδόναι κότινον, ὅ ἐστιν ἐξ ἀγριελαίας στέφανον. οἱ δὲ τοῖς Ἠλείοις ἐπιτρέπουσι διαθεῖναι τὸν*

ἀγῶνα· οὗτοι δὲ τοῖς Πισάταις. ἄγεται δὲ διὰ πέντε ἐτῶν μέσων τεσσάρων συντελουμένων. Ἦλις δὲ καὶ Πίσα πόλεις Πελοποννήσου, τριακοσίους σταδίους ἀλλήλων ἀπέχουσαι. Ἀναδοῦνται] ἀναπλέκονται, στέφονται. Οὐκ οἶδα ὅτου] τοῦ Ἀδειμάντου δηλονότι. ἐξέκλινε δὲ τὸ τοῦ λόγου σκληρὸν διὰ τοῦ ἀορίστου.

467. Ἀλλὰ σμικρὸν] ὁ νοῦς οὗτος· Ἆρα, ὦ Γλαύκων, ἡγεῖ οὐκ εἶναι μέγιστον κέρδος τὸ τοὺς μέλλοντας γενήσεσθαι παῖδας ἐμπειροπολέμους μετὰ χρόνον αὐτοπτεῖν ἢ μὴ τὰ περὶ πόλεμον; σχεδὸν δὲ τὸ Ὁμηρικὸν παραφράζει·

πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο,
Εὔφορβος.

Οὐκοῦν] ἀντὶ τοῦ οὐχ οὕτως, καθ' ὑπόκρισιν. Ὅσα ἄνθρωποι] ἀντὶ τοῦ κατὰ ἀνθρωπίνην φύσιν· οἱ γὰρ θεοὶ πάντα ἴσασιν.

468. Πάντων, ἔφη, μάλιστα] συγκαταθετικώτερον δοκεῖ μοι. Ἀγαθῷ ὄντι] ἀγαθοὶ πλεῖστοι ἐκ τοῦ τιμᾶσθαι. τὸ Ὁμηρικὸν δὲ λέγει

ἐπεὶ οὐκ ἄρα τις χάρις ἐστὶν·
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζει.

Ταῦτά γε] τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ῥαπισθέντων Ὁμηρικῶν λόγων ἐν τοῖς πρώτοις.

469. Ὅλῳ καὶ παντὶ διαφέρειν, παροιμία ἐπὶ τῶν πάντῃ διαφερόντων λεγομένη, παρ' ὅσον τὰ πράγματα καὶ ὅλα τυγχάνει ὄντα, καθ' ὃ συνεχῆ ἐστὶν ἑαυτοῖς, καὶ μέρη ἔχει, καθ' ὃ καὶ διωρισμένα τούτοις πᾶσίν ἐστι. τὸ οὖν πάντῃ διαφέρον τινός, ἅτε δὴ καὶ καθ' ὅλον καὶ κατὰ μέρος τοῦδε πᾶν διενεγκόν, ὅλῳ καὶ παντὶ λέγεται διαφέρειν. Ἀναιρέσεις τὰς ὑπὸ τῶν ἐν πολέμῳ ἡττηθέντων ἀναλήψεις τῶν νεκρῶν σωμάτων παρὰ τῶν οἰκείων αὐτοῖς.

470. Ἀπὸ τρόπου τὸ αἰτίας χωρίς, πρὸς τρόπου δὲ τὸ κατ' αἰτίαν. ἀλιτηριώδης πρὸς βίαν ποιουμένη, ἢ ἁμαρτανομένη, ἐκ τοῦ ἀλιτήριοι ὀνόματος παρηγμένη. κατὰ Διονύσιον γὰρ τὸν Ἁλικαρνασσέα, λιμοῦ γενομένου Ἀθήνησιν οἱ πένητες προφερόμενα ἄλευρα διήρπαζον· ἐλέχθησαν οὖν οἱ τοὺς ἀλοῦντας ἐπιτηροῦντες ἀλιτήριοι. διέτεινε δὲ τὸ ὄνομα, ὥστε καὶ ἐπὶ πάντων τῶν μετὰ βίας τι ποιούντων ἢ ἁμαρτανόντων λέγεσθαι.

472. Μὴ διάτριβε] μὴ καθ' ὑπέρθεσιν λέγε. Ἆρ' οἷόν τε] ὁ νοῦς οὕτως· Ἆρα ἀκριβῶς, ὡς ὁ λόγος ἀπαιτεῖ, ἐνδέχεται τοὺς ἀνθρώπους πράττειν, ἢ ἡ πρᾶξις κατὰ φύσιν ἧττον ἅπτεται ἀληθείας ἤπερ ἡ λέξις καὶ ὁ λόγος; ἀλλ' ἐν μὲν τῷ οὐρανῷ εὑρίσκομεν καὶ κύκλον ἐν σώματι καὶ σφαῖραν καὶ τάξιν καὶ ἁρμονίαν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ ἰσότητα καὶ ἁπλῶς πάντα σύμφωνα τῷ λόγῳ· ἐν δὲ γῇ τοῦτο γενέσθαι δυσχερές.

473. Τί λέγει; ὅπερ ἐπὶ Μάρκου τοῦ φιλοσόφου, βασιλέως Ῥωμαίων, ἀπέβη. Κακῶν παῦλα] τῶν πολλῶν ἀνθρώπων. τοῦτο δὲ καὶ Εὐριπίδης λέγει·

πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων.[1]

[1] *Sed is locus est Sophoclis.* Porson. Miscell. p. 272.

475. Ἀθήνησι δέκα μὲν ἦσαν φυλαί, διῄρητο δ' ἑκάστη τούτων εἰς τρία, εἰς τριττύας, εἰς ἔθνη, εἰς φρατρίας. οἱ οὖν ἑκάστης τριττύος ἄρχοντες τριττύαρχοί τε καλοῦνται καὶ τριττυαρχοῦσιν. Κακόσιτον] κακόχυμον, βεβλαμμένον. Διονύσια ἑορτὴ Ἀθήνησι Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Ληναῖα μηνὸς Μαιμακτηριῶνος, τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος.

479. Παίδων αἰνίγματι] Κλεάρχου γρῖφος·

αἶνός τίς ἐστιν ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδών,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

Ἄλλως.

ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ βαλὼν τε κοὐ λίθῳ διώλεσεν.

Νυκτερίδα ὁ εὐνοῦχος νάρθηκι κισήρει.

VI.

485. Φιλοτίμων καὶ ἐρωτικῶν] ὅτι ἔλεγεν ὅτι τριττυαρχοῦσιν οἱ φιλότιμοι πολλάκις, καὶ οἱ ἐρωτικοὶ συμπάσχοντες μελιχλώρους καλοῦσι τοὺς ὠχρούς. Ἑκόντας εἶναι] ἀντὶ τοῦ ἐθελουσίους. τὸ δ' εἶναι παρέλκει Ἀττικῶς.

486. Ἀνελευθερία ἐστὶν ἕξις φαύλη περὶ χρήματα, μὴ ἀναλίσκουσα ταῦτα εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. σμικρολογία δέ ἐστι φειδωλία, περὶ χυδαίων τινῶν ἢ φροντίδα ἢ συλλογὴν ποιουμένη. μεγαλοπρέπειά ἐστιν ἕξις βελτίστη περὶ δαπάνας, ἃς τῷ μεγάλῳ καὶ πρέποντι γίγνεσθαι προσήκει.

487. Πρὸς μὲν ταῦτα] ὁ νοῦς οὗτος· οἱ πολλοὶ τῶν ἀκουόντων ταῦτα, διὰ τὸ μὴ εἶναι διαλεκτικώτατοι, ἐπιστομίζονται ῥᾳδίως ὑπὸ σοῦ ὦ Σώκρατες, ὄντος δεινοῦ ἐν διαλεκτικῇ. καὶ σὺ μὲν οὐκ ἀληθῆ λέγεις ταῦτα λέγων, ἐκεῖνοι δὲ ἀδυνατοῦσιν ἐλέγχειν σε. ἀλλ' ἐκεῖνοι μὲν μὴ τολμῶντες πρὸς σὲ ἀντιλέγειν σιωπῶσιν· αὐτὰ δὲ τὰ πράγματα ἐναργῶς φαίνεται μὴ συμφωνοῦντα τοῖς ὑπὸ σοῦ λεγομένοις. Ἀλλοκότους] ἐξηλλαγμένους, ἐναντίους, ξένους, πλημμελεῖς, ἀλλοφυεῖς.

488. Εἰκάζω τὸ ὁμοιῶ, καὶ τὸ εἰκονίζω τὸ αὐτὸ δηλοῖ. χρῆται δὲ τῇ λέξει ὅ τε Ξενοφῶν καὶ ὁ Ἀριστοφάνης καὶ ἄλλοι. Ἄλλα ἄλλοι] ἀλλὰ μᾶλλον πείθωσιν, ἀπὸ κοινοῦ. Μανδραγόρᾳ] ὑπνωτικὸς ὁ καρπὸς τοῦδε τοῦ φυτοῦ. Θεόφραστος δὲ ἐν τῇ περὶ φυτῶν πραγματείᾳ τὴν ῥίζαν τοῦδε ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν πρός τε τὰ ποδαγρικὰ καὶ πρὸς ὕπνον μᾶλλον εἶναι χρησίμην φησί, καὶ δὴ πρὸς φίλτρα. διδόασιν δὲ ἐν οἴνῳ ἢ ὄξει. Ἀδολέσχην] μακρολόγον, φλύαρον.

489. Κομψευσάμενος] πανουργευσάμενος. κομψευσάμενον τὸν Εὔβουλόν φησιν, ὃς ὑπὸ Σωκράτους ἐρωτηθεὶς "ὦ Εὔβουλε, σοφὸς ἐθέλεις εἶναι ἢ πλούσιος;" ἔφη πλούσιος· τοὺς γὰρ σοφοὺς ὁρᾷν ἐπὶ ταῖς τῶν πλουσίων θύραις καθεύδοντας. πρὸς δ τὸν Σωκράτη πάνυ ἀγχίνως εἰ-

ἀγῶνα· οὗτοι δὲ τοῖς Πισάταις. ἄγεται δὲ διὰ πέντε ἐτῶν μέσον τεσσάρων συντελουμένων. Ἦλις δὲ καὶ Πίσα πόλεις Πελοποννήσου, τριακοσίους σταδίους ἀλλήλων ἀπέχουσαι. Ἀναδοῦνται] ἀναπλέκονται, στέφονται. Οὐκ οἶδα ὅτου] τοῦ Ἀδειμάντου δηλονότι. ἐξέκλινε δὲ τὸ τοῦ λόγου σκληρὸν διὰ τοῦ ἀορίστου.

467. Ἀλλὰ σμικρὸν] ὁ νοῦς οὗτος· Ἆρα, ὦ Γλαύκων, ἡγεῖ οὐκ εἶναι μέγιστον κέρδος τὸ τοὺς μέλλοντας γενήσεσθαι παῖδας ἐμπειροπολέμους μετὰ χρόνον αὐτοπτεῖν ἢ μὴ τὰ περὶ πόλεμον; σχεδὸν δὲ τὸ Ὁμηρικὸν παραφράζει·

πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο,
Εὔφορβος.

Οὐκοῦν] ἀντὶ τοῦ οὐχ οὕτως, καθ' ὑπόκρισιν. Ὅσα ἄνθρωποι] ἀντὶ τοῦ κατὰ ἀνθρωπίνην φύσιν· οἱ γὰρ θεοὶ πάντα ἴσασιν.

468. Πάντων, ἔφη, μάλιστα] συγκαταθετικώτερον δοκεῖ μοι. Ἀγαθῷ ὄντι] ἀγαθοὶ πλεῖστοι ἐκ τοῦ τιμᾶσθαι. τὸ Ὁμηρικὸν δὲ λέγει

ἐπεὶ οὐκ ἄρα τις χάρις ἐστίν·
ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζει.

Ταῦτά γε] τοῦτο πρὸς ἀντιδιαστολὴν τῶν ῥαπισθέντων Ὁμηρικῶν λόγων ἐν τοῖς πρώτοις.

469. Ὅλῳ καὶ παντὶ διαφέρειν, παροιμία ἐπὶ τῶν πάντῃ διαφερόντων λεγομένη, παρ' ὅσον τὰ πράγματα καὶ ὅλα τυγχάνει ὄντα, καθ' ὃ συνεχῆ ἐστὶν ἑαυτοῖς, καὶ μέρη ἔχει, καθ' ὃ καὶ διωρισμένα τούτοις πᾶσίν ἐστι. τὸ οὖν πάντῃ διαφέρον τινός, ἅτε δὴ καὶ καθ' ὅλον καὶ κατὰ μέρος τοῦδε πᾶν διενεγκόν, ὅλῳ καὶ παντὶ λέγεται διαφέρειν. Ἀναιρέσεις τὰς ὑπὸ τῶν ἐν πολέμῳ ἡττηθέντων ἀναλήψεις τῶν νεκρῶν σωμάτων παρὰ τῶν οἰκείων αὐτοῖς.

470. Ἀπὸ τρόπου τὸ αἰτίας χωρίς, πρὸς τρόπου δὲ τὸ κατ' αἰτίαν. ἀλιτηριώδης πρὸς βίαν ποιουμένη, ἢ ἁμαρτανομένη, ἐκ τοῦ ἀλιτήριοι ὀνόματος παρηγμένη. κατὰ Διονύσιον γὰρ τὸν Ἁλικαρνασσέα, λιμοῦ γενομένου Ἀθήνησιν οἱ πένητες προφερόμενα ἄλευρα διήρπαζον· ἐλέχθησαν οὖν οἱ τοὺς ἀλοῦντας ἐπιτηροῦντες ἀλιτήριοι. διέτεινε δὲ τὸ ὄνομα, ὥστε καὶ ἐπὶ πάντων τῶν μετὰ βίας τι ποιούντων ἢ ἁμαρτανόντων λέγεσθαι.

472. Μὴ διάτριβε] μὴ καθ' ὑπέρθεσιν λέγε. Ἆρ' οἷόν τε] ὁ νοῦς οὕτως· Ἆρα ἀκριβῶς, ὡς ὁ λόγος ἀπαιτεῖ, ἐνδέχεται τοὺς ἀνθρώπους πράττειν, ἢ ἡ πρᾶξις κατὰ φύσιν ἧττον ἅπτεται ἀληθείας ἤπερ ἡ λέξις καὶ ὁ λόγος; ἀλλ' ἐν μὲν τῷ οὐρανῷ εὑρίσκομεν καὶ κύκλον ἐν σώματι καὶ σφαῖραν καὶ τάξιν καὶ ἁρμονίαν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ ἰσότητα καὶ ἁπλῶς πάντα σύμφωνα τῷ λόγῳ· ἐν δὲ γῇ τοῦτο γενέσθαι δυσχερές.

473. Τί λέγει; ὅπερ ἐπὶ Μάρκου τοῦ φιλοσόφου, βασιλέως Ῥωμαίων, ἀπέβη. Κακῶν παῦλα] τῶν πολλῶν ἀνθρώπων. τοῦτο δὲ καὶ Εὐριπίδης λέγει·

πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων.[1]

[1] *Sed is locus est Sophoclis.* Porson. Miscell. p. 272.

475. Ἀθήνησι δέκα μὲν ἦσαν φυλαί, διῄρητο δ' ἑκάστη τούτων εἰς τρία, εἰς τριττύας, εἰς ἔθνη, εἰς φρατρίας. οἱ οὖν ἑκάστης τριττύος ἄρχοντες τριττύαρχοί τε καλοῦνται καὶ τριττυαρχοῦσιν. Κακόσιτον] κακόχυμον, βεβλαμμένον. Διονύσια ἑορτὴ Ἀθήνησι Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Ληναῖα μηνὸς Μαιμακτηριῶνος, τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος.

479. Παίδων αἰνίγματι] Κλεάρχου γρῖφος·

αἶνός τίς ἐστιν ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδών,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι.

Ἄλλως.

ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως,
ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ βαλών τε κοὐ λίθῳ διώλεσεν.

Νυκτερίδα ὁ εὐνοῦχος νάρθηκι κισήρει.

VI.

485. Φιλοτίμων καὶ ἐρωτικῶν] ὅτι ἔλεγεν ὅτι τριττυαρχοῦσιν οἱ φιλότιμοι πολλάκις, καὶ οἱ ἐρωτικοὶ συμπάσχοντες μελιχλώρους καλοῦσι τοὺς ὠχρούς. Ἑκόντας εἶναι] ἀντὶ τοῦ ἐθελουσίους. τὸ δ' εἶναι παρέλκει Ἀττικῶς.

486. Ἀνελευθερία ἐστὶν ἕξις φαύλη περὶ χρήματα, μὴ ἀναλίσκουσα ταῦτα εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. σμικρολογία δέ ἐστι φειδωλία, περὶ χυδαίων τινῶν ἢ φροντίδα ἢ συλλογὴν ποιουμένη. μεγαλοπρέπειά ἐστιν ἕξις βελτίστη περὶ δαπάνας, ἃς τῷ μεγάλῳ καὶ πρέποντι γίγνεσθαι προσήκει.

487. Πρὸς μὲν ταῦτα] ὁ νοῦς οὗτος· οἱ πολλοὶ τῶν ἀκουόντων ταῦτα, διὰ τὸ μὴ εἶναι διαλεκτικώτατοι, ἐπιστομίζονται ῥᾳδίως ὑπὸ σοῦ ὦ Σώκρατες, ὄντος δεινοῦ ἐν διαλεκτικῇ. καὶ σὺ μὲν οὐκ ἀληθῆ λέγεις ταῦτα λέγων, ἐκεῖνοι δὲ ἀδυνατοῦσιν ἐλέγχειν σε. ἀλλ' ἐκεῖνοι μὲν μὴ τολμῶντες πρὸς σὲ ἀντιλέγειν σιωπῶσιν· αὐτὰ δὲ τὰ πράγματα ἐναργῶς φαίνεται μὴ συμφωνοῦντα τοῖς ὑπὸ σοῦ λεγομένοις. Ἀλλοκότους] ἐξηλλαγμένους, ἐναντίους, ξένους, πλημμελεῖς, ἀλλοφυεῖς.

488. Εἰκάζω τὸ ὁμοιῶ, καὶ τὸ εἰκονίζω τὸ αὐτὸ δηλοῖ. χρῆται δὲ τῇ λέξει ὅ τε Ξενοφῶν καὶ ὁ Ἀριστοφάνης καὶ ἄλλοι. Ἄλλα ἄλλοι] ἀλλὰ μᾶλλον πείθουσιν, ἀπὸ κοινοῦ. Μανδραγόρᾳ] ὑπνωτικὸς ὁ καρπὸς τοῦδε τοῦ φυτοῦ. Θεόφραστος δὲ ἐν τῇ περὶ φυτῶν πραγματείᾳ τὴν ῥίζαν τοῦδε ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν πρός τε τὰ ποδαγρικὰ καὶ πρὸς ὕπνον μᾶλλον εἶναι χρησίμην φησί, καὶ δὴ πρὸς φίλτρα. διδόασιν δὲ ἐν οἰνῳῇ ὄξει. Ἀδολέσχην] μακρολόγον, φλύαρον.

489. Κομψευσάμενος] πανουργευσάμενος. κομψευσάμενον τὸν Εὔβουλόν φησιν, ὃς ὑπὸ Σωκράτους ἐρωτηθεὶς "ὦ Εὔβουλε, σοφὸς ἐθέλεις εἶναι ἢ πλούσιος;" ἔφη πλούσιος· τοὺς γὰρ σοφοὺς ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις καθεύδοντας. πρὸς ὃ τὸν Σωκράτη πάνυ ἀγχίνως εἰ-

πεῖν ὡς οἱ μὲν σοφοί, ὦ Εὔβουλε, ἴσασιν ὧν δέονται, τῆς πρὸς τὴν τῶν ἀναγκαίων χρείαν γὰρ χορηγίας, ἧς οἱ πλούσιοι, εἰ βούλοιντο, χορηγοί· αὐτοὶ δ' οὗτοι οἱ πλούσιοι οὐκ ἴσασιν· τῆς ἀνθρωπίνης γὰρ ἀρετῆς, ἢ διὰ τῆς διδασκαλίας τῶν σοφῶν τῷ βουλομένῳ παντὶ οἷά τ' ἐστὶ παραγίνεσθαι.

491. Πολλοί, φησίν, ἀρξάμενοι φιλοσοφεῖν ἐγένοντο πονηρότατοι. μικρὰ δέ τις αὐτῶν μοῖρα καὶ ὀλίγιστοι ἐκφεύγουσι τὴν φθορὰν ταύτην, καὶ οὐ γίγνονται πονηροί, ἄχρηστοι δὲ ὅμως. Εἰς τὸ ἐπιτήδευμα] τὸ ἑξῆς· καὶ μετὰ τοῦτο αὖ τὰς τῶν ψυχῶν φύσεις, τὰς εἰς τὸ τῆς φιλοσοφίας ἐπιτήδευμα καθισταμένας καὶ μιμουμένας τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις, δεῖ θεάσασθαι, οἷαι οὖσαι εἰς μεῖζον ἑαυτῶν ἐπιτήδευμα ἀφικόμεναι, πλημμελοῦσαι ψόγον κατὰ τῆς φιλοσοφίας προσῆψαν.

493. Οὗτοι] οἱ δημαγωγοί, οὓς σοφιστὰς μεγίστους ἄρτι ἔλεγεν. Διὰ τοῦ θρέμματος ἐξετραγῴδησε τὴν ἀλογίαν τῶν τοιούτων ὄχλων. Τούτοις] τοῖς ἰδιώταις, τοῖς ἀπαιδεύτοις. Διομήδεια ἀνάγκη, παροιμία ἐπὶ τῶν κατ' ἀνάγκην τι πραττόντων εἰρημένη, ἀφ' ἱστορίας τοιαύτης, ἧς καὶ Ἀριστοφάνης μέμνηται ἐν Βατράχοις, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες ἐξ Ἰλίου νυκτὸς ἐπανῄεσαν ἐπὶ τὰς ναῦς σελήνης ὑποφαινούσης, φιλοτιμούμενος δ' Ὀδυσσεὺς αὐτοῦ μόνου δόξαι γενέσθαι τὴν πρᾶξιν, ἐπεχείρησε τὸν Διομήδεα μετὰ τοῦ Παλλαδίου προηγούμενον ἀνελεῖν. ὁ δὲ κατὰ τὸ τῆς σελήνης φῶς τὴν κατ' αὐτοῦ θεασάμενος τοῦ ἐπιφερομένου ξίφους σκιάν, συλλαμβάνει τε τὸν Ὀδυσσέα, καὶ τὰς χεῖρας τοῦδε συνδεῖ, προάγειν τε κελεύει, καὶ τύπτων αὐτοῦ πλατεῖ τῷ ξίφει τὸ μετάφρενον ἐπὶ τοὺς Ἕλληνας παραγίνεται.

490. Ἄλλως] μάλιστα, ὡς νῦν, ἢ μάτην, ἢ κατὰ ἄλλον τρόπον.

495. Ἀποτεθρυμμένοι] ἀπηγριωμένοι. εἴρηται κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ἅ ἐστι βοτάνη τις ἀγρία καὶ ἄγονος. Οἶμαι βαναυσίας ἐνταῦθα κοινότερον λέγεσθαι τὰς κατὰ τὰς τέχνας ἀναστροφάς, ἀπὸ τῶν διὰ πυρὸς ἐργαζομένων τεχνῶν εἰρημένας (βαῦνος γὰρ ἡ κάμινος), οὐ μὴν βαναυσίαν ἐν τούτοις λέγειν ἤτοι ἀπειροκαλίαν, ἣν ἀμφότερα μὲν οὕτως Ἀριστοτέλης ἐν τοῖς Νικομαχείοις ἠθικοῖς καλεῖ, ἐν τοῖς μεγάλοις δὲ σαλακωνίαν. ἔστι δὲ περὶ χρημάτων δαπάνας ὑπερβολή, ἔλλειψις δὲ μικροπρέπεια· ὧν μεγαλοπρέπεια μεσότης ἐστίν.

497. Εἰπόντος Ἀδειμάντου ὅτι τέλος ἐχέτω τὰ περὶ τούτων, ὁ Σωκράτης φησὶν ὅτι κωλύομαι ὑπακοῦσαί σοι βουλόμενος, ἀλλ' οὐ δύναμαι· ἔτι γὰρ δεῖ περὶ τῶν αὐτῶν λέγειν ἀναγκαίως.

498. Ἡράκλειτος ὁ Ἐφέσιος, φυσικὸς ὤν, ἔλεγεν ὅτι ὁ ἥλιος ἐν τῇ δυτικῇ θαλάσσῃ ἐλθὼν καὶ καταδὺς ἐν αὐτῇ σβέννυται, εἶτα διελθὼν τὸ ὑπὸ γῆν καὶ εἰς ἀνατολὴν φθάσας ἐξάπτεται πάλιν, καὶ τοῦτο αἰεὶ γίγνεται. Ἄλλως. Ἡράκλειτος Βαθέωνος; Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ' ὁντινοῦν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον, καὶ τὴν ἔκλειψιν αὐτοῦ συμβαίνειν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατὰ σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαί

φασι, καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν. *Διὰ τῆς* εἰωθυίας εἰρωνείας Σωκράτης νῦν λανθανόντως ὑποτίθεται ἡμῖν ὅτι δεῖ τοὺς νέους μειρακιώδη φιλοσοφίαν μανθάνειν. λέγει δὲ τὴν μαθηματικήν· οἰκεία γὰρ αὕτη τοῖς νέοις θεοῖς. καὶ γὰρ δι' αὐτῆς τὰς κινήσεις τῶν νέων θεῶν διδασκόμεθα. ἡ δὲ διαλεκτικὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπισφαλής. καὶ ὁ Πλωτῖνος τοιοῦτο λέγει τὸ παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. *Εἰς μικρὸν*] ἀντὶ τοῦ εἰς μέγαν, εἰρωνικῶς. *Οὐ γὰρ πώποτε εἶδον*] πικρὸν τὸ λέγειν ὅτι ἔργῳ μὲν τὰ νῦν λεγόμενα καλῶς οὐκ εἶπον οἱ πολλοί, ἀλλὰ πολὺ μᾶλλον τοιαῦτα ῥήματα εἶδον. καὶ γὰρ ὁ Θουκυδίδης, ἐπιπλήττων τοὺς Ἀθηναίους, λέγει ὅτι "ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων." τὸ δὲ ἐξεπίτηδες ἀντὶ τοῦ ἐκ παρασκευῆς καὶ ἐπιμελείας πιθανῶς συντεθέντα. καὶ τὸ πολὺ μᾶλλον ἔμφασιν πολλὴν ἔχει τῆς τῶν πολλῶν ἀφροσύνης, καὶ τὸ ὡμοιωμένα ἀλλήλοις εἶναι τὰ τοιαῦτα ῥήματα καὶ οὐχὶ τοῖς οὖσιν ἐδήλωσε διὰ τοῦ ἑξῆς, ὅτι ἄνδρα ὡμοιωμένον ἀρετῆς ἔργῳ πρῶτον, εἶτα λόγῳ, οὐκ εἶδον οἱ τοιοῦτοι. *Ἀπὸ τοῦ αὐτομάτου, ὥσπερ νῦν*] εἰρωνικῶς. ἡ γὰρ ἀλήθεια αὐτομάτως ὡς εἰπεῖν συνέρχεται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχή. *Ἑτέρᾳ*] ἀριστοκρατουμένῃ.

499. *Τὰ δὲ κομψὰ*] δεῖ πορίσασθαι ἐκ τούτων ὅτι ἡ τῆς ἀληθείας εὕρεσις αὐτὴ καθ' ἑαυτήν ἐστιν αἱρετὴ καὶ οὐ πρὸς ἄλλο σκοπεῖ, ἀλλὰ μόνον ἡ γνῶσις αὐτῆς ἀρκεῖ πρὸς εὐδαιμονίαν. *Κατήκοοι*] ἀντὶ τοῦ κατακουόμενοι. *Εὐχαῖς ὅμοια*] τοῦτο καὶ κενήν φασι μακαρίαν. Ὅτι εὐμετάβολον τὸ τῶν πολλῶν πλῆθος, δηλοῖ καὶ Ὅμηρος ἀπεικάζων τὴν ὁρμὴν αὐτῶν κύμασι παντοίων ἀνέμων καὶ τοῖς τοιούτοις. ἀλλὰ καὶ νῦν τοῦτο λέγει, ὅτι κἂν λόγῳ τις αὐτοῖς ἐνδείξηται τὴν ἀληθῆ φιλοσοφίαν, κἂν αὐτῷ ἔργῳ τοιοῦτος ᾖ φαινόμενος, ῥᾳδίως ἂν πείσει αὐτούς, καὶ τοσούτῳ ῥᾷον ὅσῳ ἂν εἶεν πλείους. καὶ γὰρ οἱ πλείους μᾶλλον τῇ τῆς ὕλης ἀταξίᾳ ἀναλογοῦσι, καὶ μᾶλλον εὐάλωτοι πρὸς ἑκάτερα, ἤπερ οἱ ὀλιγώτεροι.

500. *Οὐκοῦν*] ἀντὶ τοῦ τοιγαροῦν. *Οὐ προσῆκον ἐπεισκεκωμακότας*] οὐ προσηκόντως εἰσεληλυθότας.

503. *Βασανιζόμενον* οὐ τὸν αἰκιζόμενον καὶ τιμωρούμενον σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸν ἀνακρινόμενον καὶ ἐλεγχόμενον καὶ δοκιμαζόμενον ἢ διὰ λόγων ἢ πραγμάτων, οἷός τίς ἐστιν, ἀπὸ λίθου γένους τινὸς καλουμένου βασάνου, ᾧ τὸ καθαρὸν χρυσίον δοκιμάζεται. *Ὄκνος*] ἀνάδυσις, εὐλάβεια, ἀναβολή.

504. *Ὑπογραφὴν*] ὅτι τὸ πρὸ ὀλίγου τὸ ἀνδρείκελον ἐνέγραφεν καὶ θεοείκελον ἐν τῷ πίνακι. *Πολλάκις ἀκήκοας*] ἀπειράκις γὰρ ἡ ἀΐδιος ψυχὴ ταῦτα καὶ ἤκουσεν καὶ ἐπελάθετο.

506. *Πάλαι καταφανὴς*] ἐξ ἀϊδίου γὰρ αἱ ψυχαὶ ἀλλήλας γινώσκουσι. διὰ τὸ ὀρεκτὸν εἶναι τὸν νοῦν καὶ τὴν ἐπιστήμην κατὰ φύσιν αὐταῖς, καὶ τὸ δοξαστὸν ὡς ἐπίκτητον ἀποπέμπεσθαι, οὐκ ἀποχρήσει αὐταῖς ἡ δόξα. *Παρ' ἄλλων*] παρὰ τῶν κρειττόνων ἡμῶν γενῶν. *Ἀρκέσει*] τὸ γὰρ θεῖον πᾶν οὐ μόνον αὔταρκες ἀλλὰ καὶ ἱκανόν. *Ὅπως μὴ*] ἐλλιπὴς ἡ φράσις· τοῦτο δὲ ἔθος Ἀττικόν. λείπει γὰρ τὸ

πεῖν ὡς οἱ μὲν σοφοί, ὦ Εὔβουλε, ἴσασιν ὧν δέονται, τῆς πρὸς τὴν τῶν ἀναγκαίων χρείαν γὰρ χορηγίας, ἧς οἱ πλούσιοι, εἰ βούλοιντο, χορηγοί· αὐτοὶ δ' οὗτοι οἱ πλούσιοι οὐκ ἴσασιν· τῆς ἀνθρωπίνης γὰρ ἀρετῆς, ἡ διὰ τῆς διδασκαλίας τῶν σοφῶν τῷ βουλομένῳ παντὶ οἷά τ' ἐστὶ παραγίνεσθαι.

491. Πολλοί, φησίν, ἀρξάμενοι φιλοσοφεῖν ἐγένοντο πονηρότατοι. μικρὰ δέ τις αὐτῶν μοῖρα καὶ ὀλίγιστοι ἐκφεύγουσι τὴν φθορὰν ταύτην, καὶ οὐ γίγνονται πονηροί, ἄχρηστοι δὲ ὅμως. Εἰς τὸ ἐπιτήδευμα] τὸ ἑξῆς· καὶ μετὰ τοῦτο αὖ τὰς τῶν ψυχῶν φύσεις, τὰς εἰς τὸ τῆς φιλοσοφίας ἐπιτήδευμα καθισταμένας καὶ μιμουμένας τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις, δεῖ θεάσασθαι, οἷαι οὖσαι εἰς μεῖζον ἑαυτῶν ἐπιτήδευμα ἀφικόμεναι, πλημμελοῦσαι ψόγον κατὰ τῆς φιλοσοφίας προσῆψαν.

493. Οὗτοι] οἱ δημαγωγοί, οὓς σοφιστὰς μεγίστους ἄρτι ἔλεγεν. Διὰ τοῦ θρέμματος ἐξετραγῴδησε τὴν ἀλογίαν τῶν τοιούτων ὄχλων. Τούτοις] τοῖς ἰδιώταις, τοῖς ἀπαιδεύτοις. Διομήδεια ἀνάγκη, παροιμία ἐπὶ τῶν κατ' ἀνάγκην τι πραττόντων εἰρημένη, ἀφ' ἱστορίας τοιαύτης, ἧς καὶ Ἀριστοφάνης μέμνηται ἐν Βατράχοις, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες ἐξ Ἰλίου νυκτὸς ἐπανῄεσαν ἐπὶ τὰς ναῦς σελήνης ὑποφαινούσης, φιλοτιμούμενος δ' Ὀδυσσεὺς αὐτοῦ μόνου δόξαι γενέσθαι τὴν πρᾶξιν, ἐπεχείρησε τὸν Διομήδεα μετὰ τοῦ Παλλαδίου προηγούμενον ἀνελεῖν. ὁ δὲ κατὰ τὸ τῆς σελήνης φῶς τὴν κατ' αὐτοῦ θεασάμενος τοῦ ἐπιφερομένου ξίφους σκιάν, συλλαμβάνει τε τὸν Ὀδυσσέα, καὶ τὰς χεῖρας τοῦδε συνδεῖ, προάγειν τε κελεύει, καὶ τύπτων αὐτοῦ πλατεῖ τῷ ξίφει τὸ μετάφρενον ἐπὶ τοὺς Ἕλληνας παραγίνεται.

490. Ἄλλως] μάλιστα, ὡς νῦν, ἢ μάτην, ἢ κατὰ ἄλλον τρόπον.

495. Ἀποτεθρυμμένοι] ἀπηγριωμένοι. εἴρηται κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν θρύων, ἅ ἐστι βοτάνη τις ἀγρία καὶ ἄγονος. Οἶμαι βαναυσίας ἐνταῦθα κοινότερον λέγεσθαι τὰς κατὰ τὰς τέχνας ἀναστροφάς, ἀπὸ τῶν διὰ πυρὸς ἐργαζομένων τεχνῶν εἰρημένας (βαῦνος γὰρ ἡ κάμινος), οὐ μὴν βαναυσίαν ἐν τούτοις λέγειν ἤτοι ἀπειροκαλίαν, ἣν ἀμφότερα μὲν οὕτως Ἀριστοτέλης ἐν τοῖς Νικομαχείοις ἠθικοῖς καλεῖ, ἐν τοῖς μεγάλοις δὲ σαλακωνίαν. ἔστι δὲ περὶ χρημάτων δαπάνας ὑπερβολή, ἔλλειψις δὲ μικροπρέπεια· ὧν μεγαλοπρέπεια μεσότης ἐστίν.

497. Εἰπόντος Ἀδειμάντου ὅτι τέλος ἐχέτω τὰ περὶ τούτων, ὁ Σωκράτης φησὶν ὅτι κωλύομαι ὑπακοῦσαί σοι βουλόμενος, ἀλλ' οὐ δύναμαι· ἔτι γὰρ δεῖ περὶ τῶν αὐτῶν λέγειν ἀναγκαίως.

498. Ἡράκλειτος ὁ Ἐφέσιος, φυσικὸς ὤν, ἔλεγεν ὅτι ὁ ἥλιος ἐν τῇ δυτικῇ θαλάσσῃ ἐλθὼν καὶ καταδὺς ἐν αὐτῇ σβέννυται, εἶτα διελθὼν τὸ ὑπὸ γῆν καὶ εἰς ἀνατολὴν φθάσας ἐξάπτεται πάλιν, καὶ τοῦτο αἰεὶ γίγνεται. Ἄλλως. Ἡράκλειτος Βαθέωνος; Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ' ὁντινοῦν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον, καὶ τὴν ἔκλειψιν αὐτοῦ συμβαίνειν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατὰ σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαί

φασι, καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν. Διὰ τῆς εἰωθυίας εἰρωνείας Σωκράτης νῦν λανθανόντως ὑποτίθεται ἡμῖν ὅτι δεῖ τοὺς νέους μειρακιώδη φιλοσοφίαν μανθάνειν. λέγει δὲ τὴν μαθηματικήν· οἰκεία γὰρ αὕτη τοῖς νέοις θεοῖς. καὶ γὰρ δι' αὐτῆς τὰς κινήσεις τῶν νέων θεῶν διδασκόμεθα. ἡ δὲ διαλεκτικὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπισφαλής. καὶ ὁ Πλωτῖνος τοιοῦτο λέγει τὸ παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως. Εἰς μικρὸν] ἀντὶ τοῦ εἰς μέγαν, εἰρωνικῶς. Οὐ γὰρ πώποτε εἶδον] πικρὸν τὸ λέγειν ὅτι ἔργῳ μὲν τὰ νῦν λεγόμενα καλῶς οὐκ εἶπον οἱ πολλοί, ἀλλὰ πολὺ μᾶλλον τοιαῦτα ῥήματα εἶδον. καὶ γὰρ ὁ Θουκυδίδης, ἐπιπλήττων τοὺς Ἀθηναίους, λέγει ὅτι "ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων." τὸ δὲ ἐξεπίτηδες ἀντὶ τοῦ ἐκ παρασκευῆς καὶ ἐπιμελείας πιθανῶς συντεθέντα. καὶ τὸ πολὺ μᾶλλον ἔμφασιν πολλὴν ἔχει τῆς τῶν πολλῶν ἀφροσύνης, καὶ τὸ ὡμοιωμένα ἀλλήλοις εἶναι τὰ τοιαῦτα ῥήματα καὶ οὐχὶ τοῖς οὖσιν ἐδήλωσε διὰ τοῦ ἑξῆς, ὅτι ἄνδρα ὡμοιωμένον ἀρετῆς ἔργῳ πρῶτον, εἶτα λόγῳ, οὐκ εἶδον οἱ τοιοῦτοι. Ἀπὸ τοῦ αὐτομάτου, ὥσπερ νῦν] εἰρωνικῶς. ἡ γὰρ ἀλήθεια αὐτομάτως ὡς εἰπεῖν συνέρχεται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχή. Ἑτέρᾳ] ἀριστοκρατουμένῃ.

499. Τὰ δὲ κομψὰ] δεῖ πορίσασθαι ἐκ τούτων ὅτι ἡ τῆς ἀληθείας εὕρεσις αὐτὴ καθ' ἑαυτήν ἐστιν αἱρετὴ καὶ οὐ πρὸς ἄλλο σκοπεῖ, ἀλλὰ μόνον ἡ γνῶσις αὐτῆς ἀρκεῖ πρὸς εὐδαιμονίαν. Κατήκοοι] ἀντὶ τοῦ κατακουόμενοι. Εὐχαῖς ὅμοια] τοῦτο καὶ κενήν φασι μακαρίαν. Ὅτι εὐμετάβολον τὸ τῶν πολλῶν πλῆθος, δηλοῖ καὶ Ὅμηρος ἀπεικάζων τὴν ὁρμὴν αὐτῶν κύμασι παντοίων ἀνέμων καὶ τοῖς τοιούτοις. ἀλλὰ καὶ νῦν τοῦτο λέγει, ὅτι κἂν λόγῳ τις αὐτοῖς ἐνδείξηται τὴν ἀληθῆ φιλοσοφίαν, κἂν αὐτῷ ἔργῳ τοιοῦτος ᾖ φαινόμενος, ῥᾳδίως ἂν πείσει αὐτούς, καὶ τοσούτῳ ῥᾷον ὅσῳ ἂν εἶεν πλείους. καὶ γὰρ οἱ πλείους μᾶλλον τῇ τῆς ὕλης ἀταξίᾳ ἀναλογοῦσι, καὶ μᾶλλον εὐάλωτοι πρὸς ἑκάτερα, ἤπερ οἱ ὀλιγώτεροι.

500. Οὐκοῦν] ἀντὶ τοῦ τοιγαροῦν. Οὐ προσῆκον ἐπεισκεκωμακότας] οὐ προσηκόντως εἰσεληλυθότας.

503. Βασανιζόμενον οὐ τὸν αἰκιζόμενον καὶ τιμωρούμενον σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸν ἀνακρινόμενον καὶ ἐλεγχόμενον καὶ δοκιμαζόμενον ἢ διὰ λόγων ἢ πραγμάτων, οἷός τίς ἐστιν, ἀπὸ λίθου γένους τινὸς καλουμένου βασάνου, ᾧ τὸ καθαρὸν χρυσίον δοκιμάζεται. Ὄκνος] ἀνάδυσις, εὐλάβεια, ἀναβολή.

504. Ὑπογραφὴν] ὅτι τὸ πρὸ ὀλίγου τὸ ἀνδρείκελον ἐνέγραφεν καὶ θεοείκελον ἐν τῷ πίνακι. Πολλάκις ἀκήκοας] ἀπειράκις γὰρ ἡ ἀΐδιος ψυχὴ ταῦτα καὶ ἤκουσεν καὶ ἐπελάθετο.

506. Πάλαι καταφανὴς] ἐξ ἀϊδίου γὰρ αἱ ψυχαὶ ἀλλήλας γινώσκουσι. διὰ τὸ ὀρεκτὸν εἶναι τὸν νοῦν καὶ τὴν ἐπιστήμην κατὰ φύσιν αὐταῖς, καὶ τὸ δοξαστὸν ὡς ἐπίκτητον ἀποπέμπεσθαι, οὐκ ἀποχρήσει αὐταῖς ἡ δόξα. Παρ' ἄλλων] παρὰ τῶν κρειττόνων ἡμῶν γενῶν. Ἀρκέσει] τὸ γὰρ θεῖον πᾶν οὐ μόνον αὔταρκες ἀλλὰ καὶ ἱκανόν. Ὅπως μὴ] ἐλλιπὴς ἡ φράσις· τοῦτο δὲ ἔθος Ἀττικόν. λείπει γὰρ τὸ

σκόπει ἤ τι τοιοῦτο. 'Εάσωμεν] παρὰ γὰρ τὴν τῶν καταδεεστέρων ἀνεπιτηδειότητα τὰ κρείττονα ἀδυνατοῦσιν ἐνεργεῖν.

507. Οὐ πάνυ] οὐδαμῶς.

509. Τὸ γελοίως διὰ τὴν ὑπερβολήν. ἀσύγκριτον γὰρ τἀγαθὸν ἁπλῶς πρὸς πάντα. τὰ γὰρ κρείττονα ἡμῶν γένη διαπορθμεύουσι τὰ παρὰ θεῶν εἰς ἡμᾶς ἀγαθά. ἡ δὲ θεία ἀνάγκη τῇ θείᾳ βουλήσει ἡ αὐτή, καὶ ὅμοιον ἥ τε αἵρεσις τῷ κλήρῳ, καὶ τὸ ἑλέσθαι τῷ λαχεῖν, καὶ τὸ εἶναι τῷ ἐνεργεῖν, καὶ τὸ βούλεσθαι τῷ δύνασθαι, καὶ εἶναι ἁπλῶς ἐν θεῷ πάντα ἑνιαίως. Ἄλλως. τὸ γελοίως ἤγουν ἐγκοσμίως. οἱ γὰρ νέοι καὶ ἐγκόσμιοι θεοὶ τοῦτο αἰνίττονται. παίγνιον γὰρ τὸ σωματικὸν πᾶν τοῖς νοητοῖς παραβαλλόμενον. τὸ δὲ παίζειν καὶ γελᾶν τῶν νέων οἰκεῖον. καὶ τὸ

ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν

περὶ τῶν ἐγκοσμίων εἴρηται θεῶν. ὁ γοῦν Γλαύκων ἀναλόγως ἐγκοσμίῳ προσώπῳ εἰκότως γελοίως λέγει. τὸ δὲ Ἄπολλον οἰκεῖον τῷ τε ἡλίῳ εἰς ταυτὸν ἐρχομένῳ τῷ Ἀπόλλωνι, καὶ τῷ λέγοντι ἐπιγνόντι τὸν ἑαυτοῦ βασιλέα ἥλιον καὶ Ἀπόλλωνα τὸν αὐτόν. Ἄπολλον] ἐπίφθεγμα θαυμαστικόν, ὡς τὸ Ἡράκλεις. Σχόλιον ἐκ τῶν Ἀρχύτου καὶ Βροντίνου καὶ Ἰαμβλίχου ἐπιτμηθέν. Γραμμὴν δίχα τὸ πρῶτον τετμημένην, εἴτε εἰς ἴσα τμήματα κατ' Ἀρχύταν καὶ τὸν Χαλκιδέα Ἰάμβλιχον, εἴτε καὶ εἰς ἄνισα, ὡς ἐν τῶν τισὶν ἀντιγράφων τοῦ Πλάτωνος εὕρηται, τὰ ὄντα πάντα δηλοῦσθαι εἰς δύο κατὰ πρώτην διαίρεσιν τεμνόμενα, τὸ νοητὸν δηλονότι καὶ ὁρατόν. εἰ μὲν εἰς ἴσα, διά τε τὴν τῶν λόγων μετουσίαν καὶ τῶν εἰδῶν, καὶ τὴν τῶν μετεχόντων πρὸς τὰ μετεχόμενα ὁμοιότητα, καὶ τῷ τὴν ἀναλογίαν τὴν αὐτήν πως εἶναι ἐπ' ἀμφοτέρων· εἰ δὲ εἰς ἄνισα, ὡς ἐν ἄλλοις εὕρηται, διὰ τὴν τῶν νοητῶν πρὸς τὰ αἰσθητὰ ἴσως ὑπεροχὴν καὶ ἀνομοιότητα. οἷον ἑκάτερον αὖ εἰς δύο ἀνὰ τὸν αὐτὸν διῃρῆσθαι λόγον, τῷ τὴν γνωστικὴν δύναμιν δι' ὅλου ὁμοειδῆ πρὸς ἑαυτὴν εἶναι. τὸ μὲν γὰρ ὁρατὸν εἰς εἰκόνας καὶ ὧν εἰσὶν εἰκόνες, τὸ δὲ νοητὸν εἰς τὰ διανοητὰ καὶ τὸ ἰδίως νοητὸν διακρίνεσθαι. καὶ εἰκόνας μὲν σκιάς τε καὶ τὰ ἐν τοῖς ὕδασι καὶ κατόπτροις καὶ ὅλως πυκνοῖς καὶ λείοις καὶ φανοῖς ξυνιστάμενα εἴδωλά τε καὶ φαντάσματα εἶναι, ὧν δ' εἰσὶν εἰκόνες, αὐτὰ δηλονότι τὰ αἰσθητὰ σώματα, ζῷά τε καὶ φυτὰ καὶ τὰ παραπλήσια· καὶ διανοητὰ μὲν τὰ μαθηματικά τε καὶ ἐπιστητὰ γένη, γεωμετρίαν, ἀστρονομίαν καὶ τὰ τούτοις ἀδελφά, νοητὰ δὲ τὰς ἰδέας τε καὶ ὄντως οὔσας οὐσίας. ἀνάλογον οὖν ἔχειν ὡς τὰ εἰκαστὰ πρὸς τὰ αἰσθητά τε καὶ φυσικὰ σώματα, οὕτω τὰ διανοητὰ πρὸς τὰ νοητά. εἰκόνας τε γὰρ τῶν νοητῶν εἶναι τὰ διανοητά, ὡς τὰ εἰκαστὰ τῶν αἰσθητῶν, τά τε αἰσθητὰ καὶ νοητὰ τῇ μᾶλλον καὶ ἧττον ἀληθείᾳ τῶν εἰκασθέντων καὶ διανοητῶν διωρίσθαι· τὰ μὲν γὰρ μᾶλλον τὰ δὲ ἧττον ἀληθῆ εἶναι. καθ' αὑτὰ μὲν γὰρ καὶ οὐκ ἐν ἄλλοις ὑφεστάναι τὰ αἰσθητά, σκιὰς δὲ καὶ εἴδωλα τοῖς αἰσθητοῖς παρυφίστασθαι, ἐν ἐκείνοις καὶ οὐ καθ' αὑτὰ ὄντα· καὶ διὰ τοῦτο ἐκείνων ὑποσπασθέντων μηδὲ ταῦτα φαίνεσθαι ἔτι. εἶναι δὲ καὶ ταῦτα αἰσθητὰ μὲν τῷ γένει, ἅτε δὴ τῇ αἰσθήσει ὑποπίπτοντα, εἰκαστὰ δὲ μᾶλλον καὶ δοξαστὰ εἶναι. οὕτω δὲ καὶ τὰ διανοητὰ τῶν νοητῶν εἶναι εἰκόνας καὶ

εἴδωλα, ἅτε μηδὲ αὐτὰ κυρίως ἀλλ' ἐξ ἀφαιρέσεως ὄντα, καὶ πρὸς τὰ καθ' αὐτά τε καὶ ὄντως ὄντα, τὰ νοητὰ δηλονότι, τὴν ἀναφορὰν ἔχοντα. διὸ καὶ τὴν ψυχὴν τὰ μὲν αἰσθητὰ καὶ νοητὰ πρῶτά τε καὶ αὐτόθεν γινώσκειν, ὥσπερ καὶ ὑφίσταται πρῶτα, τὰ δὲ εἰκαστὰ καὶ διανοητὰ δεύτερα, ὡς καὶ δεύτερα ὑφίσταται. ὥσπερ γὰρ οὐ μένει ἐν τοῖς εἰκαστοῖς τῇ δόξῃ ταῦτα περιλαβοῦσα, ἀλλὰ ζητεῖ τὰ καθ' αὐτὰ ὑφιστάμενα, οἷς ἕπεται τὰ εἰκάσματα, οὕτω καὶ τὰ ἐπιστητὰ καὶ διανοητὰ θεωροῦσα καὶ διανοουμένη οἷον τρίγωνον ἱδρυμένον διάμεσον καὶ τὰ παραπλήσια, οὐ περὶ τούτων διανοεῖται, ἀλλ' ἐκείνων πέρι οἷς ταῦτα ἔοικε. ταῖς τε γὰρ εἰκόσι τὰ περὶ τὰ μαθήματα γένη εἶναι ἀνάλογον, καὶ τὴν αὐτῶν γνῶσιν ταῖς τῶν εἰδώλων εἰκασίαις ἔχειν τινὰ ὁμοιότητα. ἀπό τε γὰρ τῶν νοήσεων τὴν τῶν μαθηματικῶν γνῶσιν λαμβάνειν τὴν ἐνέργειαν, καὶ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ μαθηματικὰ ὡς εἰκόνας μεταβαίνειν, ὑποθέσεις τε ἀναποδείκτους ἑαυταῖς ὑποτιθεμένην λόγον οὐδένα οὐδενὶ ἀξιοῦν διδόναι, ὡς παντὶ φανερόν, ἐκ τοιούτων τε ὑποθέσεων ὡς ἀρχῶν οὐκ ἐπ' ἀρχὴν ἀλλ' ἐπὶ τελευτὴν ἰέναι, αὐτὰ σκεπτομένην τὰ μαθηματικὰ τῇ διανοίᾳ. τῶν νοητῶν δέ γε τῶν λόγων μετὰ τῆς τοῦ διαλέγεσθαι δυνάμεως καὶ τῆς τελέας διαλεκτικῆς τῇ νοήσει προσχρωμένην ἅπτεσθαι ἐξ ὑποθέσεων ὡς οὐκ ἀρχῶν (οὐδὲν γὰρ ὅ τι ἐκείνων εἶναι ἀρχήν) ἀλλ' ὅπερ καλοῦνται ὑποθέσεων καὶ ἐπιβάσεων ἐπ' ἀρχὴν τὴν ἀνυπόθετον ἰέναι, ἧς μηδὲν ἔτι δηλονότι προϋποτίθεται, ἅτε καὶ μηδὲν ὄν, ὃ ἂν εἴη πρὸ ἐκείνης. κἀκεῖθεν αὖ ἐπὶ τελευτὴν καὶ τὰ διανοητὰ κατιέναι, οὐδενὶ προσχρωμένην αἰσθητῷ, ἀλλὰ τοῖς νοητοῖς αὐτοῖς εἴδεσι δι' αὐτῶν. ὥσπερ δὲ ἔχει τὰ πράγματα ἀληθείας τε καὶ μή, οὕτω σαφηνείας τε καὶ μὴ τὰ περὶ αὐτὰ καταγινόμενα τῆς ψυχῆς ἔχειν πάθη. εἶναι δὲ ταῦτα τέτταρα, νοῦν, διάνοιαν, πίστιν καὶ εἰκασίαν, ἐπὶ τέτταρσι τούτοις πράγμασι, νοητοῖς, διανοητοῖς, αἰσθητοῖς τε καὶ εἰκαστοῖς· ὧν νοῦν μὲν καὶ αἴσθησιν ἀρχὰς εἶναι τοῦ λόγου, ὡς ἐν τῷ περὶ νοῦ τε καὶ αἰσθήσεως Ἀρχύτᾳ δοκεῖ, τέλη δὲ ἐπιστήμην καὶ δόξαν, ὡς ὑπὸ μὲν ἐκείνων ἀποτελουμένων κἀκεῖθεν ὁρμωμένου, κατιόντος δὲ καὶ τελευτῶντος εἰς ἐπιστήμην καὶ δόξαν. καὶ τοιαῦτα μὲν εἶναι τὰ γένη τῶν ὄντων, τοσαῦτα δὲ καὶ τὰ τούτων κριτήρια.

VII.

514. Ἀττικοὶ καὶ τὸ ἰδέ ὀξύνουσι καὶ τὸ λαβέ καὶ τὸ φαγέ, ὁμοίως τῷ ἐλθέ, εὑρέ, εἰπέ.

516. *Γνωματεύοντα*] διακρίνοντα, διαγινώσκοντα ἀκριβῶς.

517. *Ἐνταῦθα*] ἐν τῷ νοητῷ.

518. *Μετρίως*] ἀντὶ τοῦ ἐπιεικῶς, πάνυ.

519. *Πτολεμαῖος* ὁ μέγας ἐν δ' Γεωγραφουμένων φησὶ τὰς μακάρων νήσους ἓξ τὸν ἀριθμὸν ἐν τῇ ἐντὸς Λιβύῃ κατὰ τὸ Ἀτλαντικὸν πέλαγος.

520. *Τοιοῦτοι γιγνόμενοι*] οἱ φιλόσοφοι. *Εἰ μὲν εὕροις*, φησί, βίον ἀμείνω φιλοσόφου βίου. λέγοι δ' ἂν θεοῦ μόνον· καὶ γὰρ θεὸς ἀμείνων φιλοσόφου μόνος.

521. *Ὀστράκου περιστροφὴ*] παροιμία ἐπὶ τῶν ταχέως τι ποιούν-

των λεγομένη. ἔστι δὲ καὶ ὄνομα παιδιᾶς. Ἄλλως. ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων, ἢ ἐπὶ τῶν εὐμεταβόλων.

525. Τοὺς περὶ ταῦτα δεινοὺς] τοὺς ἀριθμητικούς. Αὐτὸ τὸ ἓν] τὴν μονάδα τὴν παρὰ τοῖς μαθηματικοῖς.

526. Ὀξεῖς] οἷος ἦν Θεαίτητος. Μείζω πόνον παρέχει μανθάνοντι] ἴσως τοῦτο βούλεται λέγειν ὁ Πλάτων, ὅτι τῶν μετὰ πολλοῦ πόνου κατορθουμένων τεχνῶν οὐκ ἔστιν οὐδεμία τοιαύτη εὔκολος ὡς ἡ ἀριθμητική.

527. Οὐ δέον] ἀντὶ τοῦ οὐ δεόντως, Ἀττικῶς. Ἡδὺς] εὐήθης. ἐκάλουν δὲ οὕτω καὶ τοὺς ὑπομώρους. Ἑκάστου] ἑκάστου ἀνδρὸς τοῦ μανθάνοντος.

529. Δίκην] νῦν τιμωρίαν. Δαίδαλος ὁ Εὐπαλάμου καὶ Φρασιμήδης, ἀγαλματοποιὸς ἄριστος.

530. Ὁ τῷ ὄντι, φησίν, ἀστρονομικὸς τὸν μὲν ὁρώμενον οὐρανὸν βλέπει τε καὶ θαυμάζει διὰ τῆς εὐτάκτου κινήσεως τὸν δημιουργόν, ἄτοπον δὲ ἡγήσαιτ' ἂν ἐξονυχίζειν καὶ λιπαρῶς τοῖς φαινομένοις κεχηνέναι καὶ παντὶ τρόπῳ ζητεῖν τὰς κινήσεις αὐτῶν λεπτομερῶς. Ὄμματα πέπηγεν] περὶ μουσικῆς, ἥ ἐστιν ἀντίστροφος ἀστρονομίας· ἡ μὲν γὰρ ὄψει, ἡ δὲ ἀκοῇ πέπηγεν. λέγει δ' οὐ τὴν τοῦ ἀλόγου ἐπιμέλειαν, ἀλλὰ τὴν κατὰ Πυθαγόραν ἐν λόγῳ καὶ θεωρήματι.

531. Κολλόπων] κολλάβων. οὕτω δὲ λέγονται τὰ τῶν χορδῶν ἐπιτόνια, περὶ ἃ εἱλοῦνται αὗται. τὸ γὰρ νωτιαῖον τοῦ τραχήλου τοῦ βοὸς μέρος κόλλοψ καλεῖται, διὰ τὸ εἰς κόλλαν εὔθετεῖν.

532. Διαλεκτικὴν τὴν διακριτικὴν τῆς πραγματικῆς, οὐ τὴν νῦν λεγομένην.

533. Πρώτην μοῖραν] τὴν τῶν νοητῶν, τὴν τῶν μαθηματικῶν, τὴν τῶν φυσικῶν, τὴν τῶν τεχνικῶν.

534. Ἐπικαταδαρθάνειν] ἐπικατακοιμίζεσθαι. Θριγκὸς] περίφραγμα, στεφάνη, τειχίον, περίβολος.

535. Δριμύτητα] ὀξύτητα, σφοδρότητα, θερμότητα, ταχύτητα. Ἄρρατον] ἰσχυρόν, στερεόν, ἢ δυσκίνητον.

536. Προπεπηλακισμένην] ὑβρισμένην, ἠδικημένην, διασεσυρμένην, ἐξουθενημένην. Σόλωνι] τούτου γὰρ τὸ

αἰεὶ γηράσκω πολλὰ διδασκόμενος.

537. Εἰς ἀριθμόν τινα ἐγκριτέον] ὡς Ὅμηρος

ἐν ἀνδρῶν ἵζει ἀριθμῷ.

VIII.

544. Ὥσπερ παλαιστής] ἔθος γὰρ τούτοις, ὅταν πέσωσιν ὁμοῦ, ὡς μηδένα ἐπιπεσεῖν τοῦ λοιποῦ, πάλιν ἐγερθέντας ἐφ' ὁμοίῳ συμπλεχῆναι σχήματι, ὅπερ τὴν αὐτὴν εἶπε λαβήν. Ἐκ δρυὸς] τὸ ἐν τῇ τ' τῆς Ὀδυσσείας Ὁμήρῳ ὑπὸ Πηνελόπης ῥηθὲν Ὀδυσσεῖ ἀναγνωριζομένῳ αὐτῇ ἐνταῦθα ἐπὶ τῶν πολιτειῶν παρῳδεῖται. ἔστι δὲ τὸ

οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρας.

οἱ γὰρ παλαιοὶ ἐκ δρυῶν καὶ πετρῶν τοὺς πρὸ αὐτῶν γεννηθῆναι ὑπελάμβανον, διὰ τὸ τὰς τικτούσας εἰς στελέχη καὶ σπήλαια τὰ βρέφη

ἐκτιθέναι, ἐπεὶ καὶ τὰς μίξεις κατὰ τὰς ἐρημίας ἐποιοῦντο οἱ πάλαι ἄνθρωποι, δρυῶν ἢ πετρῶν πλησίον.

546. Τὰ φυτὰ διέστησε τῶν ζώων οὐ τῷ αἰσθητικῷ Περιπατητικῶς (οἶδε γὰρ καὶ φυτῶν αἴσθησιν), ἀλλὰ τῷ ἐγγείῳ, τουτέστι τῷ μονίμῳ, ὡς κατεῤῥιζωμένα ἐν γῇ, τὰ δὲ τῷ ἐπιγείῳ, ὅ ἐστι τῷ πορευτικῷ, ὡς φερόμενα ἐπὶ γῆς. Εἰ ὁ πᾶς χρόνος αἰῶνός ἐστι τοῦ παντὸς εἰκών· λέγεται γὰρ καὶ ὁ αἰὼν πᾶς. τὸ μὲν οὖν παράδειγμα τὸν ἅπαντα αἰῶνά ἐστι, μέτρον δ' ὁ πᾶς αἰών· μέτρον ἄρα καὶ ὁ πᾶς χρόνος. ἀλλ' ὁ μὲν τῆς τοῦ νοητοῦ ζωῆς μέτρον, ὁ δὲ τῆς τοῦδε τοῦ κόσμου ζωῆς, ὁ χρόνος. καὶ εἴη ἂν τῆς τῶν ἐν αὐτῷ πάντων ἀσωμάτων κινήσεως καὶ σωματικῶν πασῶν κοινῆς συναποκαταστάσεως μέτρον παντελές, ὃ δὴ πολλάκις συνελισσόμενον ποιεῖ τὸν ἄπειρον χρόνον. Θεῖον γενητὸν οὐ τὸν ὅλον φησὶ κόσμον, εἰ καὶ προηγουμένως τοῦτον, οὔτε τὸν ἐν οὐρανῷ μόνον οὔτε τὸν ὑπὸ σελήνην, ἀλλὰ πᾶν τὸ ἀεικίνητον καὶ περιφερόμενον, εἴτ' ἐν οὐρανῷ εἴθ' ὑπὸ σελήνην, ὡς μὲν σωματικὸν γενητὸν καλούμενον (οὐδὲν γὰρ σῶμα αὐθυπόστατον), ὡς δ' ἀεικίνητον, θεῖον· μιμεῖται γὰρ τὰ θειότατα τῶν ὄντων ἄγρυπνον ἔχοντα ζωήν. τὸν τέλειον δ' ἀριθμὸν οὐ μόνον χρὴ νοεῖν ἐπὶ δακτύλων τιθέντας (οὗτος γάρ ἐστιν ἀριθμητὸν μᾶλλον ἢ ἀριθμός, καὶ τελειούμενος καὶ οὐδέποτε τέλειος ἀεὶ γιγνόμενος), ἀλλὰ τὴν αἰτίαν τούτου νοερὰν μὲν οὖσαν, περιέχουσαν δὲ τὸν πεπερασμένον ὅρον τῆς τοῦ κόσμου πάσης περιόδου.

550. Πατρὸς λόγους] ὁ γὰρ πατὴρ πλησιαίτατος, ὡς σύνοικος. Τῷ μέσῳ] τῷ ἐν τῇ ἑαυτοῦ ψυχῇ. Ὅτι ἐκ τοῦ φιλοτίμου φιλόπολις γίγνεται, ἀπὸ τιμημάτων οὐσῶν τῶν ἀρχῶν, ὡς Ῥωμαῖοι. Ἄλλως. ἡ τῶν Ἀθηναίων πόλις εἰς μεγάλα μέρη διῃρεῖτο τέτταρα. ταῦτα δὲ πολιτικὰ τιμήματα ἐκάλουν, ἅπερ ἦν πενταχοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν. οἱ μὲν ἀπὸ τοῦ φ' μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες ἀνήλισκον εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τ', ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγήσιον τελοῦντες ἀπὸ σ' μέτρων διελέγοντο, ἀνήλισκον δὲ μνᾶς ί· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον οὐδὲ ἀνήλισκον.

551. Φιλοχρηματισταὶ οἱ φιλοῦντες πορίζειν χρήματα, φιλοχρήματοι δὲ οἱ φιλοῦντες χρήματα.

552. Κηφὴν] εἶδος μελίσσης ἄκεντρον, ὃ κατεσθίει τὸ μέλι μόνον, ἀργὸν δέ· ἀφ' οὗ καὶ τοὺς μὴ δυναμένους δρᾷν οὕτω φασίν. Δεινὰ κέντρα ἔχοντας] τοὺς ἐν τῇ ὀλιγαρχίᾳ δυνάστας.

553. Γλίσχρως] πάνυ ῥυπαρῶς καὶ μετὰ φειδωλίας. Τιάρα ἐστὶν ἡ λεγομένη κυρβασία. ἔστι δὲ κόσμος ἐπικεφάλαιος, ᾗ οἱ Περσῶν βασιλεῖς μόνοι ὀρθῇ ἐχρῶντο, οἱ δὲ στρατηγοὶ κεκλιμένῃ. Ἡρόδοτος δὲ ἀρσενικῶς τὸν τιάραν φησί. τινὲς δὲ καὶ κίταριν λέγουσι τὸ αὐτό· Θεόφραστος δὲ ἐν τῷ περὶ βασιλείας Κυπρίων εἶναι λέγει τὴν κίταριν. Στρεπτοὺς] ὅρμους περὶ τὸν τράχηλον ἢ τὰς χεῖρας, οὓς καὶ στεφάνους χειρῶν λέγει Ἴων ἐν Φρουροῖς. ἀκινάκης δὲ Περσικόν τι ξίφος, ἢ δόρυ μικρὸν Περσικόν.

554. Αὐχμηρὸς] στυγνός, σκοτεινός. Τυφλὸν] τὸν Πλοῦτον,

οἶμαι, φησίν. Οὐ πείθων] ἑαυτὸν δηλονότι, οὐδὲ ῥυθμίζων τὰ τῆς ψυχῆς αὐτοῦ μόρια, καὶ διὰ τὸ ἄμεινον ἐπιτηδεύων τὴν ἀρετήν.

556. Οὔτε διδάσκοντες λόγῳ, φησί, τοὺς νέους εἴργουσιν ἀκολασταίνειν, οὔτε βίᾳ κολάζοντες. Θεωρίας] ἑορτάς, ἀπὸ τῆς εἰς θέαν συνδρομῆς τῶν ἐν αὐταῖς τελουμένων παρηλλαγμένως τοῖς κατὰ τὸν ἄλλον τοῦ βίου χρόνον γιγνομένοις λεγομένας οὕτως.

558. Χρηματιστικαὶ] χρημάτων ποριστικαί.

560. Λωτοφάγους] τοὺς ψευδεῖς καὶ ἀλαζόνας λόγους καὶ δόξας, δηλονότι ἀλληγορικῶς. Ἄλλως. ὁ λῶτος δένδρον ἐστὶν ἐν Λιβύῃ κατὰ τὴν Μέμφιν φυόμενον, εὐμέγεθες, ἡλίκον ἄπιος ἢ μικρῷ ἐλάττων· φύλλον δὲ ἐντομὰς ἔχον καὶ πρινῶδες· τὸ δὲ ξύλον μέλαν. γένη δ' αὐτοῦ πλείω, διαφορὰς ἔχοντα τοῖς καρποῖς. ὁ δὲ καρπὸς ὥσπερ κύαμος· πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες μεταβάλλων τὰς χρόας. φύεται δὲ καθὰ τὰ μύρτα παράλληλα πυκνὸς ἐν τοῖς βλαστοῖς. ἐσθιόμενος δὲ ἐν τοῖς Λωτοφάγοις καλουμένοις γλυκύς ἐστι καὶ ἡδὺς καὶ ἀσινής, καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός· ἡδίων δ' ὁ ἀπύρηνος. ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. τὸ δένδρον δὲ καὶ πολὺ καὶ πολύκαρπον καὶ παρὰ τὴν Λωτοφαγίδα νῆσον, ἀπέχουσαν τῆς χώρας μικρὸν ὡσαύτως.

561. Ἐκβακχευθῇ] ἐκμανῇ.

563. Εὐτραπελία ἐστὶν ἕξις τις ἐν μεσότητι θεωρουμένη βωμολοχίας καὶ ἀγροικίας· ἔστι δὲ περὶ σκώμματα, ἣ τὸν ἔχοντα παρέχεται δύνασθαί τε σκῶψαι ἐμμελῶς καὶ ὑπομένειν σκωπτόμενον. βωμολοχία δὲ ἡ πάντα καὶ πάντας οἰομένη δεῖν σκώπτειν. ἀγροικία δὲ ἡ μήτε σκώπτειν μήτε σκωφθῆναι βουλομένη, ὀργιζομένη δ' ἐπ' ἀμφοῖν. Χαριεντισμός ἐστι σκῶμμα μετὰ τέρψεως καὶ χάριτός τινος. Ἐνταῦθα] ἐν τῇ ἀκράτῳ ἐλευθερίᾳ. Σημείωσαι τὴν παροιμίαν λεγομένην ἐπὶ τῶν ὁμοιουμένων πάντως ἀρχομένων τοῖς αὐτῶν ἄρχουσιν. ἔστι δὲ ἡ ὅλη· οἵα περ ἡ δέσποινα, τοία χἀ κύων.

564. Δύο κηφήνων εἴδη φησὶν ἐν ταῖς πολιτείαις, ἀργῶν καὶ δαπανηρῶν ἀνδρῶν, τὸ μὲν ἀνδρεῖον καὶ κεκεντρωμένον, οἷον χολὴ ἐν σώματι, τὸ δ' ἄκεντρον, οἷον φλέγμα. οὗτοι δριμύτεροί εἰσιν ἐν δημοκρατίᾳ, ὡς ἂν καὶ ἄρχειν εἰθισμένοι. Βλίττει] ἀφαιρεῖ τὸ μέλι ἀπὸ τῶν κηρίων.

565. Εἰσαγγελία ἐστὶ κυρίως ἡ περὶ καινῶν καὶ δημοσίων ἀδικημάτων εἰσαγομένη δίκη ὑπὸ τῶν πρυτάνεων, περὶ ὧν διαρρήδην μὲν οὐδὲν λέγουσιν οἱ νόμοι, συγχωροῦσι δὲ κρίσεις γίγνεσθαι. καὶ τοῦτ' ἔστιν οἷον τὸ ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς μελετώμενον τὸ τῶν ἀγράφων ἀδικημάτων.

566. Τυραννικὸν αἴτημα] τοῦτο Πεισιστράτου. Ἀθηναῖος γὰρ οὗτος ὤν, ἐπιβουλεύων τῇ τυραννίδι κατὰ τῶν πολιτῶν, πολλαῖς καὶ χαλεπαῖς πληγαῖς ἑαυτὸν κατατρώσας, ἐνεδείξατο τοῖς Ἕλλησιν ὡς ὑπὸ τῶν ἐχθρῶν ταύτας πάθοι, καὶ ᾔτησε φύλακας τοῦ ἑαυτοῦ σώματος, καὶ ἔλαβε τριακοσίους δορυφόρους ἐκ τῆς πόλεως, οὓς εἰσοικισάμενος καὶ θεραπεύσας ἐτυράννησεν Ἀθηναίων. Κροῖσος υἱὸς Ἀλυάττου, Λυδὸς γένος, βασιλεὺς τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς περὶ τῆς ἀρχῆς, εἰ πολυχρόνιος ἔσται, χρηστηριαζόμενος, ἀνεῖλεν ὁ Ἀπόλλων χρησμὸν τοι-

οὗτον αὐτῷ·

ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε, Λυδὲ πόδαβρε, πολυψηφῖδα[1] παρ' Ἕρμον
φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

καὶ οὗτος μὲν ὁ ὅλος χρησμός· ἡμίονον δὲ τὸν Κῦρόν φησιν, ἐπείπερ Ἀρυήνης τῆς Ἀλυάττου θυγατρός, Λυδῆς οὔσης αὐτῆς, καὶ Ἀστυάγους τοῦ Μήδων βασιλέως Μανδάνη γίγνεται παῖς, ταύτης δὲ καὶ Καμβύσου, Πέρσου τινός, ὁ Κῦρος υἱός, ὁ καθελὼν Κροῖσόν τε καὶ δὴ καὶ αὐτὴν τὴν βασιλείαν τῶν Λυδῶν. Μέλλει] ἔοικεν, φαίνεται, δοκεῖ, ὡς νῦν. παρὰ δὲ Σοφοκλεῖ ἐν Τρωΐλῳ, μένει.

568. Οὐκ ἐτὸς] ὁτὲ μὲν οὐ μάτην, ὅτε δ' οὐκ ἀλόγως· παρὰ τὸ ἐτώσιον, ὅ ἐστι τὸ μάταιον. οἱ δὲ οὐκ εἰκότως. Τοῦτο Σοφοκλέους ἐστὶν ἐξ Αἴαντος τοῦ Λοκροῦ. ἐνταῦθα δὲ Εὐριπίδου λέγεται τὸ ἰαμβεῖον εἶναι. καὶ θαυμαστὸν οὐδέν, εἰ συμπίπτοιεν ἀλλήλοις οἱ ποιηταί.

Φωνὰς] τὰς τῶν ὑποκριτῶν.

IX.

572. Μηχανωμένους] ἀπὸ κοινοῦ τὸ τίθει· τίθει μηχανωμένους αὐτῷ ἔρωτα, ὅταν ἐλπίσωσι μὴ ἄλλως τὸν νέον, ὑπόπτερον ὄντα κηφῆνα καὶ μέγαν, καθέξειν.

573. Σὺ καὶ ἐμοὶ ἐρεῖς] παροιμία, ἡνίκα τις ἐρωτηθείς τι ὑπὸ γινώσκοντος τὸ ἐρωτηθέν, αὐτὸς ἀγνοῶν, οὕτως ἀποκρίνηται "σὺ καὶ ἐμοὶ ἐρεῖς." Κῶμοι] ᾠδαί, ἢ ὀρχήσεις μετὰ μέθης.

574. Σημείωσαι τὴν σύνταξιν, πρεσβύτην πατέρα πληγαῖς τε δοῦναι. Νεωκορήσει] ἀντὶ τοῦ ἱεροσυλήσει, ὡς νῦν. παρὰ δὲ τοῖς πολλοῖς τὸ κοσμήσει τὸν ναόν· κορεῖν γὰρ σημαίνει τὸ κοσμεῖν. Δορυφοροῦσαι] ὁ νοῦς οὕτως· αἱ κακαὶ ἐπιθυμίαι τὸν ἔρωτα δορυφοροῦσαι κατισχύσουσι τῶν δοξῶν τῶν ἀγαθῶν, ἃς πάλαι εἶχεν. Ὑπὸ ἔρωτος] κακοῦ ἔρωτος, ὅτε εἴδωλα κακὰ ἐν τῇ φαντασίᾳ ἀνέπλαττεν.

575. Οὐδ' ἴκταρ βάλλει] ἴκταρ σημαίνει ταῦτα, τὸ ἐγγύς, ἀπὸ τοῦ ἰκνεῖσθαι, τὸ πρόσφατον, τὸ ἄρτι, τὸ ταχέως, τὸ πυκνῶς, τὸ ἐξαπίνης. καὶ παροιμία, οὐδ' ἴκταρ ἥκει, ὥσπερ καὶ τὸ οὐδ' ἴκταρ βάλλει, τουτέστιν οὐδ' ἐγγύς ἐστιν. εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ διωλύγιον κακὸν σημαίνει τὸ μέγα, οὗ μνημονεύει Πλάτων ἐν Θεαιτήτῳ.

576. Πολλὰ δοκεῖ] ἀντὶ τοῦ ψευδῆ· τὸ γὰρ ψεῦδος πολυχοῦν,
ἁπλοῦς δ' ὁ μῦθος τῆς ἀληθείας ἔφυ.[2]

577. Περὶ ὅλης εἰπεῖν ψυχῆς] τὸ γὰρ λογιστικὸν τῆς τοῦ τυράννου ψυχῆς ὑπὸ θυμοῦ καὶ ἐπιθυμίας κρατούμενον, οὐ ποιεῖ ἃ βούλεται καθ' αὑτόν, ὥστε κἂν κατὰ τὰ χείρονα μέρη ποιεῖ ἃ βούλεται ἡ ψυχή, ἀλλὰ κατὰ τὸ κρεῖττον μὴ ποιοῦσα αὐτῆς διὰ τοῦτο λέγεται, ἥκιστα ποιήσει ἃ ἂν βουληθῇ ὡς περὶ ὅλης εἰπεῖν τῆς ψυχῆς· καὶ γὰρ οὐχ ὅλη τότε ποιεῖ.

587. Εἰλήφθω κατὰ τὴν μονάδα αὐτὴν ὁ βασιλικός, κατὰ δὲ τὸν γ' ὁ ὀλιγαρχικός, τῆς μονάδος πολλαπλασιασθείσης ἐπ' αὐτόν, κατὰ τὸν

[1] μελαμ πολυψηφῖδα A.

[2] Euripid. Phœn. 479.

θ' δὲ ὁ τυραννικός, τοῦ γ' γεγονότος ἐφ' ἑαυτόν. τοῦ τριπλασίου ἄρα τῆς μονάδος τοῦ γ', τουτέστι τοῦ ὀλιγαρχικοῦ τοῦ πρὸς τὸν βασιλικὸν ἀφεστῶτος τριπλάσιον, ὡσαύτως τριπλάσιον τῷ θ ἀριθμῷ ἀφέστηκεν ὁ τυραννικός. ἔστι δὲ οὗτος ἐπίπεδος ἀριθμὸς κατὰ τὸ μῆκος τὸν γ', τὸ πλάτος τὸν γ' καὶ αὐτὸν ὄντα πολλαπλασιασθείς. εἴδωλον δὲ τὸν τυραννικόν φησι τοῦ βασιλικοῦ τὸ ἔσχατον. δύναμιν δὲ τὸν γ' καλεῖ, ὅτι δὴ καὶ ἡ μονὰς καὶ αὐτὸς ὁ γ' ἐφ' ἑαυτὸν καὶ ὁ θ' κατ' αὐτὸν ἐπολλαπλασιάσθησαν, οὗ μὲν γ', οὗ δὲ θ', οὗ δὲ κζ' ποιήσαντα. τρίτην δὲ αὔξην λέγει τὴν τοῦ θ' ἐπὶ τὴν δύναμιν τὸν γ' πολλαπλασίασιν, καὶ ποιήσασαν τὸν κζ', τὸ βάθος ἤγουν στερεὸν ἀριθμόν. δευτέρα γὰρ ἦν ἡ ἀπὸ τοῦ γ' ἐφ' ἑαυτὸν γενομένου, καὶ ποιήσαντος τὸν θ', τὸ πλάτος ἤγουν τὸν ἐπίπεδον, ὥσπερ ἡ τῆς μονάδος ἐπὶ τὸν γ' πολλαπλασίασις πρώτη αὔξη τε ἦν καὶ τὸ μῆκος ἐποίει αὐτό. τελειωθεῖσαν δὲ πολλαπλασίασιν τὴν τοῦ κζ' ἐφ' ἑαυτὸν γινομένην· αὕτη γὰρ ποιεῖ τὸν ψκθ'.

588. Ἡ χίμαιρα τὸ εἶδός ἐστι

πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα (τουτέστιν αἴξ),
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·

ἣν Ἡσίοδος μὲν Τυφῶνος καὶ Ἐχίδνης, Ὅμηρος δὲ τραφῆναι ὑπὸ Ἀμισωδάρου φασίν. Σκύλλα δὲ Κραταίας καὶ Τυῤῥήνου ἢ Φόρκου, πρόσωπον ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κυνῶν κεφαλὰς ἓξ καὶ πόδας δώδεκα. ὁ δὲ Κέρβερος Ἅιδου μὲν κύων λέγεται εἶναι, εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, οὐρὰν δὲ δράκοντος, κατὰ νώτου δὲ παντοίων ὄφεων εἶχε κεφαλάς.

590. Ἐριφύλη] Κάδμος ὁ Ἀγήνορος καὶ Τηλεφάσσης λαμβάνει μὲν γυναῖκα παρὰ Διὸς Ἁρμονίαν τὴν Ἄρεως καὶ Ἀφροδίτης, ἂν κατὰ τοὺς γάμους εὐωχοῦνται πάντες οἱ θεοί. Κάδμος δὲ παρὰ Ἡφαίστου πέπλον καὶ ὅρμον λαβὼν ἡφαιστότευκτον, Ἁρμονίᾳ δῶρον γαμήλιον δίδωσιν. ὃς ὅρμος εἰς Πολυνείκην τὸν Κάδμου κατήχθη ἀπόγονον. οὗτος δὲ πρὸς Ἐτεοκλέα τὸν ἀδελφὸν περὶ τῆς Θηβῶν βασιλείας πόλεμον ἀράμενος ἄλλους τε πολλοὺς λαμβάνει συνεργούς, καὶ δὴ καὶ μάντιν ἄριστον, Ἀμφιάραον τὸν Ὀϊκλέους, πεισθέντα ὑπὸ τῆς γυναικὸς τῆς ἰδίας, Ἐριφύλης τῆς Ταλάου καὶ Λυσίππης, λαβούσης ἐπὶ τούτῳ δῶρον παρὰ Πολυνείκους τὸν ὅρμον. στρατευσάμενοι οὖν ἄλλοι μὲν ἄλλως ἀπώλοντο, Ἀμφιάραος δὲ φεύγων ἐποχούμενος ἅρματι περὶ τὸν Ἰσμηνὸν κεραυνοῦται ποταμόν. καὶ διὰ τοῦτο λέγεται τὴν Ἐριφύλην ἐπὶ τῇ τοῦ ἀνδρὸς τὸν ὅρμον δέξασθαι ψυχῇ.

X.

595. Τῶν τραγικῶν] τῶν συμφορᾶς μεστῶν· ἐπὶ τῶν τοιούτων γὰρ ταῖς τραγῳδίαις ἐχρῶντο.

599. Λυκοῦργος Σπαρτιάτης ἢ Λακεδαιμόνιος γέγονε τῶν Τρωϊκῶν μετὰ ἔτη νθ' (μθ' Λ), ἦν δὲ κατὰ Σιμωνίδην Πρυτάνιδος μὲν υἱός, Εὐνόμου δὲ ἀδελφός, καὶ θεῖος τοῦ Εὐνόμου υἱοῦ, Χαριλάου τοῦ βασιλεύσαντος τῆς Σπάρτης, ἧς ἦρξε καὶ Λυκοῦργος αὐτὸς ἔτη ιή, ὅτε καὶ τοὺς νόμους

ἔγραψεν, ἐπιτροπεύων τὸν ἀδελφιδοῦν. κατὰ δὲ τοὺς πλείστους Προκλέους μὲν τοῦ Ἀριστοδήμου Σόος, οὗ Εὐρυτίων, οὗ Πρύτανις, οὗ Εὔνομος, οὗ Πολυδέκτης ἐκ προτέρας γυναικὸς, ἐκ δὲ Διωνάσσης ὑστέρας Λυκοῦργος, ὃν καὶ τοὺς νόμους ἐκ Κρήτης φασὶ μετενεγκεῖν εἰς Λακεδαίμονα. Χαρώνδας ἐκ Κατάνης, πόλεως Σικελίας, διάσημος νομοθέτης τῶν Ἀθήνηθεν ἐλθόντων εἰς Θουρίους ἐποίκων. φευγόντων δὲ τῷ πατρὶ συνακολουθήσας κατῴκησεν ἐν Χαλκίδι· τὴν δὲ ὄψιν ἐλευθέριος ἦν. γενόμενος δὲ τῶν Πυθαγορείων εἰς διήνεγκε τῷ προτρεπτικῷ. Σόλων Ἀθηναῖος, Ἐξηκεστίδου υἱός, σοφὸς καὶ νομοθέτης καὶ δημαγωγὸς γεγονώς. οὗτος Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν, διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν ἀπεδήμησεν εἰς Αἴγυπτον καὶ Κύπρον, ἀλλὰ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, εἶτα εἰς Κιλικίαν, οὗ κτίζει πόλιν Σόλους λεγομένην, ἐν ᾗ τοὺς κατοικισθέντας ὑπ' αὐτοῦ Ἀθηναίους, πολλὰ τῆς Ἑλλάδος φωνῆς διὰ τὸ χρόνῳ βαρβαρωθῆναι παραφθεγγομένους, σολοικίζειν καὶ σολοίκους ἔλεγον, ἐξ οὗ καὶ σολοικισμός. τούτου τὸ μηδὲν ἄγαν. ἔγραψε δὲ νόμους οὓς ἄξονας ἐκάλεσαν, καὶ ὑποθήκας δι' ἐλεγείας. ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ.

600. Θάλης Ἐξαμύου, Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός· εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης, καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων, καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἀλλὰ καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ· τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ γνῶθι σαυτόν. ἐτελεύτησε δὲ μονήρης, γηραιός, γυμνικὸν ἀγῶνα θεώμενος, ὑπὸ καύματος ἐκλυθείς.

Ἀνάχαρσις Γνούρου υἱὸς τοῦ βασιλέως Σκυθῶν, μητρὸς δ' Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν. οὗτος ἐξενώθη ἐν Ἀθήναις Σόλωνι, καὶ ἐπανελθὼν εἰς τὴν Σκυθίαν ἔθη Ἑλληνικὰ παραδιδάξαι, ἐτοξεύθη ὑπὸ τοῦ ἀδελφοῦ, καὶ ἀποπνέων ἔφη "διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ πατρίδι ἀνῃρέθην." Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, Τυῤῥηνός. νέος δὲ ὢν ἦλθεν ἐκ Τυῤῥηνῶν εἰς Σάμον, καὶ διήκουσε Φερεκύδους τοῦ Συρίου, εἶτα Ἑρμοδάμαντος, ἐν Σάμῳ ἀμφοῖν, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρατος τοῦ μάγου. μεθ' οὓς ὑπὸ Αἰγυπτίων καὶ Χαλδαίων ἐπαιδεύθη. εἶτα εἰς Σάμον ἐλθὼν διὰ Πολυκράτη τὸν τύραννον ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καὶ τ' ἔσχε μαθητάς, προτέρους τε ἀδελφοὺς Εὔνομον καὶ Τυῤῥηνόν, καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται θύουσιν ὡς Κρόνῳ, γαμετήν τε Θεανώ, ἐξ ἧς παῖδες Τηλαύγης ὁ σχολαρχήσας μετ' αὐτὸν καὶ Δάμων ἢ ὥς τινες Μνήσαρχος, θυγάτηρ δὲ Μυῖα, ἢ ὥς τινες Ἀριγνώτη. συνεγράψατο δὲ βιβλία τρία, παιδευτικόν, πολιτικόν, φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ, φυγόντος εἰς Θήβας ἐκ τοῦ ἐμπρησμοῦ καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ καὶ τὰ χρυσᾶ ἔπη Πυθαγόρου φασὶν εἶναι. ἀπείχετο δὲ τῶν ἐμψύχων καὶ κυάμων, καὶ τὴν ψυχὴν ἔφη ἀθάνατον. ἐνενηκοντούτης δὲ τελευτᾷ μετὰ μαθητῶν μ', ἐμπρησθέντων ἐν οἰκίᾳ τῇ αὐτῇ. ἄλλοι δέ φασιν ὅτι πολεμῶν μετὰ τῶν μαθητῶν ὑπὸ Ἀκραγαντίνων ἀπώλετο. Κρεώ-

φυλος Χῖος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβε παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος. Πρωταγόρας Ἀρτέμωνος, Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησε, καὶ ἐπὶ ῥητορείαν ἔσχε, καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε, καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ'· διὸ καὶ ἐπεκλήθη λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ' Ἀθηναίων· εἶπε γάρ "περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσίν." ἔγραψε δὲ εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἐτῶν ἐνενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα. Πρόδικος Κεῖος φυσικὸς φιλόσοφος, Δημοκρίτου σύγχρονος τοῦ Ἀβδηρίτου, Γοργίου δὲ καὶ Πρωταγόρου μαθητής. τελευτᾷ κώνειον πιὼν ὑπὸ Ἀθηναίων ὡς τοὺς νέους διαφθείρων.

605. Ἀντίστροφον] ἀντὶ τοῦ ἰσόστροφον. Κῆδος] λύπη, ὡς νῦν, ἡ μέριμνα, ἡ ἐπὶ γάμῳ συναλλαγή.

606. Βωμολοχία ἐστὶ προσεδρεία τις περὶ τοὺς βωμοὺς ὑπὲρ τοῦ τι παρὰ τῶν θυόντων λαβεῖν. μεταφορικῶς δὲ καὶ ἡ παραπλησίως ταύτῃ ὠφελείας ἕνεκά τινος κολακεία, καὶ βωμολόχος ὁ κατ' αὐτὴν διακείμενος, ἢ ὁ εὐτράπελος καὶ γελωτοποιός· τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα, ἢ τὸν πανοῦργον καὶ συκοφάντην. καὶ βωμακεύματα καὶ βωμολοχεύματα, ὡς Ἀπολλόδωρος ὁ Κυρηναῖος.

607. Λακέρυζα] μέγα κράζουσα.

609. Ἐρυσίβην] θηρίδιόν τι ἐν τῷ σίτῳ γιγνόμενον, ὃ λυμαίνεται τὸν καρπόν. τινὲς δὲ νόσον ἐκ τοῦ περιέχοντος ἐπιγιγνομένην τοῖς σπέρμασιν.

610. Σχολῇ] νῦν ἀντὶ τοῦ οὐδαμῶς. σημαίνει δὲ καὶ τὴν περί τι προσεδρείαν καὶ σπουδήν, καὶ τοὐναντίον τὴν ἀπό τινος ἀργίαν, ἔτι δὲ καὶ τὴν κατὰ τὴν παιδευτικὴν ἐν λόγοις διατριβήν.

611. Τὸν Γλαῦκόν φασι Σισύφου καὶ Μερόπης εἶναι υἱόν, γενέσθαι δὲ θαλάττιον δαίμονα. οὗτος γὰρ περιτυχὼν τῇ ἀθανάτῳ πηγῇ καὶ κατελθὼν εἰς αὐτὴν ἀθανασίας ἔτυχε, μὴ δυνηθεὶς δὲ ταύτην τισὶν ἐπιδεῖξαι εἰς θάλασσαν ἐῤῥίφη. καὶ περίεισι τοὺς αἰγιαλοὺς πάντας καὶ τὰς νήσους ἅπαξ τοῦ ἐνιαυτοῦ ἅμα τοῖς κήτεσι. μαντεύεται δὲ πάντα φαῦλα· καὶ γὰρ ἐπιτηροῦσιν οἱ ἁλιεῖς νύκτα, καθ' ἣν αὐτοῖς χρᾷ σὺν πατάγῳ πολλῷ, καὶ καταδύντες εἰς τὸ κοῖλον τῆς νεὼς ἐστραμμένης αὐτῆς (ἀόρατος γὰρ ὁ δαίμων αὐτοῖς) θυμιῶσιν, ἐπευχόμενοι ἀπαλλαγὴν ὧν προαγορεύει. ὁ δὲ προσνηξάμενος τῇ πέτρᾳ ὀλοφύρεται τὴν ἀθανασίαν Ἑλλάδι φωνῇ αἰολιζούσῃ, καὶ προλέγει ζώων καὶ καρπῶν φθοράν. οἱ δὲ ἀπεύχονται ἀπόσιτοι καὶ ἄποτοι διατελοῦντες.

612. Νέφος τὴν Ἄϊδος κυνῆν φασὶν ἀθάνατον καὶ ἀφανές, ἤγουν ἀορασίαν, ὃ περιβάλλονται οἱ θεοί, ὅταν ἐθέλωσιν ἀλλήλοις μὴ γιγνώσκεσθαι. εἴληπται δὲ εἰς παροιμίαν ἐπὶ τῶν ἀφανῶς τι ποιούντων.

614. Ἦρ μέν ἐστιν ὁ τοῦ μύθου πατήρ, Ἀρμενίου τοὔνομα υἱός, Πάμφυλος γένος. τοῖς δὲ μυθικοῖς πλάσμασι ποιητικῆς χάριτος δεῖ καὶ τῶν τοῦ κάλλους σχημάτων, ὧν ἡ ποίησις διακορής. καὶ τούτῳ τὸν Ἀλκίνου ἀπόλογον ἐνταῦθα παρειλῆφθαί φαμεν, ἥ ἐστι τοῦ Ὀδυσσέως

νέκυια, καὶ τὰ ἐν Ἅιδου θεάματα, τῷ ψυχούλκῳ τῶν σφαγίων χρησαμένου αἵματι. ὅθεν καὶ εἰς παροιμίαν παρελήφθη τὸ τὸν περὶ τῶν ἐν Ἅιδου τι λέγοντα λέγεσθαι Ἀλκίνου λέγειν ἀπόλογον. ἀντιπαρατείνεται οὖν τῷ τοῦ Ἀλκίνου λόγῳ ὑπὸ Ὀδυσσέως ῥηθέντι ὁ ὑπὸ τοῦ Ἠρός. πλὴν ἐκεῖ μὲν ὁ Ἀλκίνοος πρὸς εἰρήνην ὑπόκειται βλέπων καὶ τρυφήν· ἐνταῦθα δὲ γεννάδας τις ὁ Ἠρ ἱστόρηται καὶ πολεμικός, καὶ μετὰ τὸ κατὰ τὸν πόλεμον ἀποθανεῖν, ἃ χωρισθείσης αὐτῷ τῆς ψυχῆς ἴδοι ἐν Ἅιδου, ἀπαγγέλλων δείματα.

616. Ἀσπάλαθός ἐστι φυτὸν ἀκανθῶδες.

621. Μῦθος ἐσώθη] τοῖς μὲν οὖν πολλοῖς προστιθέναι τοῖς μύθοις ἔθος ἦν, ὅτι μῦθος ἀπώλετο, δεικνύναι βουλομένοις ὡς ἄρα οἱ μῦθοι λέγουσι μὴ ὄντα, καὶ ἅμα ἐρρήθησαν καὶ οὐκ εἰσίν. Πλάτων δὲ τοὐναντίον πανταχοῦ σώζεσθαί τε καὶ σώζειν φησὶ τοὺς μύθους τοὺς παρ' αὐτῷ, μάλα γε εἰκότως. τῶν γὰρ ὄντων εἰσὶν ἐξηγηταί, καὶ ὠφέλιμοι διὰ τοῦτο. τοὺς γὰρ πειθομένους αὐτοῖς ἐπανάγουσιν αὐτοφυῶς ἐπὶ τὴν τῶν ὄντων ἀλήθειαν, καίπερ ἄνευ εἰκότων καὶ ἀποδείξεων διδάσκοντες, ὡς ἂν ταῖς ἀδιαστρόφοις ἡμῶν προλήψεσι περὶ τῶν πραγμάτων συνᾴδοντες.

IN TIMÆUM.

17. Ὑπόθεσις. Σωκράτης εἰς Πειραιᾶ ἀφικόμενος τῆς τῶν Βενδιδείων ἑορτῆς ἕνεκα καὶ πομπῆς, διείλεκται περὶ πολιτείας ἐκεῖ πρός τε Πολέμαρχον τὸν Κεφάλου καὶ Γλαύκωνα καὶ Ἀδείμαντον καὶ δὴ καὶ Θρασύμαχον τὸν σοφιστήν. τῇ δὲ ὑστεραίᾳ τῆς ἡμέρας ταύτης ἐν ἄστει πρὸς Τίμαιον καὶ Ἑρμοκράτη καὶ Κριτίαν καὶ τέταρτον ἐπὶ τούτοις ἄλλον ἀνώνυμον διηγεῖται τὴν ἐν Πειραιεῖ ξυνουσίαν, ὡς ἐν τῇ Πολιτείᾳ ὑπόκειται. διηγησάμενος δὲ παρεκάλεσε καὶ τοὺς ἄλλους οἰκείους αὐτὸν ἀνταφεστιᾶσαι λόγοις τῇ ταύτης ὑστεραίᾳ. συνεληλύθασιν οὖν ἀκροασόμενοί τε καὶ ἐροῦντες εἰς τήνδε τὴν ἡμέραν, τρίτην οὖσαν ἀπὸ τῆς ἐν Πειραιεῖ συνουσίας· ἔν τε γὰρ τῇ Πολιτείᾳ τὸ κατέβην χθὲς εἴρηται, κἀνταῦθα τὸ τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δὲ ἑστιατόρων. πάρεισι δὲ εἰς τήνδε τὴν ἀκρόασιν οὐ πάντες, ἀλλ' ὁ τέταρτος δι' ἀσθένειαν ἀπολείπεται. Ὁ Ἀττικός, φησὶν ὁ Πρόκλος, ὀρθῶς περὶ τοῦ τετάρτου τοῦδε ἐπισημαίνεται. ἔοικε γὰρ ὁ ἀπολειπόμενος οὗτος εἶναι τῶν μετὰ Τιμαίου ξένων. διὸ καὶ ὁ Σωκράτης αὐτὸν ἐρωτᾷ τὸν Τίμαιον ὅπου ποτὲ εἴη ὁ τέταρτος, καὶ ἐκεῖνος ὡς περὶ ἐπιτηδείου τινὸς ἀπολογεῖται, τὴν ἀπουσίαν ἀναγκαίαν αὐτῷ καὶ ἀβούλητον δεικνύς. Ἀνταφεστιᾶν φησίν, ἀλλ' οὐκ ἀνθεστιᾶν· ἡ γὰρ ἀφεστίασις τὴν ὁλοτελῆ τῆς ἑστιάσεως ἀποπλήρωσιν συνείληφεν.

18. Εὐμνημόνευτον] ὅτι τὸ ἀῆθες εὐμνημόνευτον· κινεῖ γὰρ μᾶλλον τὴν φαντασίαν ὡς παράδοξον, καὶ τὸν τύπον ἑαυτοῦ τρανέστερον ἡμῖν ἐντίθησιν. Ὑπὸ γὰρ τῶν ἀρχόντων κατὰ τὸ καθῆκον ἑκάστῳ λάθρα τῶν κλήρων γιγνομένων τῆς συνέρξεως καὶ οὐ φανερῶς, ὑπολαμβάνειν ἀνάγκη τυχηρῶς τοὺς φαύλους συναρμόζεσθαι αὐτοὺς ταῖς φαύλαις καὶ οὐ κατά τινα πρόνοιαν.

19. Ὅτι Σωκράτης ποθεῖ μετὰ τὴν πολιτείαν ταύτην ἰδεῖν κινουμένην τὴν πόλιν τὴν κατὰ αὐτὴν εἰς ἀγῶνας καὶ ἄθλους, ἵνα μετὰ τὴν εἰρηνικὴν ζωήν, ἣν παραδέδωκε, τὰς περιστατικὰς ἐνεργείας ἱστορήσῃ.

20. Τίμαιος ἐκ Λοκρῶν τῶν Ἐπιζεφυρίων, τῆς ἐν Ἰταλίᾳ πόλεως, φιλόσοφος Πυθαγόρειος, ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα, τὸν Πυθαγορικὸν τρόπον· ἔνθεν ὁ Πλάτων καὶ τὸν διάλογον εἰς αὐτὸν ἔγραψε, καθὰ καὶ ὁ σιλλογράφος φησὶ περὶ αὐτοῦ

πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξατο βίβλον,
ἔνθεν ἀφορμηθεὶς τιμαιογραφεῖν ἐπεχείρει.

ἐκ ταύτης τῆς πόλεως καὶ Ζάλευκος ὁ νομοθέτης ἦν. ὁ δὲ Κριτίας ἦν μὲν γενναίας καὶ ἁδρᾶς φύσεως, ἥπτετο δὲ καὶ φιλοσόφων συνουσιῶν, καὶ ἐκαλεῖτο ἰδιώτης μὲν ἐν φιλοσόφοις, φιλόσοφος δὲ ἐν ἰδιώταις· ἐτυράννευσε δὲ καὶ αὐτὸς εἷς τῶν λ' γεγονώς. ὁ δὲ Ἑρμοκράτης Συρακούσιός ἐστι στρατηγός, κατὰ νόμον ζῆν ἐφιέμενος· διὸ καὶ πολιτικῆς πῶς μετεῖχε καὶ φιλοσοφίας. Ἄκουε δὴ] τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα, ἴσον ὂν τῷ δέχου δὴ τὰ ἄξια ἀκοῆς. Οἰκεῖος] λέγονται γὰρ οἰκεῖοι καὶ οἱ συγγενεῖς. Ἐν τῇ ποιήσει]

εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν·
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

Κριτίαν ἡμέτερον πάππον] Ἐξηκεστίδης, Σόλων, Δρωπίδης, οὗ Κριτίας ὁ πρῶτος, οὗ Κάλλαισχρος, οὗ Γλαύκων, Κριτίας ὁ δεύτερος, Περικτιόνη, Χαρμίδης, Πλάτων, Γλαύκων, Ἀδείμαντος.

21. Κριτίας] ὁ παλαιὸς δηλαδή. Ἀπατούρια ἑορτὴ Ἀθήνησιν εἰς Διόνυσον, ἐκ τοῦδε. Μελάνθιος ἀντὶ Θυμοίτου τοῦ βασιλέως Ἀθηναίων Ξάνθῳ μονομαχῶν τῷ Βοιωτῷ, ἠπάτησεν αὐτὸν εἰπὼν "παρὰ τὴν ὁμολογίαν, ὦ Ξάνθε, δεύτερος ἥκεις." τοῦ δὲ Ξάνθου ἐπιστραφέντος, ἵνα ἴδοι τὸν δεύτερον, αὐτὸν μὲν μηδένα ἰδεῖν, Μελάνθιον δὲ τοῦτον ἐξ ἐπιδρομῆς ἀνελεῖν, καὶ οὕτως ἐξ ἀπάτης νικῆσαι Ἀθηναίους, ὑπὲρ Οἰνόης πολεμοῦντας Βοιωτοῖς. ἑώρταζον δὲ ἡμέρας τρεῖς, ὧν ἡ πρώτη ἐκαλεῖτο ἀνάρρυσις (τὰ γὰρ θύματα λέγεται ἀναρρύματα, παρὰ τὸ ἄνω ἐρυόμενα θύεσθαι· καὶ γὰρ ἐν ταύτῃ πολλὰ ἐθύετο), ἡ δὲ δευτέρα δορπία, καθ' ἣν εὐωχίαι καὶ δεῖπνα πολλά, ἡ δὲ τρίτη κουρεῶτις· ἐν ταύτῃ γὰρ τοὺς κόρους ἐνέγραφον εἰς τοὺς φράτερας, τριετεῖς ἢ τετραετεῖς ὄντας. ἐν ᾗ καὶ τῶν παίδων οἱ ἐντρεχέστεροι ποιήματα ἄττα ᾖδον, τὰ τῶν παλαιῶν ῥαψῳδοῦντες. Φρατέρων] Ἀθήνησιν αἱ φυλαὶ μετὰ μὲν Ἴωνα τέσσαρες, ἀπὸ δὲ Κλεισθένους δέκα, μετὰ δὲ ταῦτα δώδεκα. διῃρέθη δὲ ἑκάστη εἰς τρία, καὶ τὸ τρίτον ἐκλήθη τριττύς, εἶτα πατριὰ καὶ φρατρία, καὶ φράτερες οἱ εἰς τὴν αὐτὴν φυλὴν ταττόμενοι καὶ φρατρίαν ὡς ἀλλήλων συγγενεῖς, καὶ εἰς τούτους τοὺς φράτερας ἡ ἐγγραφὴ τῶν κόρων ἐγίγνετο. Τί, τὸ ἔργον· πῶς, τίνα τρόπον· παρὰ τίνων, τῶν διασωσαμένων αὐτὸ μέχρι τῆς Σόλωνος ἀκοῆς. Σαϊτικὸς] ἐκ τῶν Μανεθῶ Αἰγυπτιακῶν. ἑπτακαιδεκάτη δυναστεία ποιμένες ἦσαν ἀδελφοὶ Φοίνικες ξένοι βασιλεῖς, οἳ καὶ Μέμφιν εἷλον, ὧν πρῶτος Σαΐτης ἐβασίλευσεν ἔτη ιθ', ἀφ' οὗ καὶ ὁ Σαΐτης νομὸς ἐκλήθη· οἳ καὶ ἐν τῷ Σεθραΐτῃ νομῷ πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο. δεύτερος τούτων Βνῶν ἔτη μ', τρίτος Ἀρχάης ἔτη λ', τέταρτος

Ἄφωφις ἔτη ιθ· ‖ [1] ϛγ΄. ὁ δὲ Σαΐτης προσέθηκε τῷ μηνὶ ὥρας ιβ΄, ὡς εἶναι ἡμερῶν λ΄, καὶ τῷ ἐνιαυτῷ ἡμέρας ϛ΄, καὶ γέγονεν ἡμερῶν τξε΄.

Νομὸς] ἀπὸ τοῦ νενεμῆσθαι τὴν γῆν οὕτω λέγεται. Σημείωσαι ὅτι τὴν Σαῒν ἀκίνητόν φησιν ὑπὸ σεισμῶν. διὸ καὶ Αἰγύπτιοι εἰς τὴν ἄρκτον αὐτὴν ἱερατικῶς ἀναπέμπουσιν, ὡς μετέχουσάν τινος ἐκεῖθεν ἀποῤῥοίας, διὰ τὸν περὶ τὸν πόλον τόπον δεξαμένην ἑδραίαν στάσιν.

22. Φορωνεὺς Ἰνάχου καὶ Μελίας, Ἀργείων βασιλεύς. Νιόβη δὲ τούτου παῖς καὶ Τηλοδίκης τῆς Ξούθου. Δευκαλίων δὲ καὶ Ἐπιμηθεὺς Προμηθέως καὶ Κλυμένης. Πύῤῥα δὲ Ἐπιμηθέως καὶ Πανδώρας τῆς ὑπὸ θεῶν πεπλασμένης. Ὅτι τρεῖς ἱστοροῦσι γενέσθαι κατακλυσμούς, πρῶτον τὸν ἐπὶ Ὠγύγου, ὃς ἦν τῆς Ἀττικῆς βασιλεύς, δεύτερον τὸν ἐπὶ Δευκαλίωνος, ὅτε καὶ τὰ κατὰ Θετταλίαν ὄρη διέστη καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα, τρίτον τὸν ἐπὶ Δαρδάνου τοῦ Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος, ὃς Δάρδανος ἐβασίλευσε μετὰ τὸν κατακλυσμὸν τῆς ἀντίπερα Σαμοθράκης ἠπείρου, διὰ σχεδίας αὐτόσε κομισθείς. Τινα] Πατένεϊτ τοὔνομα. Ὅτι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι φασὶ τόν τε πρὸς Θεσσαλίαν καὶ τοὺς ἐκείνῃ τόπους κατακλυσμόν, καὶ τὴν ἐν Αἰθιοπίᾳ ὑπὸ τοῦ Φαέθοντος ἐκπύρωσιν. Παράλλαξιν τὴν ἀσυμμετρίαν τῶν ἐν γῇ πρὸς τὰς ἐκ τοῦ οὐρανοῦ ἡκούσας εἰς αὐτὴν ἀποῤῥοίας φησί· συμμέτρως γὰρ ἔχοντα διαμένει, ἀσυμμέτρως δὲ φθείρεται. ἢ τὸν τῶν οὐρανίων ποικίλον σχηματισμόν· οὗτοι γάρ εἰσιν οἱ κατὰ οὐρανὸν περὶ γῆν ἰόντες, καὶ ἄλλοτε ἄλλα σχήματα δεικνύντες διὰ τὰς ποικίλας νοήσεις τῶν ψυχῶν· γράμματα γὰρ ἐκεῖνα τὰ σχήματά ἐστι καὶ τύποι τινὲς δραστήριοι δι' ἐκείνους. Λυόμενος] Ἀττικῶς ἀντὶ τοῦ λύων τῆς ἀπορίας ὁ Νεῖλος ἡμᾶς. Κατὰ δὲ τήνδε] κατὰ τὴν ἄνω Αἴγυπτον δηλονότι· κατὰ γὰρ τὴν κάτω, ἣν ἔργον τοῦ ποταμοῦ φησὶν Ἀριστοτέλης, ὄμβροι εἰώθασι γίνεσθαι. ἐπανιέναι δὲ λέγει οὐ τὸ κάτωθεν ἀναβλυσθαίνειν, ἀλλὰ τὸ τὸ ὕδωρ ἀλλαχόθεν αὐξόμενον ἀνωτέρω τῆς γῆς χωρεῖν, ὑδάτων καταῤῥηγνυμένων εἰς τὸν Νεῖλον ἐξ ἄλλων τόπων τῶν κατὰ τὰ Σεληναῖα ὄρη, ἀφ' ὧν αἱ τούτου πηγαί, ἐκ τῆς γιγνομένης ἐν αὐτοῖς πιλήσεως τῶν νεφῶν ὑπὸ τῶν Ἐτησίων ἀνέμων, ὡς Θεόφραστός φησι. ταῦτα δὲ τὰ ὄρη ὑψηλότατά ἐστιν.

23. Διαφορὰν ἔχον] ἀντὶ τοῦ παραδόξως ἐκβεβηκός. Πάλιν δι' εἰωθότων] ὅτι κατά τινας ἐπιτελοῦνται περιφορὰς καὶ αἱ τοιαῦται φθοραί, ἐχούσας τινὰ καὶ αὐτὰς ἀκολουθίαν πρὸς τὴν ὅλην τοῦ θείου γεννητοῦ περίοδον. Γῆς τε καὶ Ἡφαίστου] Ζεὺς Μήτιδι συνελθὼν καὶ γενομένην ἔγκυον καταπίνει, ἐπείπερ ἔλεγε παῖδα γεννήσειν μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γεννᾶσθαι κόρην, ὃς δυναστεύσει οὐρανοῦ. ὡς δ' ὁ καιρὸς τῆς ταύτης ἐνέστη γεννήσεως, δεῖται Ἡφαίστου πρὸς τοῦτο συνεργοῦ, ὡς κατὰ τῆς κεφαλῆς πλήξειεν αὐτόν· ἐπὶ ταύτης γὰρ ἐκυοφόρει τὸ ἔμβρυον. ὁ δὲ οὐκ ἄλλως ὑπακούσας κατένευσεν, εἰ μὴ τῇ γεννωμένῃ συγχωρηθείη συνελθεῖν εἰς εὐνήν. ὑποστάντος δὲ τοῦ Διός, πελέκει τούτου τὴν κεφαλὴν Ἥφαιστος πλήττει. καὶ γεννᾶται μὲν οὕτως

[1] Hanc notam esse adverbii ὁμοῦ arbitratur Bastius Corinth. p. 827.

ἐξ αὐτῆς Ἀθηνᾶ, ἐπιδιώκων δὲ αὐτὴν Ἥφαιστος ἀποσπερμαίνει μὲν εἰς τὸν ταύτης μηρόν, ἡ δὲ λαβοῦσα ἔριον τὸ σπέρμα ἐξέμαξεν, ἔῤῥιψέ τε εἰς γῆν. καὶ οὕτως ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς δρακοντόπους ἄνθρωπος ἐγένετο, Ἐριχθόνιος τοὔνομα. τοῦτ᾽ οὖν ἐνταῦθά φησιν, ὅτι Ἀθηναῖοι τοῦτον λέγουσι γενέσθαι παρ᾽ αὐτοῖς αὐτόχθονα.

24. Παραδείγματα νῦν, ὥς φησι Πρόκλος, τὰς εἰκόνας καλεῖ, ἐπείπερ αὗται γίγνονται παραδείγματα τοῖς ἀπ᾽ αὐτῶν ἀναπεμπομένοις, καὶ δι᾽ αὐτῶν τὰ πρῶτα γιγνώσκουσιν. Μαθήματα] γεωμετρία, ἀστρονομία, λογιστική, ἀριθμητική, καὶ αἱ ταύταις συγγενεῖς. Εὐρώπη κέκληται ἀπὸ Εὐρώπης τῆς Ἀγήνορος ἢ Φοίνικος ἢ Τιτυοῦ, Ἀσία δὲ ἀπὸ Ἀσίας τῆς Οὐρανοῦ καὶ Γῆς, Λιβύη δὲ ἀπὸ Λιβύης τῆς Ἐπάφου, βασιλέως Αἰγύπτου, καὶ Μέμφεως τῆς Νείλου· οἱ δὲ Ἀμφιῤῥόης. Ἀτλαντικοῦ πελάγους] τὸν Ἡρακλέα λόγος πολλὰς ἀβάτους διαπορευθέντα εἰς τὸν Ἄτλαντα, τὸ ὄρος, ἐξ οὗ καὶ τὸ πέλαγος ὠνομάσθαι, ἐλθεῖν· ὃ ἐξ Ἄτλαντος τοῦ Ποσειδῶνος καὶ Κλειτοῦς καλεῖται, ὃ διὰ τὸ ὕψος ἐπ᾽ αὐτοῦ φέρεσθαί φασι τὸν οὐρανόν. καὶ γὰρ τοῦ αἰθέρος αὐτοῦ λέγει Μάρκελλος τὴν τοῦδε ψαύειν κορυφήν, καὶ σκιὰν ἐκπέμπειν ἄχρι πεντακισχιλίων σταδίων· ἀπὸ γὰρ θ' ὥρας ἡμερινῆς κρύπτεσθαι τὸν ἥλιον ὑπ᾽ αὐτοῦ μέχρι τελέας καταδύσεως. καὶ ὁ Ἄθως ἐπὶ ἑπτακοσίους σταδίους ἕως Λήμνου σκιάζει. Πτολεμαῖος δὲ τὰ Σεληναῖα ὄρη τὸ ὕψος ἄπλετον ἔχειν φησί. καὶ Ἀριστοτέλης τοῦ Καυκάσου τὴν κορυφὴν τὸ τρίτον μετὰ δυσμὰς καὶ τὸ τρίτον πρὸ ἀνατολῶν μέρος τῆς νυκτὸς ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καταυγάζεσθαι. Ἡρακλέους στήλας] Ἡρακλῆς ἦκε μὲν εἰς Ἐρύθειαν, ἣ νῆσός ἐστιν Ὠκεανοῦ κειμένη πλησίον, ἣ νῦν Γάδειρα καλεῖται, ἐπὶ δὲ τῷ τὰς βοῦς ἀγαγεῖν Γηρυόνου τοῦ Χρυσάορος καὶ Καλλιῤῥόης τῆς Ὠκεανοῦ, ὃς ἦν τρία σώματα ἔχων συμφυέντα εἰς ἓν ἀπὸ λαγόνος τε καὶ μηρῶν, εἶχε δὲ βοῦς φοινικᾶς, βουκόλον Εὐρυτίωνα, κύνα φύλακα Ὄρθον δικέφαλον, τὸν Ἐχίδνης καὶ Τυφῶνος. δι᾽ Εὐρώπης οὖν πορευθεὶς Λιβύης ἐπέβη, καὶ παρελθὼν Ταρτησσὸν ἵστησι μὲν σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας, ἐλαύνει δὲ πρὸς Εὐρυσθέα τὸν Τίρυνθος βασιλέα τὰς βοῦς, ᾗ προσετάγη ὑπ᾽ αὐτοῦ. Ἡ δὲ νῆσος] ὅτι μὲν ἐγένετο τοιαύτη τις νῆσος καὶ τηλικαύτη, δηλοῦσί τινες τῶν ἱστορούντων τὰ περὶ τῆς ἔξω θαλάσσης. εἶναι γὰρ καὶ ἐν τοῖς αὐτῶν χρόνοις ἑπτὰ μὲν νήσους ἐν ἐκείνῳ τῷ πελάγει Περσεφόνης ἱεράς, τρεῖς δὲ ἄλλας ἀπλέτους, τὴν μὲν Πλούτωνος, τὴν δὲ Ἄμμωνος, μέσην δὲ τούτων ἄλλην Ποσειδῶνος χιλίων σταδίων τὸ μέγεθος, καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ μνήμην ἀπὸ τῶν προγόνων διασώζειν περὶ τῆς Ἀτλαντίδος, ὄντως γενομένης νήσου ἐκεῖ παμμεγεθεστάτης, ἣν ἐπὶ πολλὰς περιόδους δυναστεῦσαι πασῶν τῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει νήσων, Ποσειδῶνος καὶ αὐτὴν οὖσαν ἱεράν. ταῦτα μὲν οὖν Μάρκελλος ἐν τοῖς Αἰθιοπικοῖς γέγραφεν, ἡμεῖς δὲ ἀπὸ τῶν Πρόκλου ἐξελόντες παρεθέμεθα.

25. Βασιλέων] δέκα γὰρ βασιλεῖς ἦσαν ἐν αὐτῇ, τεχθέντες δίδυμοι πεντάκις· καὶ τἄλλα δὴ τὰ ἐνταῦθα λεγόμενα ἐν τῷ Κριτίᾳ διαῤῥήδην ἱστόρηται. Ποσειδῶνος δὲ καὶ Κλειτοῦς οὗτοι, ὧν ὁ πρῶτος, ὡς ὁ Πρόκλος φησίν, Ἄτλας ἐκαλεῖτο, ἐξ οὗ καὶ ἡ νῆσος ὠνόμασται. Αἰ-

γυπτος κέκληται ἀπὸ Αἰγύπτου τοῦ Βήλου καὶ Ἀγχιρόης τῆς Νείλου, τοῦ βασιλέως Αἰγυπτίων. τοῦτον ὁ πατὴρ ἐν Ἀραβίᾳ κατοικίζει· ὁ δὲ καταστρεψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. Τυῤῥηνία δὲ ἀπὸ Τυῤῥηνοῦ τοῦ Ἄγρωνος τοῦ Ἄτυος τοῦ Λυδοῦ, καὶ δὴ καὶ τὸ Τυῤῥηνικὸν πέλαγος. οὗτος κατὰ χρησμὸν ἐκ Λυδίας ἀπάρας εἰς τούσδε ἀφίκετο τοὺς τόπους, ἐκ Σαρδοῦς τε τῆς αὐτοῦ γυναικὸς, ἀφ' ἧς καὶ κατὰ Λυδίαν Σάρδεις ἡ πόλις, ἡ ἀργυρόφλεψ νῆσος τὸ πρὶν Σαρδὼ νῦν ὀνομάζεται. Πρόκλου. ὅτι ὅπου ἅμα σεισμῷ γίνεται κατακλυσμὸς, κῦμα τούτου τοῦ πάθους αἴτιον. ὅταν γὰρ τὸ τὸν σεισμὸν ποιοῦν πνεῦμα μηδέπω ῥέον ὑπὸ γῆν, τὴν θάλατταν ὑπό τινος ἐναντίου πνεύματος αὐτῷ κινουμένην, ἐξ ἐναντίας φερόμενον ἀπῶσαι μὲν εἰς τοὐπίσω μὴ δυνηθῇ διὰ τὸν προωθοῦντα ἄνεμον αὐτὴν, ἱστᾷ δὲ καὶ ἐμποδίζον αὐτῆς τὴν πρόοδον αἴτιον γίγνηται τοῦ πολλὴν ὠθουμένην ὑπὸ τοῦ ἐναντίου τούτῳ πνεύματος ἀθροισθῆναι, τότε δὴ, πολλῆς τῆς θαλάττης γενομένης διὰ τὸ ἀπ' ἐναντίας ὠθοῦν, αὐτὸ μὲν ὑπὸ γῆν ἔδυ, τῆς ῥοῆς ἀθρόας ἐπιχυθείσης, καὶ ἐποίησε τὸν σεισμὸν, ἡ δὲ θάλασσα ἐπέκλυσε τὸν τόπον. τοῦτον γὰρ τὸν τρόπον καὶ περὶ Ἀχαίαν γενέσθαι τὸν σεισμὸν ἅμα καὶ τὴν τοῦ κύματος ἔφοδον τοῦ ἐπικλύσαντος τὰς παραθαλασσίους πόλεις, Βοῦραν καὶ Ἑλίκην. Κάρτα λίαν, μεγάλως. Τοῦτο καὶ οἱ τοὺς ἐκείνῃ τόπους ἱστοροῦντες λέγουσιν, ὡς πάντα τεναγώδη τὸν ἐκεῖ εἶναι χῶρον. τέναγος δέ ἐστιν ἰλύς τις ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ καὶ βοτάνης ἐπιφαινομένης τούτῳ, ἢ πηλώδη πελάγη, ἢ διάβροχοι ἢ κάθυγροι τόποι.

40. Ἰλλομένην φησὶν ὁ Σιμπλίκιος καὶ ὅσοι συνηγοροῦσι τῷ Πλάτωνι, τοῦ Ἀριστοτέλους εἰλουμένην ἀναγινώσκοντος κἀκ τούτου τὸν Πλάτωνα ταῖς εὐθύναις ὑπάγοντος τὴν γῆν εἰλεῖσθαι καὶ στρέφεσθαι φάσκοντα. T.

52. Πλόχανόν ἐστι πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται.

76. Λέμμα φλοιός, λέπισμα.

81. Τὰ στηρίγματα τῆς πηγνυμένης νεαὺς δρυόχους φασίν.

84. Εὐρώτος] σεσηπυίας ὑγρότητος. Σφακελισμός ἐστι σῆψις μυελοῦ, καὶ σφάκελος ἡ μετὰ σπασμοῦ τῆς χολῆς πρόσεσις. ὁ δὲ σπασμὸς οὗτος μετὰ φλεγμονῆς. ἰατροὶ δὲ τὴν μελανίαν ἢ τὴν σφοδρὰν ὀδύνην, ἔνιοι δὲ τὴν τῶν ὀστέων σῆψιν. λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός. ἀλλὰ καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος.

Non aliena fortasse ab hoc loco, quæ codex Paris. Reg. 1832 (f. 37. r. — 46. v.) habet pro illis Procli (ed. Basil. prim. p. 374, 33 — 388, 19) ὅλοις τὴν αὐτὴν — εἰσὶν αἱ ἰδιότητες.

. . . . . . ἀλλ' οὐδὲ τὸ νῦν ἀθρόον καθ' ὅλα αὐτὰ τὰ στοιχεῖα μὴ φθείρεσθαι, ἀλλὰ κατ' εἶδος τὰ αὐτὰ μένειν, ἀπόδειξίς ἐστι τοῦ καὶ παντελῶς μηδέποτε τὰ ὅλα στοιχεῖα φθαρήσεσθαι. ἀνάγκη γάρ, ἕως ἂν ᾖ ὁ κόσμος, ἕκαστον τῶν τοῦ κόσμου στοιχείων, ἐξ ὧν τὸ εἶναι ὁ κόσμος ἔχει, ὅλον καθ' ὅλον αὐτὸ κατ' εἶδος σώζεσθαι. καὶ γὰρ ἕως ἂν ἡ οἰκία μένῃ οἰκία, δεῖ καὶ τὰ ἐξ ὧν σύγκειται καθ' ὅλα αὐτὰ μένειν κατ' εἶδος τὰ αὐτά, λέγω δὴ λίθους, ξύλα καὶ τὰ λοιπά, κἂν κατὰ μέρη φθείρωνται οἵ τε λίθοι καὶ τὰ ξύλα, ὡς καὶ ἐν τῷ πρὸ τούτου λόγῳ ἐδείξαμεν. καὶ ἐν

ὅσῳ τῶν ὄντων ἦν ὁ Σωκράτης, ἀνάγκη ἦν καὶ τὰ τούτου μέρη κατ' εἶδος σώζεσθαι, σάρκας φημὶ καὶ αἷμα καὶ ὀστᾶ καὶ τὰ λοιπὰ μόρια, κἂν κατὰ μέρη ἄλλα μὲν ἐφθείρετο ἄλλα δὲ ἐγίγνετο, εἴπερ ἐν γενέσει καὶ φθορᾷ τὸ εἶναι οἱ ἄνθρωποι ἔσχομεν. οὐ τὸ μὴ φθείρεσθαι οὖν νῦν κατ' εἶδος τὰς τῶν στοιχείων ὁλότητας, τοῦτο ἀπόδειξίς ἐστι τοῦ ἄφθαρτον εἶναι τὸν κόσμον, ἀλλ' εἰ διὰ λόγου δειχθείη μηδένα λόγον γενέσεως καὶ φθορᾶς ἔχοντα. νῦν δὲ τοὐναντίον ἅπαν ἥ τε τῶν μερῶν ἁπάντων φθορὰ καὶ γένεσις καὶ τῶν ὁλοτήτων κατ' ἀριθμὸν ἐξαλλαγὴ καὶ τὸ ἐναντίαις καὶ φθαρτικαῖς ἀλλήλων ποιότησι χαρακτηρίζεσθαι τὸ γενητὰ εἶναι καὶ φθαρτὰ καὶ τῶν στοιχείων ἕκαστον καὶ τὸν ἐκ τούτων συνεστῶτα κόσμον λέγειν ἡμᾶς ἀναγκάζει. εἰ γὰρ αἱ γενέσεις καὶ αἱ φθοραὶ τῶν ἐναντίων, ἐναντία δὲ τὰ ἐναντίας ἔχοντα ποιότητας, ἐναντίαις δὲ ποιότησιν αἱ τῶν στοιχείων ὁλότητες χαρακτηρίζονται, καὶ αἱ ὁλότητες ἄρα τῶν στοιχείων γενέσει τε καὶ φθορᾷ ὑποπεπτώκασιν. ὁμοειδεῖς γάρ εἰσι καὶ αἱ τῶν στοιχείων ὁλότητες τοῖς ἰδίοις μέρεσιν. ἧς γὰρ οὐσίας ἐστὶ τὸ ὅλον ὕδωρ ὡς ὕδωρ, τῆς αὐτῆς ἐστὶ καὶ τὸ μερικὸν ὕδωρ· ὑγρὸν γὰρ καὶ ψυχρὸν καὶ τὸ ὅλον ὕδωρ ἐστὶ καὶ τὸ μέρος, ὁμοίως θερμὸν καὶ ὑγρὸν κατὰ φύσιν. ἀλλὰ δὴ καὶ ὅλος ὁ ἀήρ, ὡς καὶ τὸ μέρος. θερμόν τε καὶ ξηρὸν τὸ πῦρ, ξηρόν τε καὶ ψυχρὸν ἡ γῆ κατὰ τὸν αὐτὸν τρόπον. εἰ οὖν αὗται αἱ ποιότητες ἐναντίαι οὖσαι γενέσεώς εἰσι καὶ φθορᾶς τοῖς μέρεσι τῶν στοιχείων αἰτίαι, αἱ αὐταὶ δὲ αὗται ποιότητες ἀπαραλλάκτως καὶ τὰς λοιπὰς ὁλότητας τῶν στοιχείων εἰδοποιοῦσιν ὥσπερ καὶ τὰ μέρη, καὶ αἱ ὁλότητες ἄρα τῶν στοιχείων γενηταὶ εἶεν ἂν καὶ φθαρταί, ὥσπερ ἀμέλει καὶ τὰ μέρη. τοῦ γὰρ τῆς φθορᾶς αἰτίου, λέγω δὴ τῶν ἐναντίων δυνάμεων, ὁμοίως ἔν τε τοῖς μέρεσι καὶ ἐν τοῖς ὅλοις θεωρουμένου, τίς ἡ ἀποκλήρωσις τὰ μὲν μέρη γίνεσθαι καὶ φθείρεσθαι λέγειν, τὰ δὲ ὅλα μηκέτι; πῶς δὲ οὐχὶ τοῖς μέρεσι τὰ αὐτὰ πάσχειν καὶ τὰ ὅλα ἀνάγκη, τοῦ τῆς γενέσεως καὶ φθορᾶς αἰτίου ἐν ἑκατέρῳ θεωρουμένου; τῶν δὲ ὅλων στοιχείων γενητῶν εἶναι καὶ φθαρτῶν ἀποδεδειγμένων, καὶ τὸν ἐξ αὐτῶν συγκείμενον κόσμον γενητὸν εἶναι καὶ φθαρτὸν ἀνάγκη. τούτων γὰρ φθειρομένων σώζεσθαι τὸν ἐκ τούτων συγκείμενον κόσμον ἀδύνατον. τῶν γὰρ στοιχείων, ἐξ ὧν ἐστὶν ἕκαστον, φθειρομένων καὶ αὐτὸ φθείρεσθαι ἀναγκαῖον. ὅτι μὲν οὖν οὐ τὰ μέρη γενητὰ εἴη καὶ φθαρτά, καὶ αὐτὸ γενητὸν εἶναι καὶ φθαρτὸν ἀνάγκη, καὶ ὅτι καὶ αἱ τῶν στοιχείων ὁλότητες καὶ διὰ τοῦτο καὶ ὁ ἐκ τούτων συγκείμενος κόσμος γενητός ἐστι καὶ φθαρτός, δέδεικται διὰ τῶν εἰρημένων· ὅτι δὲ γελοίως ὁ Πρόκλος τὰ ὁπωσοῦν γινόμενα καὶ φθειρόμενα οὐκ εἶναί φησι τοῦ παντὸς μέρη, ἤδη μὲν πρὸ βραχέος ἐδείξαμεν, καὶ νῦν δὲ τὸν λόγον ἐπαναλαβόντες δείκνυμεν τὸν τρόπον τοῦτον. πρῶτον οὖν ἔστω κατ' αὐτὸν τὰ ἐκ τῶν στοιχείων συγκείμενα τῶν ζώων σώματα ἀποτελέσματα εἶναι τοῦ παντὸς καὶ οὐ μέρη. ταῦτα γὰρ ὑπὸ τῶν κατ' οὐρανὸν θεῶν γίνεσθαί φησιν ὁ Πλάτων δανειζομένων ἐκ τοῦ κόσμου μόρια ὡς ἀποδοθησόμενα πάλιν. ὅτι δὲ τὰ στοιχεῖα μέρη ἐστὶ τοῦ κόσμου, καὶ αὐτὸς ὁμολογεῖ. καὶ ἐπιστῆσαι χρή, ὅπερ καὶ πρότερον εἶπον, ὅτι καὶ τὰ τῶν στοιχείων μέρη τὰ ἐκ τοῦ παντὸς δεδανεισμένα εἰς γένεσιν τῶν ζώων καὶ αὐτὰ μόρια εἶναι τοῦ κόσμου φησὶ παρὰ

Πλάτωνος λαβὼν ὁ Πρόκλος. εἰ μὲν οὖν μόνα τὰ σύνθετα ἦν τὰ γινόμενα καὶ φθειρόμενα, ἴσως ἂν παρακρούσασθαι τοὺς ἁπλουστέρους ὁ λόγος ἠδύνατο, ὡς ἀποτελέσματα τοῦ κόσμου εἰσὶ καὶ οὐ μέρη τὰ γενητὰ καὶ φθαρτὰ πάντα· εἰ δὲ καὶ αὐτὰ τὰ μέρη τῶν στοιχείων γίνεταί τε καὶ φθείρεται, εἴπερ εἰς ἄλληλα μεταβάλλει καὶ ἐξ ὕδατος φθειρομένου ἀὴρ γίνεται καὶ ἐξ ἀέρος πάλιν ὕδωρ καὶ ἐκ πάντων πάντα, δῆλον ὅτι καὶ τὰ τῶν στοιχείων μέρη γίνεταί τε καὶ φθείρεται. εἰ οὖν τὰ τῶν στοιχείων μέρη γενητὰ ὄντα καὶ φθαρτὰ καὶ τοῦ ὅλου κόσμου ἐστὶ μόρια, ὡς Πλάτων τε καὶ Πρόκλος φησίν, οὐκ ἄρα τὰ ὁπωσοῦν γινόμενα καὶ φθειρόμενα ἀποτελέσματά ἐστι τοῦ κόσμου καὶ οὐ μέρη. τὸ γὰρ μόριον τοῦ μέρους ἐπὶ τῶν ὁμοιομερῶν μάλιστα τῷ ποσῷ μόνῳ καὶ οὐ τῷ εἴδει διενήνοχεν. οὐδεὶς δ' ἂν οἶμαι νοῦν ἔχων τῷ ποσῷ τὸ εἶναι τόδε τοῦδε μέρος ἢ μὴ εἶναι κρίνειεν. εἰ γὰρ τῆς θύρας μερίς ἐστιν ἥδε ἡ σανίς, καὶ τὸ τῆς σανίδος ἄρα μέρος τῆς θύρας ἐστὶ μέρος. τὸ γὰρ μικρὸν ξύλον τῷ μεγίστῳ ἐστὶν ὁμοειδές, ἢ ξύλον ἐστίν. ὁμοιομερῆ δὲ καὶ τὰ στοιχεῖα εἶναι ὡμολόγηται. ὁ γὰρ μερικὸς ἀὴρ τοῦ ὅλου ἀέρος κατ' αὐτὴν τὴν τοῦ ἀέρος φύσιν τῷ ποσῷ μόνον καὶ οὐ τῇ οὐσίᾳ διενήνοχεν. ὁμοίως καὶ τὸ στοιχειῶδες πῦρ τῷ μέρει τὸ ὅλον τῆς αὐτῆς κεκοινώνηκε φύσεως, τῆς ἐπισυμβαινούσης ἔξωθεν τοῖς στοιχείοις ποιότητος ἐκ τῆς ἀλλήλων ἐπιμιξίας οὐκ εἰς τὸν τῆς οὐσίας αὐτῶν ἀναφερομένης λόγον. κἂν γὰρ ἄλλη ἄλλῳ ὕδατι ποιότης ἐπιμίγνυται (τὰ μὲν γὰρ αὐτῶν ἐστὶ γλυκέα, τὰ δὲ πικρά, τὰ δὲ ἁλμυρά), ἀλλ' ἔξωθεν ταῦτα ἐκ τῆς ὑποκειμένης γῆς τῷ ὕδατι συμβέβηκε, καὶ οὐσίας ὕδατος διαφορὰν οὐκ ἐργάζεται. καὶ ἡ φλὸξ δὲ ὑπερβολή τις εἶναι πυρὸς καὶ οὐ τὸ στοιχειῶδες πῦρ ὡμολόγηται. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. εἰ οὖν τὰ ὅλα στοιχεῖα ὁμοειδῆ τοῖς ἰδίοις ὑπάρχουσι μέρεσι, τοῦ δὲ ὅλου κόσμου συμπληρωτικά ἐστιν ὡς μέρη αὐτοῦ τὰ στοιχεῖα, καὶ τὰ τῶν στοιχείων ἄρα μέρη, συμπληρωτικὰ ὄντα τῶν ἰδίων ὁλοτήτων, καὶ τοῦ ὅλου κόσμου ἐστὶ συμπληρωτικά, ὡς μέρη αὐτοῦ ἢ μόρια ὑπάρχοντα. εἰ δὲ τὰ μέρη τῶν στοιχείων γενητὰ ὄντα καὶ φθαρτὰ τοῦ ὅλου κόσμου ἐστὶ μέρη, οὐκ ἄρα ἅπαντα τὰ γινόμενα καὶ φθειρόμενα ἀποτελέσματά ἐστι τοῦ κόσμου καὶ οὐ μέρη. τάχα δὲ ἀκριβέστερόν τις γυμνάζων τὰ τοιαῦτα καθ' ὅλου ψευδῆ ὄντα τὸν Πρόκλου λόγον εὑρήσει. εἰ γὰρ τὰ τῶν στοιχείων μέρη καὶ τοῦ ὅλου κόσμου μέρη ἐστὶν ἢ μόρια, ἐκ τούτων δὲ πάντα τὰ σύνθετα συνέστηκε σώματα, πῶς οὐκ ἀνάγκη καὶ τὰ σύνθετα πάντα σώματα μέρη εἶναι τοῦ κόσμου ἢ μόρια; θαυμαστὸν γὰρ οἶμαι, εἰ τῶν συνθέντων στοιχείων ἕκαστον τὰ τῶν ζώων καὶ φυτῶν σώματα, λέγω δὴ τὸ μερικὸν πῦρ καὶ μερικὸν ὕδωρ ἥ τε γῆ καὶ ὁ ἀήρ, τοῦ κόσμου ἐστὶ μόρια, τὰ δὲ ἐκ τῶν τοῦ κόσμου συγκείμενα μὴ ᾖ τοῦ κόσμου μόρια. ὥσπερ γὰρ τὸ τῆς θύρας μέρος, φημὶ δὴ τοδε τὸ ξύλον, μέρος ἐστὶ τοῦ ὅλου ξύλου, φέρε εἰπεῖν τῆς δρυὸς ἐξ ἧς ἀποτέτμηται, καὶ διὰ τοῦτο καὶ ἡ ὅλη θύρα ἐξ ἀνάγκης ὡς ξύλον τῆς αὐτῆς δρυός ἐστι μέρος, οὕτω δή που κατὰ τὸ ἀκόλουθον, εἰ τὰ στοιχεῖα, ἐξ ὧν σύγκειται τὰ σύνθετα σώματα, μέρη ἐστὶ τοῦ πάντος κόσμου, καὶ τὰ ἐκ τούτων συγκείμενα σύνθετα σώματα τοῦ αὐτοῦ κόσμου μέρη εἶναι ἀνάγκη. ἄλλως τε καὶ εἰ τὰ

σύνθετα σώματα καὶ ὅλως τὰ γενητὰ καὶ φθαρτὰ μὴ μέρη εἶναι τοῦ κόσμου ἀλλὰ ἀποτελέσματα ὁ Πλάτων ἠβούλετο, πῶς ἐν Τιμαίῳ φησὶν ὡς εἰ μὴ εἴη τὰ θνητὰ τῶν ζώων γένη, ἀτελὴς ὁ κόσμος ἔσται; τὸ γὰρ ἀτελὲς ἐλλείποντός τινος τῶν εἰς τὴν οὐσίαν αὐτοῦ συντελούντων ἀτελές ἐστιν. οὐ γὰρ τὰ ἀποτελέσματα τὸ εἶναι ἢ μὴ εἶναι τέλειον ἢ ἀτελῆ ποιεῖ τὸν ἀποτελοῦντα, οὔτε κατ' οὐσίαν οὔτε κατ' αὐτὴν τὴν τοῦ ποιεῖν ἕξιν, ὡς πολλάκις ἐδείξαμεν. οὔτε γὰρ ὁ μαθητὴς τὸν διδάσκαλον οὔτε ἡ ναῦς τὸν ναυπηγὸν τελειοῖ τὸν τελείαν τοῦ ναυπηγεῖν τὴν ἕξιν ἔχοντα. ὅτι δὲ καὶ εἰ ἐτελειοῦτο τὸ ἀποτελοῦν ὑπὸ τοῦ ἀποτελουμένου, οὐχ ὡς ποιητικὸν αἴτιον ἀτελῆ φησὶν εἶναι τὸν κόσμον ὁ Πλάτων ἐλλειπόντων τῶν θνητῶν ζώων, ἀλλ' ὡς μὴ πάντων τῶν συμπληρωτικῶν αὐτοῦ μερῶν ὑφεστηκότων, ἐξ ὧν ἔχει τὸ εἶναι, ἐξ αὐτῆς ἔστι συνιδεῖν τῆς λέξεως Πλάτωνος. ἔτι δὲ ὁ δημιουργὸς ἐν Τιμαίῳ (St. 41. B.) πρὸς τοὺς κατ' οὐρανὸν ἤδη γενομένους θεοὺς ἀφανεῖς τε καὶ φαινομένους διαλεγόμενος φησὶ ταῦτα "νῦν οὖν, ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι τρία ἀγένητα. τούτων δὲ καὶ μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται. τὰ γὰρ πάντα ἐν ἑαυτῷ γένη ζώων οὐχ ἕξει. δεῖ δέ, εἰ μέλλει τέλειος ἱκανῶς εἶναι. δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτο ἄν. ἵνα οὖν θνητά τε ᾖ, τό τε πᾶν τόδε ὄντως πᾶν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν θνητῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν." σκοπεῖν ἄξιον ὡς τῶν θνητῶν ζώων μὴ γενομένων, ἐνύδρων τε καὶ χερσαίων καὶ ἀερίων (ταῦτα γὰρ λέγει τρία γένη), τὸν οὐρανὸν εἶναί φησιν ὁ Πλάτων ἀτελῆ, οὐρανὸν συνήθως τὸν κόσμον καλῶν. οὕτω γὰρ ἐν ἀρχῇ (St. 28. B.) εἶπεν "ὁ δὲ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅτι ποτὲ ὀνομαζόμενος μάλιστα ἂν δέχοιτο, τοῦτο ἡμῖν ὠνομάσθω," καὶ ἐν Πολιτικῷ πάλιν "ὃν δὴ οὐρανὸν ἢ κόσμον ἐπωνομάκαμεν." εἰ οὖν τέλειον μέν ἐστιν ᾧ μηδὲν τῶν μερῶν ἐλλείπει, ἐλλειπόντων δὲ τῶν θνητῶν ζώων ἀτελὴς ὁ κόσμος, μέρη ἄρα τοῦ κόσμου ἐστὶ τὰ θνητὰ ζῷα. εἰ γὰρ μὴ ἦν τοῦ κόσμου τὰ θνητὰ ζῷα, μὴ γενομένων δηλονότι τῶν θνητῶν ζώων, οὐδὲν ἂν τῷ κόσμῳ μέρος ἐνέλειπεν. πῶς οὖν οὐδενὸς μέρους ἐλλείποντος ἀτελὴς εἶναι ὁ κόσμος ἔμελλε, τῶν θνητῶν ζώων μὴ γενομένων; κατανοεῖν δὲ πάλιν ἄξιον πῶς οὐκ εἶπεν ὁ Πλάτων "τούτων δὲ μὴ γενομένων ὑμεῖς ἀτελεῖς ἐστὲ οἱ δημιουργοῦντες αὐτά, διὰ τὸ ἀτελὲς εἶναι τὸ ἀποτελοῦν μὴ ὄντος τοῦ ἀποτελέσματος," ἀλλ' "οὐρανὸς ἀτελὴς ἔσται" τουτέστιν ὁ κόσμος. τὰ γὰρ πάντα ἐν αὐτῷ ἐστὶ γένη τῶν ζώων. τὰ γὰρ μέρη ὑπὸ τοῦ ὅλου καὶ παντὸς περιέχεται. ὅλον δέ ἐστι καὶ πᾶν τὸ ἐκ πάντων τῶν μερῶν αὐτοῦ συγκείμενον. εἰ δέ τι τῶν μερῶν ἐλλείψοι, οὐκέτι τὸ ὅλον ἐστὶν ὅλον οὐδὲ τὸ πᾶν ἔτι ἐστὶ πᾶν. εἰ γὰρ τῷ ἀνδριάντι ποὺς ἐλλείψοι, οὐκέτι ἔσται ὅλος ἀνδριάς, οὐδ' εἰ τοῦ δήμου φέρε τοῦ τῶν Ἀθηναίων τινὲς ἀπολείπωνται, ὅλος ἔτι ἐστὶν ὁ τῶν Ἀθηναίων δῆμος. εἰ οὖν προστάσσει ὁ δημιουργὸς τὰ θνητὰ ζῷα γενέσθαι, ἵνα τὸ πᾶν τόδε ὄντως πᾶν ᾖ, δῆλον ἄρα ὅτι, εἰ μὴ γεγόνει τὰ θνητὰ ζῷα, οὐκέτι τὸ πᾶν τόδε ὄντως πᾶν ἦν. οὐκοῦν εἰ τὸ πᾶν ἐλλείποντός τινος τῶν μερῶν οὐκέτι ἐστὶ πᾶν, ὡς ἐδείξαμεν, μὴ γενομένων δὲ τῶν θνητῶν ζώων τὸ πᾶν τόδε οὐκ ἦν ὄντως πᾶν, ὡς Πλάτων φησί, δῆλον

ἄρα ὅτι μέρος εἶναι τοῦ παντὸς τὰ θνητὰ ζῶα ὁ Πλάτων βούλεται. καὶ τί μοι δεῖ συλλογισμῶν, ἐξὸν διαῤῥήδην παραθέσθαι βοῶντα Πλάτωνα ὡς μέρη τοῦ κόσμου εἰσὶ πάντα τὰ ἐν τῷ κόσμῳ ζῶα, καθ' ἕν τε ἕκαστον αὐτῶν καὶ κατὰ γένη, καὶ τὰ λοιπὰ πάντα ὁρατὰ σώματα; ἐν γὰρ τῷ αὐτῷ Τιμαίῳ πρὸ τῶν προκειμένων ῥημάτων περί τε τοῦ κόσμου καὶ τοῦ πρὸς ὃ γέγονε παραδείγματος ταῦτά φησιν ὁ Πλάτων ἐπὶ λέξεως, τούτου δὲ ὑπάρχοντος αὖ τὰ τούτοις ἐφεξῆς ἡμῖν λεκτέον τῇ τῶν ζώων αὐτῶν εἰς ὁμοιότητα ὁ ξυνιστὰς ξυνέστησε τῶν μὲν μέρους ἤδη πεφυκότων μηδενὶ καταξιώσωμεν· ἀτελεῖ γὰρ ἐοικὸς οὐδέν ποτε ἂν γένοιτο καλόν· οὗ δέ ἐστι τὰ ἄλλα ζῶα καθ' ἓν καὶ κατὰ γένη μόρια εἶναι, τούτῳ πάντων ὁμοιότατον αὐτὸν τιθῶμεν. τὰ μὲν γὰρ δὴ νοητὰ ζῶα ἐκεῖνο ἐν ἑαυτῷ περιλαβὸν ἔχει, καθάπερ ὅδε ὁ κόσμος ὅσα τε ἄλλα θρέμματα ξυνέστηκεν ὁρατά. τῷ γὰρ τῶν νοουμένων καλλίστῳ καὶ κατὰ πάντα τελείῳ μάλιστα αὐτὸν ὁ θεὸς ὁμοιῶσαι βουληθεὶς ζῶον ἓν ὁρατόν, ὅσα αὐτοῦ πάντα κατὰ φύσιν ξυγγενῆ ζῶα ἐντὸς αὐτοῦ ἔχον, ξυνέστηκεν. εἰ καθάπερ τὸ τοῦ κόσμου παράδειγμα πάντα τὰ νοητὰ ζῶα ἐν ἑαυτῷ περιλαβὸν ἔχει, οὕτω καὶ ὁ κόσμος ἡμᾶς περιέχει καὶ ὅσα ἄλλα θρέμματα ξυνέστηκεν ὁρατά, τὰ δὲ νοητὰ ζῶα καθ' ἓν καὶ κατὰ γένη μόριά ἐστιν ἐκείνου τοῦ ζώου, πρὸς ὃ παράδειγμα ὁ κόσμος γέγονε, καὶ ἡμεῖς ἄρα καὶ τὰ λοιπὰ ὁρατὰ καθ' ἓν καὶ κατὰ γένη μέρη ἐστὶ κατὰ Πλάτωνα τοῦ περιέχοντος ἡμᾶς κόσμου. εἰ γάρ, ὡς ἔχει τὸ ὅλον παράδειγμα πρὸς τὴν ὅλην εἰκόνα, τουτέστι τὸν κόσμον, οὕτως ἔχει καὶ τὰ ὑπὸ τοῦ παραδείγματος περιεχόμενα νοητὰ ζῶα πρὸς τὰ ὑπὸ τῆς εἰκόνος περιεχόμενα αἰσθητὰ ζῶα, καὶ ἐναλλὰξ ἄρα, ὡς ἔχει τὰ ὑπὸ τοῦ παραδείγματος περιεχόμενα νοητὰ ζῶα πρὸς αὐτό, οὕτως ἔχει καὶ τὰ ὑπὸ τοῦ κόσμου περιεχόμενα αἰσθητὰ ζῶα πρὸς αὐτόν. εἰ οὖν τὰ ὑπὸ τοῦ παραδείγματος περιεχόμενα νοητὰ ζῶα μέρη αὐτοῦ ἐστὶ καθ' ἓν καὶ κατὰ γένη, καὶ τὰ ὑπὸ τῆς εἰκόνος ἄρα (λέγω δὴ τοῦ κόσμου) περιεχόμενα ζῶα μέρη αὐτοῦ ἐστὶ καθ' ἓν καὶ κατὰ γένη. καὶ σκόπει ὡς οὐ μόνον τὰ γένη τῶν ζώων μέρη εἶναί φησι τοῦ παντὸς κόσμου, ἀλλὰ καὶ καθ' ἓν ἕκαστον αὐτὸ μόνον, οἷον Σωκράτην καὶ Πλάτωνα καὶ τόνδε τὸν ἵππον καὶ τόνδε τὸν λίθον, καὶ μέρη συγγενῆ αὐτοῦ κατὰ φύσιν ὑπάρχοντα, ὡς ἠκούσαμεν Πλάτωνος λέγοντος, καὶ οὐκ ἔκφυλα καὶ ξένα τῆς τοῦ οὐρανοῦ φύσεως, ἄλλο τι ὄντος παρὰ τὴν τῶν στοιχείων φύσιν, ἐξ ὧν τὰ ὁρατὰ πάντα συνέστηκεν, ὡς νῦν ἡμᾶς παρακρούεται ὡς (ὁ ἴ) ἐν προσχήματι τοῦ ὑφηγεῖσθαι τὰ Πλάτωνος ἔκφυλα μὲν τῷ ὄντι καὶ ξένα τῆς ἐκείνου διδασκαλίας ἡμῖν ἐπεισάγων, αὐτῇ δὲ τῇ ἀθετήσει τῶν αὐτοῦ δογμάτων αὐτὸν ἐφυβρίζων. οὔτε γὰρ συσκιάσαι δεδύνηται τὴν ἀλήθειαν, καὶ αὐτῷ τῷ φαίνεσθαι μὴ ἀρεσκόμενος τοῖς ὑπὸ τοῦ Πλάτωνος ἐναργῶς εἰρημένοις φανερῶς αὐτὸν ἐφυβρίζων φαίνεται.

ιγ. Ταῦτα μὲν ἐπὶ τοσοῦτον. καιρὸς δ' ἂν εἴη λοιπὸν ἀναγνῶναι ῥήματα Πλάτωνος, δι' ὧν ἄνευ πάσης ἀμφιβολίας καὶ ἐπικρύψεως ἐκ τῶν τεσσάρων στοιχείων τὸ οὐράνιον σῶμα συνίστησιν, εἶτα ἐφεξῆς καὶ τὰς τῶν ἄλλων φιλοσόφων περὶ αὐτοῦ μαρτυρίας παραθέσθαι. "Διὰ ταῦτα οὔτε δύο οὔτε ἀπείρους — οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών."

(St. 31 A—32 C) Ὅτι μὲν οὖν ἐκ τῶν τεσσάρων καὶ μόνων στοιχείων ὅ τε οὐρανὸς καὶ ὁ κόσμος ἅπας συνέστηκε, σαφῶς ἠκούσαμεν Πλάτωνος λέγοντος καὶ τὴν αἰτίαν ἀκριβῶς διεξιόντος. ἐπεὶ γὰρ ἐκ τῶν ἐναντιωτάτων ὁ κόσμος συνέστηκε, πυρός τε καὶ γῆς καὶ φύσει καὶ τόποις διεστηκότων, τὰ δὲ ἐναντία (φησίν) ἑνοῦσθαι ἀλλήλοις οὐ πέφυκεν, ἔδει τινὸς μεσότητος τῆς συνδεούσης καὶ εἰς μίαν ἕνωσιν καὶ ὁμολογίαν τὸ πᾶν συναγούσης. ἀλλ' ἐπειδὴ στερεὰ ταῦτά ἐστι καὶ οὐκ ἐπίπεδα, ἀδύνατον (φησί) μιᾷ ταῦτα συνδεῖσθαι μεσότητι. διὰ τοῦτο οὖν δύο μεσοτήτων (φησίν) ἐδέησεν, ἀέρος τε καὶ ὕδατος. τὴν μὲν οὖν μαθηματικωτέραν τούτων ἐξήγησιν λεγέτωσαν ἕτεροι· ἡμεῖς δὲ τὴν φυσικωτέραν ἐκτιθέμενοι φαμὲν ὡς ὅτι μεσότητες ὄντα πυρός τε καὶ γῆς ἀήρ τε καὶ ὕδωρ, εἰ καὶ ἐναντιοῦται τῷ ἀέρι τὸ πῦρ, καθὸ τὸ μὲν ξηρόν ἐστιν ὁ δὲ ὑγρός, ἀλλ' οὖν συνδεῖται πρὸς ἄλληλα ταῦτα τῇ τοῦ θερμοῦ κοινωνίᾳ· ἄμφω γὰρ κατὰ φύσιν ἐστὶ θερμά. πάλιν αὖ πρὸς ὕδωρ ψυχρὸν ὂν θερμὸς ὢν ὁ ἀὴρ μαχόμενος, τῇ ὑγρᾷ πρὸς αὐτὸ κοινωνῶν ποιότητι καὶ δι' ἑαυτοῦ μέσου καὶ τῷ ὕδατι τὴν πρὸς τὸ πῦρ χαρίζεται ἕνωσιν. ὁμοίως τὸ ὕδωρ ὑγρὸν ὂν καὶ τῇ γῇ ξηρᾷ οὔσῃ πολεμοῦν, τῇ ταυτότητι τῆς ψυχρᾶς ποιότητος τὴν πρὸς αὐτὴν φιλίαν ἀσπάζεται, καὶ δι' ἑαυτοῦ πρὸς τὸν ἀέρα καὶ δι' ἐκείνου πρὸς τὸ πῦρ αὐτὴν συνάπτει. καὶ αὐτὴ δὲ ἡ γῆ, ψυχρὰ οὖσα καὶ ταύτῃ τῷ πυρὶ θερμῷ ὄντι ἀντικειμένη τε καὶ πολεμοῦσα, τῇ κοινωνίᾳ τῆς ξηρᾶς ἑνοῦται δυνάμεως, καὶ τὸ ὕδωρ καὶ τὸν ἀέρα, καθὸ ὑγρά ἐστι, ξηρῷ ὄντι τῷ πυρὶ μαχόμενα δι' ἑαυτῆς μέσης συνάπτει. καὶ ὅπερ ἐστὶ τοῖς ἄκροις τὰ μέσα, τοῦτ' αὖ πάλιν τοῖς μέσοις τὰ ἄκρα γίνεται. συνδέων γὰρ ὁ ἀὴρ θερμὸς ὢν ψυχρὰν οὖσαν τὴν γῆν δι' ἑαυτοῦ μέσου πρὸς τὴν τοῦ πυρὸς θερμότητα, καὶ συναπτόμενος αὐτὸς πρὸς τὴν γῆν διὰ μέσου τοῦ ὕδατος (ὑγρὰ γὰρ ἄμφω, ἀὴρ καὶ ὕδωρ), πάλιν αὐτὸς ὁ ἀὴρ ὑγρὸς ὢν διὰ μέσης τῆς γῆς πρὸς τὴν τοῦ πυρὸς συμφωνεῖ ξηρότητα· ξηρὰ γὰρ πῦρ τε καὶ γῆ. πρὸς δὲ τούτοις τὸ ὕδωρ ψυχρὸν ὂν καὶ ὑγρὸν κατὰ μὲν τὸ θερμὸν δι' ἀέρος μέσου, κατὰ δὲ τὸ ξηρὸν διὰ τῆς γῆς μέσης τῷ πυρὶ συμπλέκεται. καὶ οὕτως ὡς ἐν χορῷ διὰ τῶν μέσων καὶ τὰ ἄκρα ἀλλήλοις καὶ τὰ μέσα τοῖς ἄκροις ἐπισυνάπτεται, καὶ τὰ μέσα ἄκρα καὶ τὰ ἄκρα μέσα γινόμενα, καὶ μία ἐκ πάντων ἀποτελεῖται συμφωνία καὶ σύμπνοια. εἰ δέ τι τῶν μέσων ἐλλείποι, ἀδύνατον ἔτι τὸν εἰρημένον συστῆναι σύνδεσμον. ἐλλειπέτω γάρ, εἰ τύχοι, ὁ ἀήρ, καὶ μέσον ἔστω πυρός τε καὶ γῆς τὸ ὕδωρ μόνον. πῶς ἂν οὖν θερμόν τε ἅμα καὶ ξηρὸν ὑπάρχον τῷ ὕδατι ὑγρῷ καὶ ψυχρῷ συμπλακὲν συμφωνῆσαι δυνήσεται; συνδεθῆναι γὰρ ἀλλήλοις τὰ πάντῃ μαχόμενα καὶ κατὰ μηδὲν κοινωνοῦντα ἀμήχανον. κἂν γὰρ διὰ μέσης τῆς γῆς κατὰ τὴν ξηρότητα πρὸς αὐτὸ ἑνωθείη πρὸς ἄμφω γῆ τε καὶ ὕδωρ, κατὰ τὸ θερμὸν πολέμιον ἔσται καὶ ἀσύμφωνον. ἀλλὰ δὴ πάλιν τοῦ ὕδατος ἐλλειπέτω οὐσία, ὑπαρχέτω δὲ μεταξὺ πυρός τε καὶ γῆς μόνος ὁ ἀήρ. πῶς ἂν οὖν ὁ ἀὴρ θερμὸς ὢν ἅμα καὶ ὑγρὸς πρὸς τὴν γῆν ψυχράν τε καὶ ξηρὰν οὖσαν ὁμολογήσειεν; πρὸς γὰρ πῦρ τε καὶ γῆν ξηρὰ ὄντα πολεμία ἕξει κατὰ τὴν ὑγρότητα. ἀνάγκη ἄρα ἐστὶ πᾶσα, ᾗ φησὶ Πλάτων, δύο τῶν ἄκρων ὄντων, πυρός τε καὶ γῆς, δύο καὶ τὰς τούτων συνδετικὰς μεσότητας εἶναι, ἀέρα καὶ ὕδωρ. οὕτως οὖν κοινῶς περὶ τῆς τοῦ παντὸς κόσμου συνθέσεως φυσιολογήσας ὁ Πλά-

πῶν, ὡς ἐκ μόνων εἴη τῶν τεσσάρων σωμάτων, ἐφεξῆς λοιπὸν ἰδικώτερον τὰ οὐράνια τῆς πυρώδους οὐσίας πλεῖστόν φησι μετειληφέναι. εἰπὼν γὰρ τέσσαρας εἶναι τὰς τοῦ ζώου ἰδέας, μία μὲν οὖν φησὶν (St. 39 E) οὐρανίων θεῶν γένος, ἄλλη δὲ πτηνῶν καὶ ἀεροπόρων, τρίτη δὲ ἔνυδρον εἶδος, πεζῶν δὲ καὶ χερσαίων τέταρτον. τοῦ μὲν οὖν θείου (φησί) τὴν πλείστην ἰδέαν ἐκ πυρὸς ἀπειργάζετο, ὅπως ὅτι λαμπρότατον ἰδεῖν τε κάλλιστον εἴη. τῷ δὲ παντὶ προσεικάζων εὔκυκλον ἐποίει, τίθησί τε εἰς τὴν τοῦ κρατίστου φρόνησιν ἐκείνου ξυνεπόμενον, νείμας περὶ πάντα κύκλῳ τὸν οὐράνιον κόσμον ἀληθινὸν αὐτῷ πεποικιλμένον εἶναι.

ιδ. Ὅτι μὲν οὖν ἐκ πλείστου πυρὸς τὰ οὐράνια συνέστηκε σώματα, σαφῶς ὁ Πλάτων εἴρηκεν· ἃ δέ φησιν Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν μετεωρολογικῶν ἀναιρεῖν ἐπιχειρῶν τὸ ἐκ πυρὸς συνεστάναι τὰ οὐράνια σώματα, οὐδὲν ἀναγκαῖον ἔχειν μοι φαίνεται. φησὶ γὰρ ὡς εἰ πυρία ἦν τὰ οὐράνια, πάντα πάλαι ἂν τὰ ἔνδον κατέφλεξε διὰ τὸ πολλῷ ὑπερέχειν τῷ μεγέθει τῶν ἐντὸς ἁπάντων· ἡ γὰρ τοῦ πυρὸς φύσις καὶ ἐν ἐλάττονι οὖσα ὄγκῳ διὰ τὸ δραστήριον τῆς δυνάμεως καὶ τὰ πολλῷ μεγέθει ὑπερέχοντα κατακαίει, μή τοί γε καὶ ἐν πολλῷ μείζονι ὄγκῳ τυγχάνουσα. καὶ τὸν ἥλιον δὲ μόνον καθ' αὐτὸν καὶ πολλοὺς τῶν ἀπλανῶν ἀστέρων πολλῷ μείζονας εἶναι τῆς γῆς ἀστρονόμων βούλονται παῖδες, μή τοί γε τοὺς ἀστέρας ἅμα πάντας καὶ τὰς σφαίρας αὐτὰς ἐν αἷς καθίδρυνται. ἀσύγκριτος οὖν ἡ τοῦ οὐρανοῦ πρὸς τὰ ἐντὸς ὑπεροχή. πῶς οὖν ἀντέσχε τὰ ἐντός, φησὶν Ἀριστοτέλης, εἰ πυρία ἦν τὰ οὐράνια; ἀλλ' ἔστι πρὸς αὐτὸν εἰπεῖν πρῶτον μὲν ὅτι οὐδὲ αὐτὸς σὺ ταύτης τῆς ἀπορίας ἐκπέπτωκας. τὴν γὰρ τοῦ πυρὸς ὁλότητα περιέχειν τὰ λοιπὰ στοιχεῖα βουλόμενος, ὅπερ καλεῖς ὑπέκκαυμα, ἀνάγκη σε πάντως μείζονα τῶν ἐντὸς αὐτὴν ὑποτίθεσθαι· τὸ περιέχον γὰρ τοῦ περιεχομένου μεῖζον. πῶς οὖν οὐ πέφλεκται τὰ ἐντός, ἐν πολλῷ μείζονι ὑπεροχῇ τῶν λοιπῶν ἅμα πάντων τοῦ πυρὸς τυγχάνοντος; δεύτερον αὐτὸς σὺ λέγεις ὡς ὅτι ἡ φλὸξ οὐκ ἔστι τὸ φυσικὸν πῦρ, ἀλλ' ὑπερβολὴ πυρός, ὡς καὶ ἡ χιὼν ὑπερβολὴ ψυχροῦ· τὸ γὰρ φυσικὸν πῦρ ζωτικὸν μᾶλλον εἶναι, οὐ καυστικόν, οἷόν ἐστι τὸ ἐν ἡμῖν ἔμφυτον θερμὸν καλούμενον, καὶ ὅλως ἐξ οὗ τὸ σύγκριμα τοῦ συνθέτου συνέστηκε σώματος. τοιοῦτο δὲ εἶναι φῂς καὶ τὸ ὑπέκκαυμα. οὐκοῦν καὶ τὸ οὐράνιον πῦρ τοιοῦτόν ἐστι, ζωτικὸν μᾶλλον, οὐ καυστικόν, ὥστε κίνδυνος οὐδεὶς μὴ καταφλέξῃ τὰ ἐντὸς πάντα. ἄλλως τε οὐδὲ μόνως ἐκ πυρὸς εἶπε τὸν οὐρανὸν συνεστάναι Πλάτων, ἀλλὰ πλείστου πυρὸς μετέχειν ὡς πρὸς τὴν ἀναλογίαν τῶν λοιπῶν στοιχείων καὶ τῶν λοιπῶν συνθέτων σωμάτων, ὥστε τῇ μίξει κολάζεσθαι τοῦ πυρὸς τὴν ἀκρότητα. προσθείην δ' ἂν ἔτι καὶ τέταρτον ὅτι καὶ καθαρωτάτη καὶ λεπτομερεστάτη ἡ τοῦ πυρὸς ἐκείνου φύσις ἐστίν. ὁρῶμεν δὲ ὅτι καὶ αὐτὴ ἡ φλόξ, ὑπερβολὴ οὖσα πυρὸς καὶ οὐ τὸ ζωτικόν τε καὶ φυσικὸν πῦρ, ἐπηνίκα λεπτομερεστέρα ὑπάρχει, οὐδ' ὅλως ἢ παντελῶς βραχυτάτου τοῦ καυστικοῦ μετέχει, οἷα ἐστὶν ἡ ἀστραπή. καὶ τὸ παρ' ἡμῖν δὲ πῦρ, ὡς στερεωτέρας ὕλης ἐπιλαμβάνεται, καὶ παχυμερέστερον ὂν καυστικὸν μᾶλλόν ἐστιν. οὐ γὰρ οὕτω καὶ ἡ φλὸξ ἡ ἐκ στυππείου φέρε ἐξαφθέντος ἢ ἡ ἐκ παπύρου, ὡς ἡ ἐκ ξύλων· καὶ τούτων ἡ ἐκ δρυΐνων μᾶλλον. ἀλλὰ δὴ

καὶ δι' αὐτῆς μὲν τῆς φλογὸς πολλάκις διαγαγεῖν τὴν χεῖρα δυνάμεθα, ἄνθρακος δὲ οὐδὲ ἐφάψασθαι. καὶ ἄνθρακος δὲ ἧττον θιγεῖν δυνατὸν τοῦ ἐκ στερεωτέρας ὑπάρχοντος ὕλης· μᾶλλον γὰρ τοῦ ἐκ θρυαλλίδος καὶ τοῦ ἐκ παπύρου ἄνθρακος θιγεῖν δυνάμεθα ἤπερ τοῦ ἐκ ξύλων, καὶ τούτου πάλιν μᾶλλον ἤπερ σιδήρου πεπυρακτωμένου· σχεδὸν δὲ οὐδὲ πλησιάσαι τούτῳ δυνάμεθα. εἰ οὖν τὸ παχυμερέστερον πῦρ καίει τὰ μᾶλλον, λεπτομερέστατον καὶ καθαρώτατον δὲ ὡς ἔνι μάλιστα τὸ οὐράνιον πῦρ, καὶ οὐδὲ ὑπερβολὴ πυρὸς οὐδὲ φλόξ, ἀλλ' αὐτὸ τὸ στοιχειῶδές τε καὶ ζωτικὸν πῦρ, πῶς οὐκ ἂν πολλῷ τοῦ καίειν τε καὶ φθείρειν ἀποδέοιτο, ζωοποιὸν δὲ μᾶλλον ἂν εἴη, ὡς καὶ τὸ ἐν τοῖς ζώοις ἔμφυτον θερμὸν καλούμενον, οἷόν ἐστι καὶ τὸ πῦρ τὸ αἰθέριον;

ιε. Ἐκ μὲν οὖν τοῦ γνῶναι τὴν Πλάτωνος διάνοιαν, ὡς ἐκ τῶν τεσσάρων στοιχείων οἴεται τὸ πᾶν συνεστάναι καὶ αὐτὸν τὸν οὐρανόν, ἱκανὰ καὶ ταῦτα. ἐφεξῆς δὲ καὶ τῶν αὐτὸν ὑπομνηματισαμένων φιλοσόφων ὀλίγας παραθέσθαι ῥήσεις ἄξιον. Ἀττικὸς μὲν οὖν καὶ Πλούταρχος ἐάσθων, καὶ εἴ τις ἄλλος γενητὸν εἶναι κατὰ χρόνον τὸν κόσμον ὑπὸ Πλάτωνος λέγεσθαι ἀπεφήνατο· μάρτυρες δὲ ἡμῖν ἔστωσαν μόνοι τοῦ ὅτι Πλάτων ἐκ τῶν τεσσάρων στοιχείων τὸν πάντα κόσμον συνεστάναι βούλεται, ὅσοι τῆς τοῦ ἀΐδιον εἶναι αὐτὸν κατὰ Πλάτωνα δόξης ἐγένοντο.

Ταύρου τοῦ Πλατωνικοῦ ἐκ τοῦ πρώτου τῶν εἰς τὸν Τίμαιον ὑπομνημάτων, προεκτεθείσης τοῦ Πλάτωνος περικοπῆς "σωματοειδὲς δὴ καὶ ὁρατὸν ἁπτόν τε γενόμενον" καὶ τῶν ἑξῆς. Ὁ δημιουργὸς ἤρχετο τῆς συστάσεως τοῦ κόσμου ἐκ πυρὸς καὶ γῆς. δεῖ δὲ τὸ γενησόμενον σωματοειδὲς ἀντιτυπτικὸν εἶναι καὶ ὁρατόν. τὸ μὲν εἶναι ὁρατὸν ἐκ τοῦ πυρὸς αὐτῷ γίνεται, τὸ δὲ ἁπτὸν ἐκ τῆς γῆς. καθ' ἕκαστον γὰρ στοιχεῖον αἴσθησις. κατὰ τὸ πῦρ ἡ ὅρασις· ὁρατοῦ ὅρασις, ὁρατὸν δὲ χρῶμα. κατὰ τὴν γῆν ἁφή· ἁπτοῦ ἁφή. κατὰ τὸ ὕδωρ ἡ γεῦσις· γευστοῦ γεῦσις. κατὰ τὸν ἀέρα ἡ ἀκοή· ἀκουστοῦ ἀκοή. τῇ οὖν ὀσφρήσει ποῖον ἀπονεμοῦμεν στοιχεῖον; ἀναμέσον τοῦ ὕδατος καὶ τοῦ ἀέρος, ὡς κατὰ τὸν τόπον γενόμενοι ἐροῦμεν. Θεόφραστός φησιν, εἰ τὸ ὁρατὸν καὶ τὸ ἁπτὸν ἐκ γῆς καὶ πυρός ἐστι, τὰ ἄστρα καὶ ὁ οὐρανὸς ἔσται ἐκ τούτων· οὐκ ἔστι δέ. ταῦτα λέγει εἰσάγων τὸ πέμπτον σῶμα τὸ κυκλοφορητικόν. ὅταν οὖν ἐκεῖνο παραστήσῃ ὅτι ἔστιν, τότε πρὸς ταῦτα ἐνιστάσθω.

σκοπεῖν ἄξιον πῶς οὐ μόνον ἀληθὲς οἴεται Πλάτωνα ἐκ τῶν τεσσάρων μόνων στοιχείων συγκεῖσθαι τὸν κόσμον λέγειν ὁ τούτου ἐξηγητὴς Ταῦρος, ἀλλὰ καὶ Θεοφράστῳ μάχεται λέγοντι μὴ εἶναι ἐκ τούτων τὸν οὐρανόν· τῆς γὰρ Ἀριστοτέλους διατριβῆς ὁ Θεόφραστος. καὶ ὅτι οὐδὲ οἴεται ὁ τοῦ Πλάτωνος ἐξηγητὴς τὸ πέμπτον ἀποδεδεῖχθαι στοιχεῖον ὅτι ἔστιν ὑπὸ Ἀριστοτέλους· ὅταν γὰρ ἐκεῖνο παραστήσῃ, φησίν, ὅτι ἔστιν, τότε πρὸς αὐτὰ ἐνιστάσθω. ἀναμέσον δὲ ὕδατός φησι καὶ ἀέρος τὴν ἀτμίδα· ὁδὸς γάρ ἐστιν αὕτη ἐξ ὕδατος εἰς ἀέρα καὶ ἐξ ἀέρος εἰς ὕδωρ· πυκνουμένη μὲν γὰρ ὕδωρ γίνεται, μανουμένη δὲ ἀήρ. ἔστιν οὖν ἡ ἀτμὶς ὀσφρήσεως· ὀσφραντοὶ γὰρ οἱ ἀτμοί, πεποιωμένοι πως ὄντες ταῖς ὀσφρανταῖς ποιότησι. Καὶ μετ' ὀλίγα πάλιν ὁ αὐτὸς Ταῦρος ἐπιφέρει καὶ ταῦτα.

ἔλαβε δύο ἄκρα ἀντικείμενα ἀλλήλοις, πῦρ καὶ γῆν, καὶ ταῦτα βούλεται συναρμόσαι μεσότησί τισιν ἀνάλογον ἐχούσαις πρὸς ἀλλήλας καὶ πρὸς ἑκάτερον τῶν ἄκρων. καὶ τίθησιν ὕδωρ καὶ ἀέρα κατὰ τὰς προειρημένας δυνάμεις τὰ αὐτά τε ἀλλήλοις συνάπτοντα καὶ τὰ ἄκρα αὐτοῖς καὶ ἀλλήλοις. φησί τε ὅτι ὁ θεὸς ἐν μέσῳ τῶν ἄκρων, τοῦ πυρὸς καὶ τῆς γῆς, ἔθηκεν ἀέρα καὶ ὕδωρ, καὶ συνῆψεν ἀλλήλοις ἐφ' ὅσον ἦν δυνατὸν ἀνάλογον συνδήσας ταῖς μεσότησιν. ἐγένετο οὖν ἐκ τούτων συντεθεὶς ὁ οὐρανὸς ἁπτὸς καὶ ὁρατός. ἐκ τῶν ἄκρων ἔλαβε τὰ αἰσθητά, ἐξ ὁρατοῦ καὶ ἁπτοῦ καὶ ὁράσεως καὶ ἁφῆς, ὧν ὅρασις μὲν κατὰ τὸ πῦρ, ἁφὴ δὲ κατὰ τὴν γῆν.

ὁ μὲν οὖν Ταῦρος ταῦτα. καὶ ὁ Πορφύριος δὲ ἐν τοῖς πρὸς τὸν Τίμαιον ὑπομνήμασιν, ἐξηγούμενος τὰ προεκκείμενα χωρία τοῦ Πλάτωνος καὶ πολλὰ εἰπὼν περὶ τοῦ ἐκ τῶν τεσσάρων στοιχείων μόνων συνεστάναι τὸν κόσμον, προστίθησιν ἐπὶ λέξεως καὶ ταῦτα·

τὰ δὲ οὐράνια φάναι μὴ ἐκ τῶν τεσσάρων συνεστηκέναι οὐκ ἄρα κατὰ τὸ ἑπόμενον δόγμα Πλάτωνι λέγοντός ἐστιν, ἀλλ' ἰδίῳ ἑπομένου δόγματι, ἐπεί γε ὁ Πλάτων καὶ τὰ οὐράνια ἐκ πλείονος μὲν πυρὸς γεγονέναι φησίν, ἐλαττόνων δὲ τῶν ἄλλων καὶ εἰλικρινεστέρων καὶ καθαρωτέρων. κατὰ δὴ Πλάτωνα δύο μὲν τὰ πρῶτα στοιχεῖα, γῆ καὶ πῦρ, τὰ δὲ λοιπὰ δεσμοῦ καὶ συνοχῆς χάριν προὐνοήθη.

καὶ μεθ' ἕτερα δέ, ἐξηγούμενος τὸ χωρίον Πλάτωνος ἐν ᾧ φησὶ "καὶ διὰ ταῦτα ἔκ τε δὴ τούτων τὸν ἀριθμὸν τεττάρων τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη" (St. 32 B), πάλιν ὁ αὐτὸς Πορφύριος ταῦτά φησιν ἐπὶ λέξεως· "τέτταρα μόνα τὰ σώματα λέγει, ἐπεὶ μηδὲν παρὰ ταῦτα ἐν τοῖς οὖσιν εὑρίσκεται, πλὴν τὰ ἐκ τούτων συνδέσματα." εἶτα διὰ πολλῶν κατασκευάσας ὁ Πορφύριος ὅτι οὐκ ἔστιν ἄλλο σῶμα παρὰ τὰ τέσσαρα, πάλιν προθεὶς τὴν προκειμένην ῥῆσιν τοῦ Πλάτωνος ἐπιφέρει ταῦτα· "σαφῶς τὸν κόσμον ἐκ τῶν τεσσάρων φησὶ συνεστάναι στοιχείων, ὡς τὸ πέμπτον σῶμα δῆλον ὅτι οὐχ ἡγούμενος τὸ ὑπ' Ἀριστοτέλους καὶ Ἀρχύτου εἰσαγόμενον. ἑξῆς δ' ἀκριβέστερον ὀψόμεθα." ταῦτα μὲν οὖν καὶ ὁ Πορφύριος. οὐδὲ ὁ Πρόκλος δὲ αὐτὸς ἐν οἷς μὴ πρὸς ἔριν τοὺς λόγους ἐπο.εῖτο μηδὲ σκοπὸν ἴδιον ἐν προσχήματι τῶν Πλάτωνι δοκούντων ἀνύσαι προὐτέθετο, ἔξω ταύτης περὶ Πλάτωνος τῆς δόξης γέγονεν. ἐν γὰρ τῷ πολλάκις μνημονευθέντι λόγῳ, ὃς ἐπιγέγραπται ἐπίσκεψις τῶν πρὸς Πλάτωνος Τίμαιον ὑπ' Ἀριστοτέλους ἀντειρημένων, πολύς ἐστι τῇ Πλάτωνος παριστάμενος δόξῃ καὶ κατασκευάζων ὡς οὐ ξένη τις τῶν τῇδε στοιχείων ἡ τοῦ οὐρανοῦ φύσις ἐστίν, ὡς Ἀριστοτέλης φησίν, ἀλλ' ἐκ τούτων κἀκεῖνος συνέστηκε. παραθήσομαι δὲ καὶ ἐντεῦθεν ἐκ πολλῶν ὀλίγας μαρτυρίας, ἐξ ὧν ἔστιν ἰδεῖν ὡς οὐδ' ἑαυτῷ συμφώνως τὰ περὶ τῆς Πλάτωνος δόξης ἐν τοῖς προκειμένοις ὁ Πρόκλος διωρίσατο. φησὶ γὰρ ἐν τῷ μνημονευθέντι λόγῳ ἐπὶ λέξεως ταῦτα·

οὐ γὰρ καυστικὸν τὸ οὐράνιον πῦρ, ἀλλ' ὡς ἂν ἔγωγε φαίην ζωοποιόν, ὡς καὶ τὸ ἐν ἡμῖν ἔμφυτον θερμόν. καὶ αὐτὸς ἐν τοῖς περὶ γενέσεως ζῴων εἶναί φησί τινα ἔλλαμψιν, ἧς παρούσης ζῆν τῶν θνητῶν ἕκαστον. ὁ μὲν οὖν ὅλος οὐρανὸς ἐκ τοῦ τοιούτου πυρός ἐστι, τὰ δὲ ἄστρα πλεῖστον μὲν ἔχει τοῦτο τὸ στοιχεῖον, ἔχει δὲ καὶ τῶν ἄλλων τὰς ἄκρότητας.

καὶ μετ' ὀλίγα

καὶ μὴν καὶ εἰ τοῦτο ἐννοήσαιμεν, ὅτι γῆ μὲν ἐπισκοτεῖ πᾶσι τοῖς φωτίζουσι καὶ σκιὰν ἀποτελεῖ, τὰ δὲ μέσα γῆς καὶ πυρὸς διαφανῆ κατὰ τὴν αὐτῶν φύσιν δεκτικά ἐστιν ἀμφοτέρων, σκότους καὶ φωτός, καὶ οὐδετέρου τούτων αἴτια τοῖς σώμασι, μόνον δὲ τὸ πῦρ παρεκτικὸν φωτὸς ὡς ἡ γῆ σκότους, πλεῖστον ἀλλήλων ἀπέχοντα, μάθοιμεν ἂν ὅπως καὶ τὰ ἐν οὐρανῷ πυρία τὴν φύσιν ἐστίν. ὅτι μὲν γὰρ φωτίζει καθάπερ τὸ τῇδε πῦρ, δῆλον· εἰ δὲ ἀμφοτέρων τοῦτο κοινόν, συγγενὲς δή που τὸ τῇδε πῦρ πρὸς τὸ εἶδος τῶν οὐρανίων.

ταῦτα εἰπὼν ὁ Πρόκλος, καὶ τὴν συγγένειαν ἐφεξῆς τοῦ οὐρανοῦ πρὸς τὰ στοιχεῖα δι' ἑτέρων πλειόνων κατασκευάσας, ἐπήγαγεν

οὐκ ἄρα δεῖ καθάπερ ξένην φύσιν ἐπεισάγειν τῷ παντὶ τὴν οὐρανίαν, ἀλλ' ἐκεῖ θεμένους τὴν ἀκρότητα τῆς φύσεως τῶν τῇδε ἀπ' ἐκείνης διδόναι καὶ διὰ τῆς ἐκείνῃ συγγενοῦς καὶ τοῖς ἐνταῦθα στοιχείοις τὴν γένεσιν.

εἰ οὖν οὐ ξένη τῶν παρ' ἡμῖν στοιχείων ἡ τοῦ οὐρανοῦ φύσις ἐστίν, ὡς καὶ Πρόκλῳ δοκεῖ, ἀλλ' ἡ ἀκρότης τῶν τῇδε ἐν ἐκείνοις ἐστί, πυρίων μὲν ὄντων τὴν φύσιν τῶν οὐρανίων, ἐχόντων δὲ καὶ τῶν ἄλλων τὰς ἀκρότητας, εἰ ταῦτα συνηγορῶν τῇ δόξῃ τοῦ Πλάτωνος ὁ τοῦ Πλάτωνος ἐξηγητὴς πῶς ἐν τοῖς νῦν προκειμένοις, ὥσπερ καὶ τῶν ἰδίων ἐπιλαθόμενος, αὐτὸς ἑαυτῷ τὰς ἐναντίους ἀφῆκε φωνάς, τὸν οὐρανὸν λέγων ἐξηρῆσθαι τῶν εὐθυπορουμένων σωμάτων καὶ μηδὲν εἶναι τῶν τῇδε στοιχείων, μήτε πῦρ μήτε γῆν μήτε τι τῶν μέσων; ποῦ δὲ καὶ τὸν πολὺν Πλωτῖνον θήσομεν, ὃς εἴπερ τις ἄλλος εἶναι τῆς αἱρέσεως Πλάτωνος ἀξιῶν οὐ προσήκατο μὲν οὐδ' αὐτὸς τὸ ὑπ' Ἀριστοτέλους ἐπεισκριθὲν τῷ παντὶ σῶμα πέμπτον, ἐξ οὗ τὰ οὐράνια συνίστησιν ἐκεῖνος, τῇ Πλάτωνος δὲ σύμφωνα δόξῃ φθεγγόμενος ἐκ τῶν τεσσάρων καὶ αὐτὸς στοιχείων τὸ οὐράνιον σῶμα συνίστησι καὶ Πλάτωνος εἶναι τὴν δόξαν ἀποφαίνεται. λέγει γοῦν ἐν τῷ περὶ τοῦ κόσμου λόγῳ ταῦτα·

καίτοι ὡσαύτως τῆς φύσεως τοῦ σώματος ῥεούσης ἀεί. τοῦτο γὰρ δοκεῖ τοῖς τε ἄλλοις τοῖς περὶ φύσεως εἰρηκόσι καὶ αὐτῷ τῷ Πλάτωνι οὐ μόνον περὶ τῶν ἄλλων σωμάτων ἀλλὰ καὶ περὶ τῶν οὐρανίων αὐτῶν. πῶς γὰρ ἄν, φησί, σώματα ὄντα καὶ ὁρώμενα τὸ ἀπαραλλάκτως ἕξει καὶ τὸ ὡσαύτως, συγχωρῶν καὶ ἐπὶ τούτων δῆλον ὅτι τῷ Ἡρακλείτῳ, ὃς ἔφη καὶ τὸν ἥλιον ἀεὶ γίγνεσθαι. Ἀριστοτέλει μὲν γὰρ οὐδὲν πρᾶγμα εἴη, εἴ τις αὐτῷ τὰς ὑποθέσεις τοῦ πέμπτου παραδέξαιτο σώματος. τοῖς δὲ μὴ τοῦτο τιθεμένοις, τοῦ σώματος δὲ ἐκ τούτων ὄντος τοῦ οὐρανοῦ ἐξ ὧνπερ καὶ τὰ τῇδε ζῷα, πῶς τόδε ἂν ἔχοι;

καὶ μεθ' ἕτερα

τῷ μὲν οὖν Τιμαίῳ τὸ τοῦ παντὸς σῶμα πεποιηκότι πρῶτον ἐκ γῆς καὶ πυρός, ἵνα ὁρατόν τε ᾖ διὰ τὸ πῦρ στερεὸν δὲ διὰ τὴν γῆν, ἀκολουθεῖν ἔδοξε καὶ τὰ ἄστρα ποιεῖν οὐ πᾶν ἀλλὰ τὸ πλεῖστον πυρὸς ἔχειν, ἐπεὶ τὰ ἄστρα τὸ στερεὸν φαίνεται ἔχοντα. καὶ ἴσως ὀρθῶς ἂν ἔχοι, συνεπικρίναντος καὶ Πλάτωνος τῷ εἰκότι τὴν γνώμην ταύτην. παρὰ μὲν γὰρ τῆς αἰσθήσεως κατά τε τὴν ὄψιν κατά τε τὴν τῆς ἁφῆς ἀντίληψιν πυρὸς ἔχειν τὸ πλεῖον ἢ τὸ πᾶν φαίνεται. διὰ δὲ τοῦ

λόγου ἐπισκοποῦσιν, εἰ τὸ στερεὸν ἄνευ γῆς οὐκ ἂν γένοιτο, καὶ γῆς ἂν ἔχοι, ὕδατος δὲ καὶ ἀέρος τί ἂν δέοιτο; ἄτοπόν τε γὰρ δόξειεν ὕδατος εἶναι ἐκτὸς οὐ τῷ πυρί, ὅτε ἀὴρ εἴεν ἢ μεταβάλλοι ἂν εἰς πυρὸς φύσιν. ἀλλ' εἰ δύο στερεὰ ἄκρων λόγον ἔχοντα δύο μέσον ὄντα, ἀπορήσειεν ἄν τις εἰ καὶ ἐν φυσικοῖς οὕτω.

καὶ ὁ Πλωτῖνος ἄρα σαφῶς τῇ μὲν Ἀριστοτέλους περὶ τοῦ πέμπτου σώματος ἀντείρηκεν ὑπολήψει, τὴν δὲ Πλάτωνος καλῶς ἔχειν ἐπέκρινεν, ἐκ τῶν αὐτῶν στοιχείων ἐξ ὧν καὶ τὰ τῇδε ζῶα συνέστηκε καὶ τὸν οὐρανὸν συγκεῖσθαι λέγουσαν. καὶ ἐν τοῖς ἑξῆς δὲ πάλιν ὁ Πλωτῖνος ἐδίδαξεν ὡς οὔτε ἄλλο τι νομιστέον ἢ πυρὸς εἶναι καὶ τῶν λοιπῶν στοιχείων τὰ οὐράνια σώματα, οὔτε γῆν ἀκούοντας ἐν ἐκείνοις εἶναι πρὸς τὸ χεῖρον τῆς γῆς ἀποφέρεσθαι, ἢ φλόγα νομίζειν ἐκεῖνο τὸ πῦρ· ζέσιν γὰρ εἶναι τοῦτο κατὰ Ἀριστοτέλους φησὶν ὁ Πλωτῖνος, καὶ οἱονεὶ πῦρ διὰ κόρον ὑβρίζον, καὶ οὐχὶ τὸ στοιχειῶδές τε καὶ ζωτικὸν πῦρ. τὸ δὲ ἐκεῖ φησὶ πῦρ ὁμαλὸν εἶναι καὶ ἠρεμαῖον, τῇ τῶν ἄστρων πρέπον φύσει καὶ προσηνῶς θερμόν. τὴν γὰρ τῶν στοιχείων μάλιστα καθαρωτάτην καὶ εἰλικρινεστάτην μοῖραν εἰς τὴν τοῦ οὐρανίου συστήματος ἀποκριθῆναι σύστασιν, ὡς μήτε ἔκφυλον καὶ ξένην τῶν παρ' ἡμῖν στοιχείων τὴν τοῦ οὐρανίου σώματος εἶναι φύσιν μήτε ἀπαραλλάκτως τοιοῦτον εἶναι τὸ ἐκεῖ πῦρ ἢ τὴν γῆν ἢ τῶν ἄλλων τι, ἀλλὰ παρ' ἡμῖν μὲν τὸ τρυγῶδες καὶ οἱονεὶ τὴν ὑποστάθμην τῶν στοιχείων ἀποῤῥεῦσαι, ἐκεῖσε δὲ τὴν λεπτομερεστάτην αὐτῶν καὶ ἀμείνονα διακριθῆναι μοῖραν, ἐπεὶ καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φησὶν ὁ Πλωτῖνος, ἐν τοῖς κυριωτάτοις αὐτῶν μάλιστα τὰ ἀμείνονα ἐκλέγεται ἡ φύσις. Πολλὰς μὲν οὖν καὶ ἄλλας ἐνῆν μαρτυρίας παραθέσθαι, τὴν προκειμένην δόξαν πιστούμενον Πλάτωνος. τὸν γὰρ αὐτοῦ Πλάτωνος μαθητὴν Ἀριστοτέλην, ὡς ὡμολογημένον παρ' ἡμῖν, ταῦτά τε προσμαρτυροῦντα καὶ ἐγκαλοῦντα δι' αὐτό γε τοῦτο Πλάτωνι· δοκεῖ γὰρ πρῶτος πάντων Ἀριστοτέλης τὴν περὶ τοῦ πέμπτου σώματος δόξαν εἰσηγήσασθαι. ἀλλ' οἶμαι τοῖς εὐγνώμοσιν εἰς πειθὼ τελείαν αὐτάρκη καὶ τὰ εἰρημένα, καὶ ἵνα μὴ τῆς χρείας πλέον τὸν περὶ τούτου λόγον ἐκτείνωμεν.

ιϛ. Ὅτι δὲ οὐ μόνον ἐκ τῶν τεσσάρων στοιχείων τὸ οὐράνιον οἴεται σῶμα συνεστάναι ὁ Πλάτων, ἀλλὰ καὶ ταῖς συνεγνωσμέναις ἡμῖν ποιότησι τὰ ἐκεῖ στοιχεῖα χαρακτηρίζει, θερμότητί φημι καὶ ψύξει, ὑγρότητι καὶ ξηρότητι, κουφότητί τε καὶ βαρύτητι, ὡς μηδὲν κατ' οὐσίαν τῶν παρ' ἡμῖν διαφέρειν, πλὴν ὅσον λεπτότητί τε καὶ καθαρότητι, αὐτὸς πάλιν σαφῶς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ γέγραφεν οὕτως "ἔκ τε γὰρ δὴ τούτων — καὶ ἀγήρω καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο" (St. 32 B — 33 A) εἰ οὖν ὅλον ἐξ ὅλων θερμῶν τε καὶ ψυχρῶν καὶ τῶν ἄλλων ὅσα δυνάμεις ἰσχυρὰς ἔχει ξυνέστησεν αὐτὸν ὁ ξυνιστάς, μέρος οὐδὲν οὐδὲ δύναμιν τούτων ἔξωθεν καταλιπών, ἵνα μὴ ὑπ' αὐτῶν πάθη προσπιπτόντων ἀκαίρως ἔξωθεν, παντὶ δῆλον ὡς ταῖς αὐταῖς ποιότησιν, αἷς τὰ παρ' ἡμῖν εἰδοπεποίηται στοιχεῖα, καὶ τὰ τὸν οὐρανὸν συνθέντα στοιχεῖα χαρακτηρίζεσθαι ὁ Πλάτων βούλεται. εἰ γὰρ μὴ ὁμοειδῆ καὶ ὁμόϋλα ἦν τοῖς ἐνταῦθα στοιχείοις τὰ οὐράνια, οὐδ' ἂν ἐπεφύκει ὑπ' αὐτῶν πάσχειν ἔξωθεν προσπιπτόντων. νῦν δέ, ἐπειδὴ πάσχειν ὑπὸ τῶν δραστηρίων

τούτων δυνάμεων πέφυκεν, ἵνα μὴ πάθῃ, οὐδὲν ἔξωθεν, φησί, τοῦ οὐρανοῦ καταλέλοιπεν ὁ θεὸς οὔτε μέρος στοιχείου οὔτε δύναμιν. πάσχειν δὲ ὑπ' ἀλλήλων τὰ μὴ ὁμόϋλα μηδ' ὁμοφυῆ ἀδύνατον, ὡς τοῖς φυσικοῖς ἀποδέδεικται. ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τοῖς εἰς τὸν ἕκτον ἀκριβέστερον εἴρηται, καὶ δεῖ γε ἐκεῖθεν πάντα ἐκλέγεσθαι.

ιζ. Ὅτι δὲ οὐδ' εἶναί τι παρὰ τὰ τέτταρα ταῦτα ἁπλοῦν σῶμα ἐνδέχεται, φησὶν ὁ Πλάτων, αὐτοῦ λέγοντος ἔξεστιν ἀκούειν. φησὶ γὰρ πάλιν ἐν Τιμαίῳ ταῦτα· "δεῖ δὴ λέγειν — φύσιν ἱκανῶς εἰληφέναι" (St. 53 D — E) εἰ οὖν μηδενί φησι συγχωρεῖν ὁ Πλάτων κάλλιον λέγειν εἶναί που τῶν τεττάρων τούτων σῶμα ἁπλοῦν (τοῦτο γὰρ αὐτῷ δηλοῖ τὸ καθ' ἓν γένος, ἵνα μὴ τὸ οὐράνιόν τις σῶμα ὡς κάλλει διαφέρον τῶν στοιχείων προφέρῃ· τοῦτο γὰρ οὐχ ἁπλοῦν ἀλλὰ σύνθετον ἐκ τῶν τεττάρων στοιχείων κατ' αὐτὸν συνέστηκε), δῆλον ἐκ τούτων (οἶμαι) παντὶ ὡς οὐ τέσσαρα καὶ μόνον εἶναι σώματα τὰ ἐξ ὧν πᾶς ὁ κόσμος συνέστηκε βούλεται, ἀλλ' οἱονεὶ καὶ μαντικῶς προανῄρηκε τὴν ὑπ' Ἀριστοτέλους τῷ παντὶ μέλλουσαν τοῦ πέμπτου σώματος εἰσάγεσθαι φύσιν. τάχα δ' ἄν τις ἀληθέστερον εἰπεῖν ἔχοι ὡς ἤδη τοῦ ἰδίου μαθητοῦ προαισθόμενος ἐν ταῖς κοιναῖς (οἷα φιλεῖ) συνουσίαις ἀντειπόντος αὐτῷ καὶ μὴ συγχωροῦντος ἐκ τῶν τεσσάρων στοιχείων τὸν οὐρανὸν συνεστάναι, ἀλλ' ἤδη προεισηγησαμένου περὶ τοῦ πέμπτου σώματος ὑπόληψιν, ἐξ οὗ τὸ οὐράνιον εἶναί φησιν ἐκεῖνος διά τε τὸ διάφορον τῆς κινήσεως καὶ τὸ μηδὲν ὑπὸ τούτων φαίνεσθαι πάσχοντα, τὴν ἐκείνου δόξαν ὁ Πλάτων ἀποκρουόμενος οὐδενὶ συγχωρεῖν ἔφη καλλίω τούτων τῶν τεσσάρων ὁρώμενα σώματα εἶναί που καθ' ἓν γένος ἕκαστον, μόνον οὐχὶ λέγων ὅτι εἰ καὶ ἔστι κάλλιον τὸ οὐράνιον σῶμα τῶν στοιχείων διὰ τὰς ἐξαιρέτους ἐν αὐτῷ δυνάμεις, ἀλλὰ οὐχὶ τῷ ἑτέρας εἶναι σωμάτων φύσεως τοιοῦτόν ἐστιν ἀλλὰ τῷ τε ἐκ τῆς τούτων καθαρωτάτης τε καὶ λεπτομερεστάτης συνεστάναι μοίρας καὶ τῇ τῆς ἀρίστης κράσεως ἀρρήτῳ ἀϊδιότητι. καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν συνθέτοις σώμασι, τοῖς ὁμολογουμένως ἐκ τῶν στοιχείων τούτων συνεστῶσι, πολλὰ καὶ θαύματος ἄξια ὑπὸ τῆς φύσεως ἐγγίνεται, ὧν οὐδὲν ἐν τοῖς ἁπλοῖς ἐνυπάρχον φαίνεται. δυνάμεις τε γὰρ μυρίαι καὶ λόγου κρείττονες ὑπὸ τῆς διαφόρου κράσεως τοῖς συνθέτοις ἐγγεννῶνται σώμασι, συμπάθειαί τε ἄλλων πρὸς ἄλλα καὶ ἀντιπάθειαι, χρωμάτων τε καὶ ποιοτήτων ἄπειροι διαφοραὶ κινήσεών τε καὶ ἀλλοιώσεων ἐξηλλαγμένα τε εἴδη, ὡς ἡ πεῖρα αὐτὴ καὶ οἱ τὰ φυσικὰ ἡμῖν ἱστορήσαντες γράφουσιν, ὧν οὐ καιρὸς μνήμην ἐν τῷ νῦν ποιεῖσθαι. τί οὖν θαυμαστὸν εἰ καὶ ἐν τῷ οὐρανίῳ σώματι διά τε τὴν τῶν συνθέντων στοιχείων καθαρότητά τε καὶ λεπτομέρειαν καὶ διὰ τὴν τῆς κράσεως ἀρίστην συμμετρίαν ἰδιότητές τινες ἄρρητοι ὥσπερ καὶ ἐν ἄλλοις ἐγγεγόνασιν, ἃς ἐν τοῖς ἁπλοῖς ἰδεῖν οὐκ ἔστιν; διὰ ταῦτα τοίνυν ὁ Πλάτων οὐκ εἶπεν οὕτως ἁπλῶς ὅτι καλλίω τούτων οὐδενὶ συγχωρήσομεν ὁρώμενα σώματα εἶναί που, ἀλλ' ἀκριβῶς προσέθηκε κατὰ ἓν γένος ἕκαστον, τουτέστιν ἁπλοῦν καὶ ἄμικτον πρὸς ἕτερον, ἵνα μή τις τὰ ἐκ τούτων συγκείμενα εἰς ἔλεγχον προφέρῃ τοῦ λόγου, ὧν εἶναι καὶ τὸν οὐρανὸν ὁ Πλάτων βούλεται. Τούτων οὖν οὕτως ἀποδεδειγμένων καὶ ὑπὸ τοσούτων Πλατωνικῶν ἀνδρῶν μεμαρτυρημένων, τίς οὐκ ἂν

ὑπερεκπλαγείη τὴν ὑπερβολὴν τῆς ἀναιδείας, ὅπερ τοῦ λόγου καταρχόμενος ἔλεγον, τῶν τολμησάντων εἰπεῖν ἢ ὅτι οὐκ ἐκ τῶν τεσσάρων στοιχείων σύνθετον εἶναί φησι τὸν οὐρανὸν ὁ Πλάτων, ἀλλ' οἶδε καὶ αὐτὸς τὴν ὑπ' Ἀριστοτέλους ἐπινοηθεῖσαν τοῦ πέμπτου σώματος φύσιν, ἢ πάλιν τῶν συγχωρούντων μὲν ἐκ τῶν τεσσάρων στοιχείων λέγειν αὐτὸν συνεστάναι τὰ οὐράνια, μὴ τῷ θερμῷ δὲ τὸ οὐράνιον πῦρ χαρακτηρίζειν Πλάτωνα ἢ τῷ ψυχρῷ τὸ ὕδωρ, καὶ ἁπλῶς εἰπεῖν τῶν ἐν τῷ οὐρανῷ στοιχείων ἕκαστον αἷς καὶ τὰ παρ' ἡμῖν στοιχεῖα ποιότησι χαρακτηρίζεσθαι; ἀλλὰ γὰρ ἵνα μηδὲν τῶν ὑπ' αὐτῶν κομψῶς εἰς παρεξήγησιν τῆς Πλάτωνος διανοίας ἀναπεπλασμένων ἀνέλεγκτον καταλίπωμεν, μικρὸν ἔτι συγγνῶναι ἡμῖν τῇ περὶ ταῦτα ἐνδιατρίβουσιν ἀδολεσχίᾳ τοὺς ἐντυγχάνοντας ἀξιῶ. πέντε γὰρ ὄντων τῶν ὑπ' εὐθυγράμμων καὶ ὁμοειδῶν ἐπιπέδων συνισταμένων στερεῶν σχημάτων, κύβου, πυραμίδος, ὀκταέδρου τε καὶ εἰκοσαέδρου καὶ δωδεκαέδρου (ταῦτα γὰρ μόνα ἁπλᾶ στερεὰ εἶναι σχήματα τοῖς περὶ ταῦτα δεινοῖς ἀποδέδεικται), γεωμετρικώτατος ὢν ὁ Πλάτων καὶ μηδὲ ἐν τῇ τῶν φυσικῶν διδασκαλίᾳ τῆς κατὰ γεωμετρίαν μεθόδου ἐκτὸς εἶναι βουλόμενος, καὶ συμβολικώτερον ἐξ ἐπιπέδων τὰ τῶν στοιχείων γεννῶν σώματα, τὸ μὲν κυβικὸν σχῆμα τῇ γῇ ἀφορίζει, τὴν δὲ πυραμίδα τῷ πυρί, τὸ εἰκοσάεδρον τῷ ὕδατι, τὸ ὀκτάεδρον τῷ ἀέρι. λειπομένου δ' ἔτι τοῦ δωδεκαέδρου σχήματος, τούτῳ (φησὶν ὁ Πλάτων) εἰς τὸ πᾶν αὐτῷ ὁ θεὸς κατεχρήσατο. οἱ δὲ τὸ ἑαυτοῖς δοκοῦν πανταχόθεν καὶ οὐ τὸ ἀληθὲς συνάγειν μηχανώμενοι διὰ τοῦ δωδεκαέδρου φασὶ σχήματος τὴν πέμπτην αὐτὸν τοῦ στοιχείου φύσιν αἰνίττεσθαι, ἐξ ἧς τὰ οὐράνια γεγονέναι σώματα, ὥστε πρὸ Ἀριστοτέλους, φασίν, ὁ Πλάτων τὸ πέμπτον στοιχεῖον ἐγίνωσκεν. καί τοί γε Πλάτων οὐκ εἰς τὴν τῶν οὐρανίων δημιουργίαν τῷ δωδεκαέδρῳ φησὶ τὸν θεὸν καταχρήσασθαι, ἀλλ' εἰς τὸ πᾶν, τουτέστιν εἰς τὸν ὅλον κόσμον. φησὶ γὰρ ἐν Τιμαίῳ ἐπὶ λέξεως ταῦτα "ἔτι δὲ οὔσης ξυστάσεως — βλέψας ἕτερα δοξάσει" (St. 55 C — D). ὅτι μὲν οὐκ εἰς τὰ οὐράνια τῷ δωδεκαέδρῳ σχήματι τὸν θεὸν ὁ Πλάτων φησὶ καταχρήσασθαι, ἀλλ' εἰς τὸ πᾶν, δῆλον ἐκ τῶν αὐτοῦ λέξεων γέγονεν. ὁ δὲ οὐρανὸς οὐκ ἔστι τὸ πᾶν, ἀλλὰ τοῦ παντὸς μέρος· καὶ ἐκ τῶν φθασάντων ἐναργῶς δέδεικται ὡς σύνθετον ἐκ τῶν τεσσάρων στοιχείων τὸν οὐρανὸν εἶναι ὁ Πλάτων βούλεται, καὶ οὐχὶ τῶν τεσσάρων ἕτερον. τὴν δὲ τῶν προκειμένων ῥητῶν τοῦ Πλάτωνος ἀκριβεστέραν ἐξήγησιν, ὅτῳ φίλον, καὶ παρὰ τῶν προϋπομνηματισαμένων λαβεῖν ἔξεστι. καὶ ἡμεῖς δὲ συντόμως τὴν ἐκείνων εἰς τὰ προκείμενα διάνοιαν ἐκθησόμεθα. καὶ γὰρ ἐξ αὐτῆς τῆς Πλάτωνος λέξεως παντὶ δῆλόν ἐστι τί ποτε αὐτῷ βούλεται ἡ τῶν πέντε σχημάτων συμβολικὴ διδασκαλία, ὅτι οὐ πρὸς ἔνδειξιν τοῦ ἐκ πέντε σωμάτων ἁπλῶν τόδε τὸ πᾶν συνεστάναι, ὡς οἱ περὶ Ἀριστοτέλην ὑπέθεντο. ἔφθη γὰρ εἰπὼν ἤδη Πλάτων, περὶ τῶν τεσσάρων στοιχείων διαλεγόμενος (St. 53 E), ὅτι "οὐδενὶ συγχωρησόμεθα καλλίω τούτων ὁρώμενα σώματα εἶναί που κατὰ ἓν γένος ἕκαστον ὄν." ἀλλ' ἐπεὶ πολλὴ γέγονε τοῖς ἀρχαιοτέροις ἡ ζήτησις πότερον εἷς ἐστὶν ὁ κόσμος ἢ πλείονες ἢ ἄπειροι, καὶ οἵγε περὶ Δημόκριτον ἀπείρους εἶναι κόσμους ὑπέθεντο, φησὶν ὁ Πλάτων (St. 55 C) ὅτι, εἴπερ

ὅλως ἀπορεῖν περὶ τούτων δέοι, οὐκ ἀπορητέον εἰ ἄπειροί εἰσιν οἱ κόσμοι (ἀπείρου γὰρ ὄντως, φησί, τοῦτο καὶ οὐκ ἐπιστήμονος ἀνδρὸς ἂν εἴη τὸ πρόβλημα), ἀλλὰ μή ποτε πέντε εἰσὶν οἱ κόσμοι διὰ τὸ πέντε εἶναι τὰ ἁπλᾶ στερεὰ σχήματα, ἑκάστου κόσμου καθ' ἕν τι τῶν σχημάτων χαρακτηριζομένου, ὥσπερ ἀμέλει τὸν κατὰ τὸ δωδεκάεδρον ἐχαρακτήρισεν. ὅπερ οὐδὲ αὐτῷ δοκεῖ τῷ Πλάτωνι· ἕνα γὰρ μονογενῆ τὸν κόσμον εἶναι βούλεται. πρὸς δὲ τούτοις καὶ τοῦτο καλῶς τοῖς προϋπομνηματισαμένοις ἔδοξεν, ἐξ αὐτῶν κινουμένοις τῶν Πλάτωνος, ὡς καὶ τούτῳ ἂν τῷ κόσμῳ ἁρμόσειεν ἡ τῶν πέντε σχημάτων εἰκών . . . . .

IN CRITIAM.

108. Μελλητέον] ὑπερθετέον ἐστίν.

109. Σημείωσαι τὸ ἐκ πρύμνης, οἶμαι, τὸ ἔνδοθεν.

110. Ἰσθμὸς γῆ στενὴ καὶ ἀμφιθάλασσος, καθ' ἣν ἡ Ἀχαία τῇ Πελοποννήσῳ συνάπτεται. Κιθαιρὼν ὄρος Βοιωτίας, Πάρνης δὲ ὄρος μεταξὺ Ἀττικῆς καὶ Βοιωτίας, πλησίον Πανάκτου. Ὠρωπὸς πόλις Βοιωτίας. Ἀσωπὸς ποταμὸς Βοιωτίας.

111. Φελλεὺς τόπος σκληρὸς ποσῶς καὶ πετρώδης, συνεργὴς δέ. οἱ δὲ τὸν ἐξ ἐπιπολῆς πετρώδη. Σᾶ τὰ σῶα μονοσυλλάβως φασὶν Ἀττικοί, καὶ τὸν σῶον σῶν. καὶ ἡ σῶα σᾶ παρ' αὐτοῖς.

112. Ἠριδανὸς καὶ Ἰλισσὸς καὶ ἀλλαχοῦ μέν, ἀλλ' οὗτοι ἐν τῇ Ἀττικῇ. Πνὺξ τόπος Ἀθήνησιν, ἐν ᾧ ἐκκλησίαι ἐγίγνοντο πάλαι μὲν πᾶσαι, ὕστερον δὲ ἅπαξ, ὅταν τὸν στρατηγὸν χειροτονῶσιν. ἐκλήθη δὲ οὕτως ἤτοι ἀπὸ τοῦ πυκνοῦσθαι τὸν ὄχλον ἐκεῖ, ἢ ἀπὸ τοῦ πυκνὰ εἶναι τὰ περὶ αὐτὴν οἰκήματα.

Λυκαβηττὸς ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτως διὰ τὸ λύκοις πληθύειν. Ξυσσίτια τὰ δεῖπνα ἃ κοινῇ ποιοῦνται Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ φιλίτια, ἐπεὶ φιλίας συναγωγά ἐστιν. Εὔκρας εὔκρατος, ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ.

115. Ἀκρόδρυα κοινῶς οἱ τῶν δένδρων καρποί. Μεταδόρπια] ἐπίδειπνα. Τὸ πλέθρον ἐστὶ ποδῶν ξϛ' δίμοιρον. Στάδιόν ἐστι μέρος τι μιλίου ἕβδομον τεσσαρεσκαιδέκατον· τὸ γὰρ μίλιόν ἐστι ζϛ' στάδια. conf. Bast. Corinth. p. 854.

116. Φιτῦσαι ἐπὶ (ἐστι Α) τοῦ πατρός, ἐπὶ δὲ μητρὸς γεννῆσαι. καὶ φιτύων ὁ γεννῶν, καὶ τὸ γέννημα φῖτυ, ὡς Εὔπολις Αὐτολύκῳ

ἀτὰρ ἤγαγες καινὸν φῖτυ τῶν βοῶν.

IN LEGES.

I.

Ὁ Ἀθηναῖος οὗτος ξένος πεποίηται ἐνταῦθα εἰς τὴν Κρήτην ἀπιών. ἔστι δὲ Πλάτων, ὡς ἐκ τοῦδε φανερόν. αὐτὸς γὰρ ὁ Ἀθηναῖος ξένος ἐν

τῷ Νόμων λέγει ὅτι ἤδη αὐτῷ δύο πολιτεῖαι προηνύσθησαν· ἡ οὖν οὐδ᾽ ἐκεῖναι Πλάτωνος, ἢ εἰ μὴ τοῦτο, ὁ αὐτὸς ἂν εἴη τῷ Ἀθηναίῳ ξένῳ. οὗτος οὖν εἰς Κρήτην ἀφικόμενος, καὶ περιτυγχάνων ἔξω πρὸ τῆς Κνωσσοῦ Κλεινίᾳ τε τῷ Κρητὶ καὶ Μεγίλλῳ τῷ Λακεδαιμονίῳ, ἐπιτετραμμένοις μὲν ὑπὸ τῶν τὴν Κνωσσὸν οἰκούντων ἀποικίαν ποιήσασθαι ἐκεῖθεν καὶ καταστήσασθαι πόλιν νόμους τε προσήκοντας τοῖς πολίταις διαθεῖναι, προσεχῶς δ᾽ ὡρμημένοις ἐπὶ τὸ τοῦ Διὸς ἄντρον, ἱερὸν τοῦτο γενόμενον ἁγιώτατον, ἐν ᾧ τὰ σεπτότατα καὶ ἀῤῥητότατα τῶν μυστηρίων ἐπετελεῖτο, — περιτυχὼν δ᾽ οὖν αὐτοῖς ὁ ξένος, καὶ ταῦτα παρ᾽ αὐτῶν πυθόμενος, ἤρετο ἐπὶ τούτοις τίνες ἂν εἶεν οἱ νόμοι; τῶν δὲ μὴ δυνηθέντων τελείαν ἀποδοῦναι τὴν τῶν νόμων διάθεσιν, ὁρώντων δὲ τὸν ξένον εὖ παρεσκευασμένον περὶ νόμων θέσιν, καὶ παρακαλούντων συλλήπτορα αὐτὸν γενέσθαι τῆς πολιτείας, ἄρχεται ὁ Ἀθηναῖος ξένος τῆς τῶν νόμων διαθέσεως· ἐν οἷς δὴ οὐκέτι, ὥσπερ ἐν τοῖς τῆς μεγάλης Πολιτείας, κοινὰ πάντα προστάττει, ἀλλ᾽ ἑκάστῳ ἀγρὸν ἀπονέμει καὶ πρὸς τούτῳ οἰκίαν, ἔτι μέντοι καὶ γυναῖκα ἰδίαν καὶ παῖδας οὐκέτι κοινούς, πλὴν ὅτι οὐδὲ ταῦτα ἀόριστα ἀφῆκεν, ἀλλὰ τοὺς κλήρους εἰς ὡρισμένον ἀριθμὸν παρέλαβε. τεσσαράκοντα γὰρ καὶ πέντε τοὺς πάντας κλήρους διανέμειν παρακελεύεται· τὴν δ᾽ αἰτίαν τοῦ τοσούτου ἀριθμοῦ γνωσόμεθα, ὅταν αὐτὸς ἐπιμνησθῇ. ὁρίζει δὲ καὶ τὰ τιμήματα, ὥσπερ ὁ Σόλων Ἀθηναίοις, εἰ καὶ τρόπον ἄλλον. πενταχοσιομέδιμνοι γὰρ παρ ἐκείνῳ καὶ ἱππεῖς καὶ ζευγῖται καὶ οἱ θῆτες· καὶ παρὰ τούτῳ δὲ τέτταρα ταῦτα ὁρισθήσεται, οὐκέτι δὲ τοῖς αὐτοῖς προσαγορευόμενα ὀνόμασιν οὐδὲ τῆς αὐτῆς ὄντα ποσότητος, πλὴν ὡρισμένα, ὥστε μὴ ἐξεῖναι, εἰ τύχοι, τῷ πρώτῳ πλεῖον τετρακοσίων ἔχειν περιουσίαν, μήτε μὴν τῷ ἐσχάτῳ τῶν ἑκατὸν ἐλάττονα. τοιαύτη τίς ἐστιν ἡ ὑπόθεσις.

624. Διαφέρει λόγος φήμης. ὁ μὲν γὰρ δῆλος γίνεται καὶ ὑφ᾽ οὗ φέρεται, ἡ δὲ ἄγνωστον ἔχει τὴν ἀρχήν. Τὸν ἀδελφὸν] ἐγένετο καὶ τούτων τρίτος ἀδελφός, Τάλως, ὃς δὴ ἔνοπλος τὴν Κρήτην περιιέναι φρουρῶν ἐλέγετο.

625. Κλέος] καὶ οἱ Στωϊκοὶ πλατωνίζοντες κλέος φασὶ τὸ ἐπὶ τῶν σπουδαίων γενόμενον δίκαιον, δόξαν δὲ τὴν ἐπὶ τῶν ἀσπούδων δόκησιν.

Πολιτείας τῆς μιᾶς ζωῆς τῆς ὅλης πόλεως, νόμων δὲ τῶν διανεμόντων τὰ μέρη ἐξ ὧν ἡ πόλις. Τοῦ Διὸς ἄντρον] οὗ τὰ μέγιστα τῶν τοῦ Διὸς μυστηρίων καὶ τῶν Κουρήτων ἐνιερᾶσθαι ἐλέγετο. Οπλων ἕξιν] σχέσιν ἢ περιβολήν, ἢ ἁπλῶς ὅπλισιν, παρὰ τὸ ἔχειν. Ἀπολογεῖται διὰ τὴν τῶν τόξων χρῆσιν· καὶ γὰρ ὄνειδος ἦν, ὡς τὸ τοξότα λωβητήρ· οὐ γὰρ ἀγχέμαχοι, ἀλλὰ πόῤῥωθεν βάλλουσιν οἱ τοξόται. αἰτιᾶται οὖν τὸν τόπον.

Τόξα ὁ βιός, τοξεύματα τὰ βέλη. Πρὸς πόλεμον ἡμῖν ἅπαντα ἐξήρτυται] ὥστε πρὸς νίκην ἑώρα ὁ τοῦτο θέμενος. τιμοκρατικὸν δὲ καὶ θυμικὸν τὸ πόλεμον τέλος εἶναι τῶν νόμων. Ἄνοιαν] ὅτι δὴ λανθάνει αὐτοὺς ὡς ἀνάγκη καὶ τὰς πόλεις καὶ πάντας ἀνθρώπους πολεμεῖν διὰ βίου, ὁ Μίνως ἀνοήτους ἐκείνους ἐνόμιζεν, ὅσοι μὴ τὸν πόλεμον τέλος τοιοῦνται. τοῦτο δ᾽ οὐκ ὀρθῶς ὁ Κρὴς ἔφη· καὶ γὰρ ἡ ἀριστοκρατία τὴν εἰρήνην τέλος ποιουμένη, τὸν πόλεμον ὡς ἀναγκαῖον δι᾽ αὐτὴν ἀναι-

ῥεῖται. *Ἄρχοντας*] ἐφίσταντο γὰρ ἄρχοντες τοῖς συσσιτίοις, ἵνα μὴ ἀμέτρως διαιτώμενοι περὶ τὸν πόλεμον ἀργότεροι γίγνωνται.

626. *Ἀκήρυκτον*] μὴ ἁπλῶς ἔκ τινος περιστάσεως γιγνόμενον, καὶ δεόμενον κήρυκος τοῦ διεγείροντος τοὺς ἑταίρους φύσει πάντας ἐπὶ τοῦτο παρεσκευάσθαι. *Τὸ μὲν* τῶν κτημάτων τέλος προσήκοι ἂν ταῖς κατὰ τὴν ἐπιθυμίαν πολιτείαις, τὸ δὲ τῶν ἐπιτηδευμάτων τῇ κατὰ τὸν λόγον. τὰς ἄλλας οὖν διὰ τούτων ἀποδοκιμάσας πολιτείας, μόνην ἐγκρίνει τὴν τιμοκρατικὴν διὰ τῆς περὶ τὸν πόλεμον σπουδῆς. *Ὅρον*] ἀντὶ τοῦ τέλος τῆς νομιζομένης παρὰ σοὶ πολιτείας. *Ἡ ἀπόκρισις* ἔνδειξιν ἔχει τοῦ Λακωνικοῦ τρόπου, σύντομος οὖσα καὶ συνεστραμμένη, ἅμα δὲ καὶ κατὰ τὴν λέξιν τραχύτητα ὑποφαίνουσα. καὶ τὸ ὦ θεῖε Λακωνικόν, πλὴν ὅτι τὸ θ ἐνήλλακται· σεῖε γὰρ τὸ θεῖε παρ' αὐτοῖς.

Ἐλέγξαι βούλεται ἐντεῦθεν τὴν ἐκείνων ὁμολογίαν περὶ τοῦ κατὰ τὸν πόλεμον νόμου. κέχρηται δὲ δύο ἐπιχειρήμασι, προτέρῳ μὲν τῷ διὰ τῆς διαλύσεως τρόπῳ, μετὰ ταῦτα δέ, ἐνισταμένου τοῦ Κλεινίου ἐντρεχῶς πρὸς τὴν ἐπιχείρησιν, χρῆται καὶ ἑτέρῳ τῷ κατὰ σύνθεσιν. ἔστι δὲ ὁ ἐλεγχόμενος λόγος αὐτῶν ὁ τιθέμενος ὅρον εἶναι τῆς εὖ πολιτευομένης πόλεως τὸ πολεμεῖν καὶ νικᾶν τοὺς ἄλλους. *Οὐ γάρ σε Ἀττικὸν*] οὔ σέ φημι ἀπὸ ἀνθρώπου ἔχειν τὴν ἐπωνυμίαν, Ἀτθίδος ἤ τινος τοιούτου, ἀλλ' ἀπὸ τῆς θεοῦ τῆς Ἀθηνᾶς, ἐπιστημόνως γε καὶ φρονίμως οὕτως διατιθέντα τοὺς λόγους. *Ἀναγαγὼν*] τῇ ἀναλύσει χρησάμενος καὶ ἐφ' ἕνα ἕκαστον ἀναγαγὼν ἐκ τῆς ὅλης πόλεως. *Ἐθαύμασεν ὁ ξένος* τὸν λόγον, ὅτι δὴ ἐπὶ μὲν τῶν πόλεων καὶ κωμῶν ὁμοίων τὴν φύσιν (ἀνθρώπων γὰρ πρὸς ὁμοίους ἀνθρώπους) ἡ μάχη, ἐπὶ δὲ τῆς ψυχῆς ἀνομοίων· λόγου γὰρ πρὸς ἀλογίαν. *Πρώτη τε καὶ ἀρίστη*] ἀληθὲς μὲν τοῦτο, μὴ μέντοι λέγε ἄριστον τὸ τῆς ἐγκρατείας εἶδος· τούτου γὰρ ἄμεινον τὸ σωφρονικόν.

627. *Εὑρίσκει* καὶ πρὸς τοῦτο ἀπαντῆσαι. ὡς γὰρ ψυχὴ ἐλέγετο κρείττων ἑαυτῆς ἐκείνη ἐν ᾗ ὁ λόγος ὡς ἀμείνων ἐκράτει, ἥττων δ' ἑαυτῆς ἐν ᾗ τὸ ἄλογον, οὕτω καὶ πόλις καὶ κώμη ἐπὶ ἀμεινόνων καὶ χειρόνων ἀνδρῶν ἔχουσιν. *Τὸ κρείττω*] ὁμωνυμία τίς ἐστι περὶ τὰς εἰρημένας παρὰ τοῦ Κλεινίου φωνάς, καὶ δυνατὸν ἦν τῷ ἀντιλαμβανομένῳ τῶν λέξεων ἐναντιώσει αὐτὸν περιβαλεῖν. τὸ γὰρ κρεῖττον καὶ ἧττον καὶ ἄμεινον καὶ χεῖρον δύναται καὶ ἐπὶ τῆς ἔνδον ζωῆς τῆς ψυχικῆς θεωρεῖσθαι καὶ ἐπὶ τῆς κατὰ τὰ σώματα διαφορᾶς, καὶ οὐδὲν κωλύεται ὁ κρείττων κατὰ τὴν ζωὴν χείρων εἶναι κατὰ τὸ σῶμα. οὕτω δὴ καὶ ἐν πόλει εἰ κρατοῖεν οἱ ἀμείνους τῶν χειρόνων τὸν εἰρημένον τρόπον, λέγοιτ' ἂν ἑαυτῆς κρείττων, ἀλλὰ καὶ ἥττων, καὶ ἔσται ἐναντιότης τῶν ὀνομάτων περὶ τὸ αὐτὸ πρᾶγμα. διορισμοῦ δὴ χρεία περὶ τὴν ὁμωνυμίαν. ἀλλ' ἵνα μὴ τὸ πάρεργον ἔργον ποιήσωμεν, ἄλλως διὰ παραδείγματος μεθοδευτέον τὸ σκέμμα. *Εἴ ποτ' ἔστι που*] οὐ γὰρ ἐν νοητοῖς οὐδ' ἐν οὐρανίοις, ἀλλ' ἐν τῇ γενέσει. *Τὸ χεῖρον κρεῖττον τοῦ ἀμείνονος*] ἐπειδὴ κρεῖττον οὐ μόνον λέγεται τὸ βέλτιον ἀλλὰ καὶ τὸ ἐπικρατέστερον, ἐπειδὰν τὸ χεῖρον νικᾷ, καὶ κρεῖττόν ἐστιν. ὃ καὶ αἰνίγματι ἔοικεν, εἶναι τὸ χεῖρον κρεῖττον. ἀλλ' ἔστι τὸ χεῖρον κρεῖττον οὐχ ὡς βέλτιον, ἀλλ' ὡς ἐπικρατέστερον ὂν τηνικαῦτα.

629. Ὁ Τυρταῖος οὗτος Ἀθηναῖος ἐγένετο, εὐτελὴς τὴν τύχην· γραμματιστὴς γὰρ ἦν καὶ χωλὸς τὸ σῶμα, καταφρονούμενος ἐν Ἀθήναις. τοῦτον Λακεδαιμονίοις ἔχρησεν ὁ Ἀπόλλων μεταπέμψασθαι, ὅτε πρὸς Μεσσηνίους εἶχον τὴν μάχην καὶ ἐν ἀπορίᾳ κατέστησαν πολλῇ, ὡς δὴ ἱκανοῦ αὐτοῖς ἐσομένου πρὸς τὸ συνιδεῖν τὸ λυσιτελές· αὐτῷ γὰρ ἐπέτρεψε χρήσασθαι συμβούλῳ. ἀφικόμενος δὲ οὗτος εἰς Λακεδαίμονα καὶ ἐπίκουρος γενόμενος συνεβούλευσεν αὐτοῖς ἀνελέσθαι τὸν πρὸς Μεσσηνίους πόλεμον, προτρέπων παντοίως· ἐν οἷς καὶ τὸ φερόμενον εἰπεῖν ἔπος

Μεσσήνην ἀγαθὸν μὲν ἀροῦν, ἀγαθὸν δὲ φυτεύειν.

τοῦτον οὖν ἐν τῷ λόγῳ παρέλαβεν ὁ Ἀθηναῖος ξένος, ὡς καὶ αὐτὸν πολέμου σύμβουλον γεγονότα.

630. Περὶ Θεόγνιδος καὶ τῆς κατ' αὐτὸν ταύτης ἱστορίας ἀμφιβολία πολλὴ ἐγένετο τοῖς παλαιοῖς. καὶ οἱ μέν φασιν αὐτὸν ἐκ Μεγάρων γεγενῆσθαι τῆς Ἀττικῆς· οὕτως ὁ Δίδυμος, ἐπιφυόμενος τῷ Πλάτωνι ὡς παριστοροῦντι· οἱ δὲ ὅτι ἐκ Σικελίας. εἰ δὲ καὶ μὴ εἴη ἐκ Σικελίας, οὐδὲν λυμαίνεται τὸ προκείμενον, ἀλλὰ καὶ τοὐναντίον· οὐ γὰρ ὑπὲρ Ἀττικοῦ ὡς Ἀθηναῖος λέγει, ἀλλὰ καίτοι πρὸς Ἀθηναῖον αὐτὸν παραβάλλων τὸν Τυρταῖον, τὸ ἀληθὲς περὶ τὴν κρίσιν ἐφύλαξε καὶ τὸν Θέογνιν καὶ ξένον ὄντα προέκρινε. τί δὲ ἐκώλυεν αὐτὸν ἐκ ταύτης μὲν εἶναι τῆς Μεγαρίδος, ἀπελθόντα δὲ εἰς Σικελίαν, ὡς ἡ ἱστορία ἔχει, γενέσθαι νόμῳ Μεγαρέα ἐκεῖ, ὡς καὶ τὸν Τυρταῖον Λακεδαιμόνιον; Τετάρτη] πρώτη γὰρ ἡ φρόνησις, ἡ δικαιοσύνη. ἡ δὲ ἀνδρεία, ὡς περὶ τὸν θυμὸν μόνον ἔχουσα, τετάρτη. τῶν γὰρ ἄλλων ἑκατέρα περὶ τὴν τριμέρειαν ἔχει· καὶ γὰρ ἡ σωφροσύνη ἐπὶ τὸν λόγον διὰ τοῦ θυμοῦ τὴν ἐπικράτειαν τοῦ ἐπιθυμητικοῦ ἀναπέμπει. Χρῆν] ἀντὶ τοῦ ἔδει, χωρὶς τοῦ ε.

Θείας] δηλονότι πολιτείας. παρὰ θεῶν γάρ φατε ἐκείνους εἰληφέναι τοὺς νόμους, καὶ διὰ τοῦτο θείους καὶ τὴν πολιτείαν θείαν. ἀξίους οὖν ἀποδότω καὶ τοὺς νόμους τῆς θείας πολιτείας. Ζητοῦσιν] τὰ μερικὰ καὶ περὶ τὰ συναλλάγματα κλήρων καὶ ἐπικλήρων, οὐ περὶ τούτων, ἀλλὰ τὰ περὶ τῆς ἀρετῆς, ὡς αὐτός· ἐν γὰρ τοῖς ι' βιβλίοις τὰ κατὰ τὴν ἀρετὴν πραγματευσάμενος, ἐπὶ τέλει ἐν τοῖς β' βιβλίοις καὶ ἐκεῖνα ἠξίωσε μνήμης. Κλῆρός ἐστι κτημάτων οὐσία τις ἢ λαχμὸς ἢ μέτρον τι γῆς, ὅθεν καὶ κληροῦχοι οἱ ταῦτα κατέχοντες· ἢ τὸ τῶν ἱερῶν ἀνδρῶν σύστημα. ἐπίκληρος δέ ἐστιν ἡ ἐπὶ κλήρῳ παντὶ καταλελειμμένη παῖς, ὀρφανὴ πατρὸς καὶ μητρός, ἀδελφῶν τε οὖσα ἔρημος. τινὲς δὲ ταύτην ἐπιπαματίδα καὶ πατροῦχον καλοῦσιν.

631. Τὸ σμικρότατον] ὅπερ ἀνωτέρω φαυλότατον μόριον τὴν ἀνδρείαν φησί, τοῦτο σμικρότατον λέγει νῦν. Εὐδόκιμοι] ὡς κατὰ τὸ φιλότιμον καὶ θυμικὸν χαρακτηριζόμενοι τῆς ψυχῆς εἶδος, τῶν ἄλλων περὶ χρήματα καὶ ἡδονὰς ἐννόμους ἢ παρανόμους ὁρώντων· ἃ δὴ τῆς ἐπιθυμίας πάντα ἐστίν. Ὁ Θεόφραστός φησιν· εἰ ζωὴν εἶχεν ὁ πλοῦτος, πρὸς μόνους ἂν ἀπῆλθε τοὺς ἀγαθούς. ἕκαστον γὰρ τοῦ οἰκείου ἐφίεται ἀγαθοῦ· τοῦτο δὲ τῷ πλούτῳ ἐστὶν ἀγαθόν, τὸ τοῖς ἀγαθοῖς ὄργανον γίγνεσθαι. τὸ γὰρ ἑκάστῳ ἀγαθόν, τοῦτο καὶ ἐφετὸν ὑπάρχει· τοῦτο δ' αὐτῷ καὶ κατὰ φύσιν. πάντα δὲ τῆς κατὰ φύσιν ὀρέγεται διαθέσεως. νῦν δὲ ἐπειδὴ οὐκ ἔχει ὁ πλοῦτος ζωήν, ἐμπίπτει καὶ εἰς τοὺς κακούς. Ὡς μεταβατικὸν καὶ μερικὸν νοῦν τὴν φρόνησιν οὕτω

καλεῖ, οὐχ ἁπλῶς. *Ταῦτα δὲ πάντα*] τὰ θεῖα ἀγαθὰ τῶν ἀνθρωπίνων. *Τὰς ἄλλας προστάξεις*] νομοθεσίας τὰς περὶ τῶν κλήρων καὶ ἐπικλήρων καὶ τῶν λοιπῶν. *Τιμῶντα*] οἱ μὲν ἄλλοι νομοθέται διὰ κολάσεως καὶ ζημίας, οὗτος δὲ διὰ τιμῆς τινὸς πειθὼ τοῖς πολίταις ἐμποιεῖ πρὸς αὐτόν.

633. *Τὰ ξυσσίτια*] οἱ συσσιτοῦντες δέκα ἦσαν, ἡ δὲ κρίσις τῶν συνταττομένων αὐτοῖς τοιαύτη τις ἦν. μαγδαλίαν γάρ, ἥ ἐστι μᾶζα στέατος, ἕκαστος ἔφερε, καί τις παρειστήκει αὐτοῖς φέρων ἐπὶ κεφαλῆς ἄγγος, εἰς ὃ οἱ κρίνοντες τὰς μάζας ἐνέβαλλον, οἱ μὲν ἄξιον κρίνοντες τὸν προσιόντα ἀτύπωτον παντελῶς, ὅσοι δὲ μή, τῷ δακτύλῳ κοιλάναντες οὕτως ἐνέβαλλον τὴν μᾶζαν. μεθ' ὃ εἰ καὶ μίαν κοιλότητα εὗρον ἔχουσαν, ἐξέβαλλον τὸν κρινόμενον τοῦ συσσιτίου· οὐ γὰρ ὡς ἐπὶ τῶν παρ' Ἀθηναίοις ψήφων, ἡ τῶν πλειόνων ἐκράτει. τὸν δ' ἐγκριθέντα ὁ πρεσβύτατος τῶν συσσίτων ἦγεν εἰς τὸν οἶκον, οὗ τὰ συσσίτια, καὶ παρὰ τὴν θύραν ἔνδον ἱστὰς ἔλεγεν "ἀπὸ τῆς θύρας ταύτης λόγος οὐκ ἐξέρχεται," παραγγέλλων ἵν' ἐν ἀπορρήτῳ ἔχοι πάντα τὰ αὐτῶν. ἐκόμιζε δὲ ἕκαστος οἴκοθεν τὰ πρὸς τὸν μῆνα ἀρκέσοντα ἄλφιτα καὶ τυροὺς καὶ φοίνικας καὶ οἶνον. ὅσοι δὲ τούτων ἐν θήρᾳ ἢ θύοντες ἐτύγχανον, μέρη ἐκ τούτων ἔπεμπον τοῖς ἐν τῷ συσσιτίῳ. ἦσαν δὲ χοροὶ τρεῖς παρὰ Λάκωσι, νέων, ἀνδρῶν, πρεσβυτῶν, καὶ ᾖδον οἱ μὲν γέροντες

ἡμεῖς ποτ' ἦμεν ἄλκιμοι νεανίαι,

οἱ δὲ νεανίσκοι

ἡμεῖς δ' ἔνεσμεν (δέ γ' ἐσμὲν ?) ἢν δὲ λῇς, πεῖραν λάβε,

ὁ τῶν παίδων δὲ

ἡμεῖς δέ γ' ἐσσόμεσθα πολλῷ κρείσσονες.

Ἢ τέταρτον] τὰς διαμαστιγώσεις, τὰς γυμνοπαιδίας, τὰ κρύπτεια· ταῦτα γὰρ πρὸς ἀνδρείαν τείνει. *Χρείῃ*] δέοι, ἢ ἀντὶ τοῦ χρεὼν εἴη.

Εἴτε μερῶν] ἡ ἀρετὴ δύναται καὶ ὡς ὅλον εἰς μέρη τὰς ὑπ' αὐτὴν ἀρετὰς διαιρεῖσθαί τε καὶ ἐν αὐταῖς ὑπάρχειν, καὶ ὡς πρός τι πῶς ἐχούσας τὰς κατὰ μέρος, ὡς γένος ἢ καθόλου ὑπάρχειν αὐτῶν. ὡς ὅλον μὲν εἰς μέρη, οὐ τὸ πρὸ τῶν μερῶν (τοῦτο γὰρ ἀδιαίρετον) ἀλλ' ὡς τὰ ἐν τοῖς μέρεσιν· ἐκ γὰρ τῶν κατὰ μέρος ἡ ὁλικὴ ἀρετή. ἀλλὰ καὶ ἑκάστη τῶν ἀρετῶν ὅλον τί ἐστιν, ἀλλ' ὡς τὸ ἐν τῷ μέρει ὅλον. οὐ κωλύεται μὴν καὶ ὡς γένος εἰς εἴδη διαιρεῖσθαι ἀντιδιαιρούμενα μέν, οὐκ ἐναντία δέ, ὅτε καὶ ὡς πρός τι συνεισάγειν ἄλληλα ἐνδέχεται. καὶ γὰρ τὰ ὑπὸ τὴν ἀρετὴν εἴδη, τὸ μὲν ἄρχον, ὡς αἱ τοῦ λογικοῦ μέρους ἀρεταὶ τῆς ψυχῆς, τὰ δ' ἀρχόμενα, ὡς αἱ τοῦ ἀλόγου. ταῦτα δὲ τῶν πρός τι. *Δηλοῦντα μόνον*] οἱ γὰρ Λάκωνες πολυνοίᾳ μέν, οὐ πολυλογίᾳ δέ, ὡς Ἀθηναῖοι, ἐχρῶντο. *Τὸ περὶ τὰς καρτερήσεις*] τὰς διαμαστιγώσεις φησίν. ἐγένοντο δ' αὗται πρὸς τῷ βωμῷ τῆς Ὀρθωσίας Ἀρτέμιδος, τῆς τὴν πολιτείαν ἀνορθούσης. παρειστήκει γὰρ ἡ ταύτης ἱέρεια φέρουσά τι ἐπὶ τῆς χειρὸς κεκρυμμένον, ὃ μέχρι τοῦ νῦν ἄγνωστόν ἐστι. καὶ εἰ μὲν ἧττον τοῦ δέοντος ἐμαστιγοῦτο (κινεῖν γὰρ τὰς χεῖρας οὐκ ἐτόλμα, ἔχων ταύτας ἐπὶ τῆς κεφαλῆς ὁ μαστιζόμενος), ἐβαρεῖτο ἐκείνη ὑπὸ τοῦ φερομένου, δεόντως δὲ τὴν δίκην εἰ ὑπεῖχε, κούφως ἡ ἱέρεια διετίθετο. *Ταῖς χερσὶ μάχαις*] τὰς γυμνοπαιδίας λέγει. γυμνάζοντες γὰρ τοὺς παῖδας ἐν ἡλίῳ τύπτειν ἀλλήλους ἐποίουν μέχρι

νίκης. ἐνίοτε δὲ καὶ σφαῖραν ἢ ἄλλο τι ἐῤῥίπτουν, ὥστε τὸν πρῶτον ἁρπάσαντα νικᾶν. καὶ πολὺς αὐτοῖς οὗτος ὁ ἀγών. Κρύπτειά τις] ἠφίετό τις ἀπὸ τῆς πόλεως νέος ἐφ' ᾧτε μὴ ὀφθῆναι ἐπὶ τοσόνδε χρόνον. ἠναγκάζετο οὖν τὰ ὄρη περιερχόμενος καὶ μήτε καθεύδων ἀδεῶς, ἵνα μὴ ληφθῇ, μήτε ὑπηρέταις χρώμενος μήτε σιτία ἐπιφερόμενος διαζῆν. ἄλλο δὲ καὶ τοῦτο γυμνασίας εἶδος πρὸς πόλεμον· ἀπολύοντες γὰρ ἕκαστον γυμνὸν προσέταττον ἐνιαυτὸν ὅλον ἔξω ἐν τοῖς ὄρεσι πλανᾶσθαι, καὶ τρέφειν ἑαυτὸν διὰ κλοπῆς καὶ τῶν τοιούτων, οὕτω δὲ ὥστε μηδενὶ κατάδηλον γενέσθαι. διὸ καὶ κρύπτεια ὠνόμασται. ἐκολάζοντο γὰρ οἱ ὁπουδήποτε ὀφθέντες.

II.

672. Ἀκταίνειν, γαυριᾶν, ἀτάκτως πηδᾶν, ἢ μετεωρίζειν, ἢ ὁρμᾶν, ἢ ἐξάττειν, ἀπὸ τοῦ ἐξαΐσσειν καὶ ἰσχύειν. ἀπὸ τούτου οὖν τὸ ἀκταινώσῃ.

673. Κολοφῶν σημαίνει τὸ κῦρος τῆς ἐπικρίσεως.

III.

678. Πόρειά ἐστι τὰ εἰς πορείαν χρήσιμα.

681. Αἱμασιώδεις] αἱμασιαὶ τροχοὶ κυρίως ἠκανθωμένοι.

692. Ψάλιον] χαλινόν.

IV.

715. Θεὸν μὲν τὸν δημιουργὸν σαφῶς, παλαιὸν δὲ λόγον λέγει τὸν Ὀρφικόν, ὅς ἐστιν οὗτος

Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.

καὶ ἀρχὴ μὲν οὗτος ὡς ποιητικὸν αἴτιον, τελευτὴ δὲ ὡς τελικόν, μέσσα δὲ ὡς ἐξ ἴσου πᾶσι παρών, κἂν πάντα διαφόρως αὐτοῦ μετέχῃ. εὐθεία δὲ τὸ κατὰ δίκην σημαίνει καὶ ἀξίαν, καὶ ἀπαρεγκλίτως, καὶ οἱονεὶ κανόνι ἑνί. τὸ δὲ περιπορευόμενος τὸ αἰωνίως. τὸ ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτά· ἡ γὰρ περιφορὰ τοῦτο ἔχει ὡς ἐν αἰσθητοῖς.

718. Τὰ τοίνυν δὴ λεχθέντα] τὰ περὶ θυσιῶν καὶ γονέων. Ἀνιδρωτὶ] ἀνιδρωτί, ὡς ἐν τῷ Διογενιανῷ.

723. Δευτέρων ἀμεινόνων] παροιμία λεγομένη μὲν ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, τῶν προτέρων ἀπαισίων ὀφθέντων δηλαδή· μετῆκται δὲ ἐκ τούτων καὶ ἐπὶ τῶν λεγομένων δεύτερον τῶν αὐτῶν, ὁπόταν μὴ κατὰ γνώμην ἡμετέραν προβῇ τὰ πρότερα.

V.

731. Τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν] παροιμία ἐπὶ τῶν διὰ φιλίαν μηδένα λόγον ποιουμένων τἀληθοῦς.

739. Καθάπερ πεττῶν ἀφ' ἱεροῦ] παρὰ παροιμίας φησὶ τῆς κινήσω τὸν ἀφ' ἱερᾶς, ἢ τέτακται ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων. μετείληπται δὲ ἀπὸ τῶν πεττευόντων· παρὰ τούτοις γὰρ κεῖταί τις ψῆφος οἷον ἱερὰ καὶ ἀκίνητος, θεῶν νομιζομένη, ὥς φησι Κλέαρχος ἐν Ἀρκεσίλᾳ.

VI.

775. *Ἐξομοργνύμενον*] ἀποματτόμενον.

777. *Περιδίνων*] πειρατῶν.

780. *Εἰς πῦρ ξαίνειν*] παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων ἢ κακοπαθούντων λεγομένη.

VII.

791. *Ἀκρόχολα*] προχείρως ὀργιζόμενα. καὶ ἀκροχολία ἡ τοιαύτη διάθεσις.

792. *Μάργοις*] ὑβριστικοῖς, ἀκρατέσι, μαινομένοις.

795. *Γηρυόνης Χρυσάορος καὶ Καλλιῤῥόης τῆς Ὠκεανοῦ, βασιλεὺς Ἐρυθείας τῆς νήσου τῆς νῦν Γάδειρα καλουμένης, ὃς εἶχε τριῶν ἀνδρῶν συμφυὲς σῶμα, ἡνωμένον εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον τε εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. Βριάρεω*] *Οὐρανὸς ἐκ Γῆς πρώτους γεννᾷ Κόττον, Βριάρεων, Γύγην, ἑκατόγχειράς τε καὶ πεντήκοντα κεφαλὰς ἔχοντας. Ἀνταῖος ὁ Ποσειδῶνος, Λιβύης βασιλεύς, ὃς τοὺς ξένους ἀναγκάζων παλαίειν αὐτῷ ἀνῄρει. τούτῳ παλαίειν ἀναγκαζόμενος Ἡρακλῆς, ὅτε δὴ πεμφθείη παρ' Εὐρυσθέως τοῦ βασιλέως Τίρυνθος ἐπὶ τῷ παρὰ τῶν Ἑσπερίδων μὲν τὰ χρυσᾶ μῆλα λαβεῖν, κομίσαι δὲ πρὸς αὐτόν, — τοῦτον οὖν ἀράμενος τὸν Ἀνταῖον μετέωρον ἅμμασιν Ἡρακλῆς κλάσας ἀπέκτεινε· ψαύοντα γὰρ τῆς γῆς ἰσχυρὸν συνέβαινε γίγνεσθαι. διὸ καὶ τῆς Γῆς αὐτὸν εἶναί τινες παῖδά φασιν. Κερκύονι*] *τὴν μὲν ἀπὸ χειρῶν πάλην ἐξεῦρε Θησεύς, τὴν δὲ ἀπὸ σκελῶν Κερκύων, Βράγχου καὶ Ἀργιόπης νύμφης. πρὸς τοῦτον τὸ πέμπτον ἆθλον ἐν Ἐλευσῖνι παλαίων διηγωνίσατο Θησεύς. οὗτος γὰρ τοὺς παριόντας ἠνάγκαζε παλαίειν, καὶ παλαίων ἀνῄρει. Θησεὺς δὲ μετέωρον αὐτὸν ἀράμενος ἔῤῥιψεν εἰς γῆν καὶ ἀπέκτεινεν.

796. *Ἐπειὸς Πανοπέως τοῦ Φώκου, ὃς ἐπὶ τῷ Πατρόκλου ἀγῶνι ἐνίκησε πυγμήν. Ἄμυκος δὲ Ποσειδῶνος καὶ νύμφης Βιθυνίδος ἢ Πελίας, ὃς καὶ ἐξεῦρεν ἱμάντας πυκτικούς. Κόρη καὶ δέσποινα*] ἡ Ἀθηνᾶ.

799. *Ὠνόμασαν*] νόμους κιθαρῳδικοὺς λέγοντες δηλονότι.

800. *Ὄτταν*] φήμην, μαντείαν διὰ κληδόνος, καὶ ὀττεύεσθαι τὸ μαντεύεσθαι. *Ἀποφράδες* ἡμέραι, ἐν αἷς τοῖς κατοιχομένοις χοὰς ἐπιφέρουσιν, ἢ αἱ πρὸς πράξεις ἀνεπιτήδειοι. *Καρικῇ Μούσῃ*] τῇ θρηνώδει· δοκοῦσι γὰρ οἱ Κᾶρες θρηνῳδοί τινες εἶναι καὶ ἀλλοτρίους νεκροὺς ἐπὶ μισθῷ θρηνεῖν. τινὲς δὲ ἐξήκουσαν τῇ βαρβάρῳ καὶ ἀσαφεῖ, ἐπειδὴ οἱ Κᾶρες βαρβαρόφωνοι.

805. *Ταλασίας*] ἐργασίας, ἢ ἐριουργίας.

810. *Τητώμενα*] στερισκόμενα. *Ἐχθοδοποῦ*] κακοποιοῦ, ἀπεχθοῦς, ἢ ἐχθροποιοῦ.

811. *Καταλογάδην*] τὰ πεζῷ γραφόμενα λόγῳ.

813. *Πελταστικῆς*] πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει, οὐδ' ἔστιν ἐπίχαλκος, οὐδὲ βοὸς ἀλλ' αἰγὸς δέρματι περιτεταμένη. καὶ ἡ ταύτῃ χρωμένη τέχνη πελταστική, καὶ πελτασταὶ οἱ μετιόντες αὐτήν.

814. *Ἀπώμοτον*] ἀπηγορευμένον, φευκτόν.

818. *Παροιμία*, οὐδὲ θεὸς ἀνάγκῃ μάχεται, τῇ ἑαυτοῦ καὶ θείᾳ δηλαδή.

819. *Ὑηνῶν*] χοιρείων, ἢ σκαιῶν καὶ ἀμαθῶν.

820. *Πεττεία* ἐστὶ παιδιά τις διὰ πεσσῶν γινομένη. πεσσοὶ δέ εἰσι κύβοι, παρὰ τὸ πίπτειν αὐτοὺς οὕτω λεγόμενοι. πεσσὸς δὲ ἥ τε γραμμὴ καὶ ἡ ψῆφος, ὁμωνύμως· Ἀρίσταρχος δὲ πεσσοὺς καλεῖ τὰς ψήφους, ἐν αἷς ἔπαιζον. ἦσαν δὲ αὗται πέντε. φαίνονται δὲ καὶ αὐτὸ τὸ σκεῦος οὕτω λέγοντες, ἐφ' οὗ ἔπαιζον. ἔχει δὲ πέντε γραμμάς, ὧν ἡ μέση γραμμὴ ἱερὰ ἐκαλεῖτο. καὶ τὴν ἐπ' αὐτῆς ψῆφον ἐσχάτην ἐκίνουν, καὶ αὐτὴν ἱερὰν καλοῦντες· ὅθεν ἐκ τοῦδε καὶ παροιμία, κινήσω τὸν ἀφ' ἱερᾶς, ἐπὶ τῶν ἐσχάτην βοήθειαν κινούντων λεγομένη.

822. *Οὐ μὴν*] ἀλλὰ μήν, ὡς ἐπὶ τοῦδε, ἢ οὐδαμῶς, ἢ οὐ μόνον, ἢ ἔτι μήν, ἢ ὅμως δέ.

VIII.

828. *Μηνὶ τῷ δωδεκάτῳ*] ὁ Σκιροφοριὼν οὗτος. ὠνομάσθη δὲ οὕτως ἀπὸ τῆς Σκιράδος Ἀθηνᾶς. καὶ Σκίρος ἑορτὴ Ἀθήνησιν.

834. *Ἀβόλοις*] ἄβολος νέος, οὐδέπω γνώμονα ἔχων. γνώμονα δ' ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον. ἐκ μεταφορᾶς δὲ τῆς ἀπὸ τῶν τετραπόδων καὶ λειπογνώμονας τοὺς ἀπογεγηρακότας, ἐν οἷς ἐλελοίπει τὸ γνώρισμα.

838. *Θυέστης Πελοπίᾳ* τῇ θυγατρί, ἐξ ὧν Αἴγισθος, Οἰδίπους Ἰοκάστῃ τῇ μητρί, ἐξ ὧν Ἐτεοκλῆς καὶ Πολυνείκης, Μακαρεὺς Κανάκῃ τῇ ἀδελφῇ, καὶ οἱ λοιποὶ δὲ Αἰόλου παῖδες ταῖς ἀδελφαῖς.

839. *Σταδιοδρόμοι* γάμων ἀπάντων ἀπείρατοι, α' Ἴκκος Ταραντῖνος, β' Κρίσων Ἱμεραῖος, γ' Ἄστυλλος Κροτωνιάτης, δ' Διόπομπος Θεσσαλός.

843. *Ἀνάδαστον*] ἀναμεμερισμένην.

849. *Τῇ νέᾳ*] ἕνη καὶ νέα· ἡ τριακοστὴ τοῦ μηνὸς ἡμέρα παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο. ἐκλήθη δὲ ἕνη καὶ νέα, ὅτι τὸ μέν τι μέρος ἔχει τοῦ παρῳχημένου μηνός, ὅπερ ἕνη ἐστί· καὶ γὰρ ἕνον τὸ παλαιόν φασι, νέον δὲ τὸ νῦν ἐπιλαβὸν τοῦ εἰσεληλυθότος, ὃ διὰ τοῦ νέα δηλοῦσι. κατὰ γὰρ σελήνην ἦγον τοὺς μῆνας. ὁ δὲ τῆς σελήνης μήν ἐστιν εἰκοσιεννέα τέταρτον ἡμερῶν. *Πιλήσεως*] τῆς διὰ τῆς τῶν ἐρίων πυκνώσεως γινομένης ἐσθῆτος. *Μεταβαλλόμενος*] μεταπιπράσκων. *Τεκμηράμενοι*] σημειωσάμενοι.

850. *Μέτοικοί* εἰσιν οἱ ἐνοικοῦντες ξένοι ἐν τῇ πόλει, καὶ τελοῦντες ἀνὰ δραχμὰς ιβ' τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον, καὶ τριώβολον τῷ γραμματεῖ. μετοίκιόν ἐστι τέλος οὕτω καλούμενον, ὃ ἐτίθεσαν τῇ μὲν πόλει δραχμὰς ι, τῷ δὲ τελώνῃ τριώβολον. *Ἀπογραφή* ἐστιν ἡ ἀπαρίθμησις ἢ ἀποσημείωσις τῶν ὀφειλομένων εἰσφορῶν ἑκάστῳ τῶν πολιτῶν, καὶ ἀπογραφεῖς οἱ ταύτην ποιοῦντες καὶ τοὺς μὴ βουλομένους εἰσφέρειν εἰσάγοντες εἰς τὸ δικαστήριον.

[illegible]

[illegible]

[illegible] Καὶ τὸ [illegible]

[illegible] τοῦ [illegible] ἢ ἐπὶ τοῦ [illegible] ἢ ἐπὶ τοῦ [illegible] ἢ ἐπὶ τοῦ [illegible] τὸ [illegible] τοῦ [illegible], ἢ ἐκ τοῦ [illegible] ἐπὶ τοῦ [illegible]

[illegible]

[illegible] Θεσσαλὸν [illegible]

[illegible] Ὁ [illegible]

[illegible]

[illegible]

[illegible] ἐπὶ τοῦ μὴ [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] Τέγγω] βρέχω, [illegible]

870. 'Υμνεῖν] μέμφεσθαι, ἢ λοιδορεῖν, ὡς ἐπὶ τοῦδε, κατ' εὐφημισμόν. σημαίνει δὲ καὶ τὸ ὀδύρεσθαι.

871. 'Ανεψιότης ἡ μέχρι ἀνεψιαδῶν συγγένεια, οἵ εἰσι παῖδες ἀνεψιῶν. οὗτοι δὲ πάλιν ἀλλήλων λέγονται ἀνεψιοί, οἵ τινες γονεῖς ἔχουσιν ἀδελφούς. 'Ανατὶ] ἀβλαβῶς καὶ ἄνευ τίσεως καὶ τιμωρίας.

'Επισκήπτεσθαί φασι μαρτυρίας ἢ γραμμάτων τὸ ποιήσασθαι διάλυσιν τοῦ ἐγκλήματος τὴν μαρτυρίαν οὗ ἐπισκήπτονται. παραδιδόασι δὲ ταῦτα σημηνάμενοι μέχρι τοῦ χρόνου τῆς δίκης· κατὰ γὰρ τοῦτο χωρεῖ ἡ δίκη. καὶ τὸν τοῦτο ποιοῦντα ἐπισκηπτόμενον λέγουσιν.

873. 'Αφοσιούτω] καθαιρέτω, ὡς νῦν, ἢ ἀπαρχὰς προσαγέτω, ἢ τιμάτω, ἢ τὴν ἐπὶ θανάτῳ ἀποδιδότω τιμήν, ἢ πληροφορείτω. 'Αβίου] ἀβλαβοῦς, ἢ ἄνευ βίας.

874. Νηποινὶ] ἄνευ τιμωρίας καὶ ποινῆς.

X.

885. 'Εξακεῖσθαι] ἐξιᾶσθαι, θεραπεύειν.

887. Συντείνεις] σπουδάζεις, 'Αττικοί. 'Ακούοντές τε καὶ ὁρῶντες] δὶς νοητέον τοῦτο, ἔν τε δηλαδὴ τῇ ἀρχῇ τῆς ἐννοίας καὶ ἐν τῷ συμπεράσματι· καὶ ὑγιῶς ἕξει τὸ νόημα. τὸ δὲ σχῆμα τοῦτο παρά τε ῥήτορσι καὶ φιλοσόφοις πολὺ καὶ πολλαχοῦ.

889. Συνέριθοι] συνεργοί, ὡς νῦν, ἢ συνυφαίνουσαι.

892. 'Εντεῦθεν 'Ωριγένει τὰ περὶ προϋπάρξεως.

893. Τῆς κινήσεως ἡ μὲν σωματικὴ κατὰ τόπον, κατὰ ποιότητα, κατὰ ποσότητα, κατ' οὐσίαν· ἡ δὲ ψυχικὴ ἢ ἄλλο κινοῦσα ὑπ' ἄλλου δὲ κινουμένη, ἢ ἑαυτήν τε κινοῦσα καὶ ἕτερα δυναμένη.

894. 'Υπ' ἄλλου] τοῦ νοῦ δηλαδή· οὗτος γὰρ πάντῃ ἀκίνητος.

899. "Ηκιστά γε] οὐδαμῶς, ἢ οὐχ ἧττον. Λιβάνιος δέ φησιν "εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη μετελθὼν ἐν τῷ βίῳ ὁ ἐπὶ τῇ φιάλῃ ἔμπορος" ἀντὶ τοῦ πάνυ.

900. Μετὸν] ἐξόν, ἢ ἐπ' ἐξουσίας ὄν.

901. 'Ο ποιητὴς] 'Ησίοδος ἐν "Εργοις καὶ 'Ημέραις·

λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώει κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν.

κηφῆνες αἱ ἀργαὶ τῶν μελισσῶν, κόθουροι δὲ αἱ ἄκεντροι καὶ κολόβουροι, ἢ αἱ φυλάττουσαι τὴν τῶν μελισσῶν ἔξοδον· οὗροι γὰρ οἱ φύλακες.

Παραιτητοὺς] παρακαλουμένους, συγγνώμονας, ἢ καὶ παρακαλοῦντας.

906. Λῆμμα] φρόνημα, ὡς νῦν, ἢ κέρδος.

907. Τιμωρεῖν τὸ ἐνεργητικὸν βοηθεῖν, τιμωρεῖσθαι δὲ τὸ παθητικὸν κολάζειν.

XI.

913. Μὴ κινεῖν τὰ ἀκίνητα] παροιμία ἐπὶ τῶν καλῶς δοξάντων ἢ γεγονότων λεγομένη.

914. Ἐνοδίαν δαίμονα τὴν Ἄρτεμιν ἤτοι τὴν Σελήνην φησίν, ἐπεὶ καὶ ὁ Ἀπόλλων Ἀγυιεύς· καὶ γὰρ ἄμφω τὰς ὁδοὺς πληροῦσι φωτός, ὁ μὲν ἡμέρας, ὁ ἥλιος, ἡ δὲ νυκτός. διὸ καὶ ἱδρύουσι τούτους ἐν αὐταῖς. ἀλλὰ καὶ τὸν Ἑρμῆν ἐνόδιον καὶ ἡγεμόνα λέγουσιν, ὡς δέον αὐτῷ πρὸς τὰς πράξεις ἡγεμόνι χρῆσθαι. καὶ τοῦτον δὲ ἐπὶ τῶν ὁδῶν διὰ τοῦτο ἀνεστήλουν.

914. μεθιέτω] παριέτω ἢ ἀφιέτω.

915. Τοῦ τρίτου μεγέθει τιμήματος] τρίτον τίμημα, καθὼς ἐν τῷ πρὸ τούτου παρεθέμεθα, τὸ ζευγήσιον ἦν, εἰς ὃ οἱ τελοῦντες ἀπὸ διακοσίων μέτρων διελέγοντο, ἀνήλισκον δὲ εἰς τὸ δημόσιον ί μνᾶς. Ἔρανός ἐστιν εἰσφορά τις ἑκάστου μηνός, ἢ ἐκ συμβολῆς δεῖπνον, ἢ εὐωχία, ἢ ἀνὰ μέρος δεῖπνον. καὶ ἐρανισταὶ οἵ τε τὴν εἰσφορὰν αὐτὴν εἰσφέροντες καὶ οἱ κοινωνοὶ ταύτης.

916. Πριάμενος] ἀγοράσας. Ἀναγωγή ἐστιν ἡ τῶν πραθέντων ἀνδραπόδων ἀνάδοσις, ἐχόντων αἰτίαν τινά. Ἱερὰν νόσον τὴν ἐπιληψίαν φασίν. Ἐξηγηταὶ τρεῖς γίνονται Πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνισχηθέντας, καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια.

919. Γεωμόροι] γεωργοί.

920. Διαιτηταί εἰσιν ἐν οἷς Ἀθήνησιν εἰσήγοντο αἱ ἰδιωτικαὶ δίκαι· εἰ δέ τινες μὴ ἐπείθοντο τοῖς διαιτηθεῖσιν, αὐτοὶ εἰσῆγον αὐτοὺς εἰς τὸ δικαστήριον καὶ παρὰ τοὺς δικαστάς. ἐγίνοντο δὲ διαιτηταὶ πάντες Ἀθηναῖοι, οἷς ἑξηκοστὸν ἦν ἔτος. τὸν δὲ ἀδικοῦντα διαιτητὴν ἐξῆν εἰσαγγέλλειν· καὶ εἴ τις ἑάλω, ἀτιμία ἦν τὸ ἐπιτίμιον.

921. Προῖκα] ἄνευ μισθοῦ, ὡς νῦν, ἢ φερνήν. Ἐπωβελία ἐστὶν ἐπιτίμιόν τι, τουτέστι τοῖς διώκουσι χρηματικήν τινα δίκην, ἐὰν μὴ ἕλωσιν. ἦν δὲ τοῦτο ἕκτον μέρος τοῦ τιμήματος, οὗ ἐπεδικάζοντο, καὶ ἐνεγράφοντο. καὶ ἐκαλεῖτο οὕτως, ὅτι ἐπὶ τῇ δραχμῇ ὀβολὸς ἦν, τῆς δραχμῆς λογιζομένης πρὸς ἕξ. ἐλάμβανε δὲ ὁ φεύγων παρὰ τοῦ διώκοντος, εἰ τὴν δίκην ἀπέφευγε. μέμνηται δὲ ταύτης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου.

926. Κηδεύματα] γαμικὰ συναλλάγματα.

928. Δίκην λαχεῖν] ἐνστήσασθαι, ὅ ἐστι καὶ λῆξις δίκης.

929. Ἀποῤῥηθῆναι] ἀπαγορευθῆναι.

931. Οἰδίπους ὁ Λαΐου καὶ Ἰοκάστης, μητρογαμήσας δι' ἄγνοιάν τινα, ἐτύφλωσε μέν, ὅτι τοῦτο πράξειεν, ἑαυτόν, ἐλαύνεται δὲ διὰ τὴν ἀθεμιτουργίαν ἐκ Θηβῶν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης οἱ τούτου υἱοί, δυνατοὶ ὄντες, οὐκ ἐπαμύνουσιν ἐλαυνομένῳ αὐτῷ. ὁ δὲ ἀρᾶται αὐτούς. οἱ δὲ περὶ τῆς βασιλείας Θηβῶν ἀλλήλους κτείνουσιν. Φοῖνιξ Ἀμύντορος. οὗτος τυφλοῦται ὑπὸ τοῦ πατρός· κατεψεύσθη γὰρ πρὸς τὸν πατέρα ὑπὸ Φθίας τῆς αὐτοῦ παλλακῆς, ὅτι δὴ πειραθείη πρὸς εὐνὴν αὐτῇ συνελθεῖν. ἰᾶται δὲ ὑπὸ Χείρωνος Πηλέως σπουδῇ. ὁ δὲ Ἀμύντωρ κατεύχεται αὐτοῦ

> μήποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱόν.

ὃ δὴ γέγονε· καὶ γὰρ θεοὶ ἐτέλειον ἐπαράς. Ἱππολύτῳ] Θησεὺς ὁ Αἰγέως καὶ Αἴθρας ἐξ Ἱππολύτης τῆς Ἀμαζόνος γεννᾷ Ἱππόλυτον, μεθ' ἣν Φαίδραν γυναῖκα ἄγεται, ἢ διὰ τὸ κάλλος Ἱππολύτου ἐρᾷ. ὁ δὲ οὐ

πείθεται αὐτῇ σωφρονῶν. ἡ δὲ πρὸς τὸν πατέρα κατεῖπεν αὐτοῦ ὡς μᾶλλον ἐρῶντος αὐτῆς. ὁ δὲ ἀρᾶται τὸν υἱὸν διαφθαρῆναι Ἱππόλυτον, καὶ ἐπιτυγχάνει. οὗτος γὰρ ὀχούμενος ἅρματι, ὑπὸ ταύρου τῶν ἵππων συνταραχθέντων αὐτοῦ, πίπτει τε εἰς γῆν, καὶ ταῖς ἡνίαις ἐμπλακεὶς ἑλκόμενος θνήσκει. Ἀραῖος] βλαβερός.

932. Κωφὴ] ἀσθενής, ἀμβλεῖα, ὡς νῦν, ἢ ἄηχος.

933. Δυσωπουμένους] ὑφορωμένους, ὑπόπτως ἔχοντας.

936. Ἐὰν δ' ἐπαιτιώμενος ὁ δεσπότης] οἶμαι, εἰ δύο συζυγίαι δεσποτῶν καὶ δούλων εἶεν, ἐναλλὰξ δὲ ὁ τῆς ἑτέρας συζυγίας δεσπότης μετὰ τοῦ τῆς ἑτέρας συζυγίας δούλου σύνθοιτο ποιῆσαι τὴν βλάβην εἰς τὸν δοῦλον αὐτοῦ, ἵνα τῆς ἐπὶ ταύτῃ ἀποτίσεως γινομένης ἀποδοθείη οὗτος ὁ δοῦλος τῷ συνθεμένῳ δεσπότῃ μετ' αὐτοῦ ποιῆσαι τὴν βλάβην, καὶ δούλους οὕτως ἔχοι δύο, ἕνα μὲν τὸν βλαβέντα καὶ ἐξ ἀρχῆς, ἕτερον δὲ τὸν βλάψαντά τε τοῦτον καὶ ὕστερον. Κακοτεχνιῶν δίκης ὄνομά ἐστιν, ἣν εἰσῄεσαν οἱ λέγοντες μάρτυρας ψευδομαρτυρεῖν, κατὰ τῶν παρασχομένων τοὺς ψευδομάρτυρας.

937. Ἐπίσκηψίς ἐστι δίκη κατὰ τῶν ψευδομαρτυρησάντων. Ἀνάδικος κρίσις· εἰ ἑάλωσαν ἤτοι πάντες οἱ μάρτυρες ψευδομαρτυριῶν ἢ ὑπερημίσεις, ἐκρίνετο ἄνωθεν ἡ δίκη. οὐκ ἐπὶ πάντων δὲ τῶν ἀγώνων ἐγίγνοντο ἀνάδικοι αἱ κρίσεις, ἀλλ' ὥς φησι Θεόφραστος ἐν ζ' νόμων, ἐπὶ μόνης ξενίας καὶ ψευδομαρτυριῶν καὶ κλήρων.

XII.

942. Ἐπ' αὐτοφώρῳ] ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς. Πίλων] τῶν ἐκ συμπεπιλημένων ἐρίων γινομένων ἐνδυμάτων.

943. Ἀστρατείας δίκη ἐστὶ γραφὴ κατὰ τοῦ κατειλεγμένου μὲν ἐν στρατιωτικῇ τάξει, μὴ στρατευσαμένου δέ. Λειποταξίου δίκη ἐστὶ γραφὴ κατὰ τοῦ στρατευσαμένου μέν, λιπόντος δὲ τὸ στρατόπεδον καὶ τὴν τάξιν αὐτοῦ.

944. Διαφέρει δὲ ὅλον που καὶ τὸ πᾶν] παροιμία ἐπὶ τῶν πάντῃ διαφερόντων λεγομένη, παρ' ὅσον τὸ μὲν ὅλον τοῦ συνεχοῦς ἐστὶ ποσοῦ, τὸ δὲ πᾶν τοῦ διωρισμένου, ταῦτα δὲ εἴδη τοῦ ποσοῦ ἀλλήλοις ἀντιδιαιρούμενα. Καινεὺς ὁ Θετταλὸς Ἄτρακος μὲν ἦν θυγάτηρ τὸ πρίν, Καινὶς ὀνομαζομένη, εἰς ἄνδρα δὲ μετέβαλε Ποσειδῶνος βουλήσει, ἔτι δὲ καὶ τὸ ἀδάμαστος εἶναι καὶ ἄτρωτος. διὸ ἐν τῇ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχῃ αὐτορίζοις δένδρεσι συνεχώσθη ὑπὸ τῶν Κενταύρων. ὑπὸ δέ τινων ἀπαρνεῖσθαι λέγεται. τὴν μεταβολὴν δέ φασι τοῦτον λαβεῖν χάριν τοῦ Ποσειδῶνος ἐρώμενον γενέσθαι.

945. Εὔθυνοί εἰσιν ἄρχοντές τινες οἱ τὰς εὐθύνας λαμβάνοντες παρὰ τῶν ἀρχόντων, ὥσπερ καὶ οἱ λογισταὶ καὶ πάρεδροι ἐφ' ἑκάστῃ ἀρχῇ· καὶ γὰρ τῷ ἄρχοντι εὔθυνος ἦν καὶ πάρεδρος, καὶ τῷ βασιλεῖ ὁμοίως καὶ τῷ πολεμάρχῳ καὶ τοῖς θεσμοθέταις. ἐκπράσσει δὲ ὁ εὔθυνος ὅσα ἐπὶ τῆς ἀρχῆς, ᾗ προστέτακται, ὦφλόν τινες εἰς τὸ δημόσιον. Εὐθύνη ἐστὶ κρίσις κατὰ τῶν ἀρξάντων ἢ πρεσβευσάντων ἤ τι τῶν τῆς πόλεως χειρισάντων ὅλως.

947. *Ἠιθέους*] παῖδας πάντῃ γάμων ἀπειράτους. *Ψαλίδα* ἤτοι καμάραν, ὡς νῦν, ἢ ταχεῖαν κίνησιν, ἢ ὑδρορόην, ἢ ἅρμενον.

949. *Ἐνεχυρασίαν*] ἀσφάλειαν. *Χρηματίζηται*] τοῦτο μὲν τὸ παθητικὸν τὸ χρήματα πράττεσθαι, τὸ δὲ χρηματίζειν τὸ ἐνεργητικὸν τὸ πράγμασι χρῆσθαι, οἷον χρηματίζει ἡ βουλή. ἀφ' οὗ καὶ χρήματα τὰ πράγματα.

950. *Θεωροῖς*] τοῖς εἰς ἑορτάς που πεμπομένοις κοινωνῆσαι αὐτῶν.

951. *Ἀνομίλητος*] ἀκοινώνητος, ἀσυνδύαστος.

953. *Τημελεῖν*] ἐπιμελεῖσθαι. *Πρυτάνεις* εἰσὶ μέρος τι τῶν πεντακοσίων τὸ δέκατον, πεντήκοντα ἄνδρες, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς. πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν, ἤτοι λϛ' ἢ λή ἢ λέ, ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. ιβ' μὲν γὰρ οἱ μῆνες, ι' δὲ εἰσι πρυτανεῖαι, καὶ φυλαὶ ι'. καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ· κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ τῶν ι' φυλῇ ἐπιβάλλειν λέ ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέτταρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λϛ' ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λέ. πρυτανεῖα δὲ οὐδετέρως οὐχ εὕρηται· τινὲς δὲ ἀργύριόν τι, ὃ κατατίθεται ὑπὸ τῶν δικαζομένων, καὶ δίδοται δικαστικὸν τοῖς ἑξακισχιλίοις.

954. *Φωρᾶν*] ἐρευνᾶν, ἐκζητεῖν.

958. *Χοῦν*] χωννύναι.

962. *Τοπάζειν*] στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν, καὶ ὑποτοπεῖν δέ.

968. *Σημείωσαι* ὅτι νυκτερινὸν σύλλογον τὴν Ἐπινομίδα φησίν.

Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους] ἡ παροιμία παρὰ Φερεκράτει ἐν τοῖς Μυρμηκανθρώποις. κεῖται δὲ ἐπὶ τῶν ἀποκινδυνευόντων. τὸ μὲν γὰρ τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν. πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις καὶ οὐχ ὡς νῦν δύο. ἔστι δὲ ὁμωνυμία· κύβον γὰρ ἔλεγον ἰδίως αὐτὸν τὸν ῥιπτούμενον, ὅτε πλήρης ἐστὶ καὶ μή. τοὺς δὲ κύβους τοὺς τοιούτους οἱ Ἴωνες καλοῦσιν οἴνας, καὶ τὴν παροιμίαν οὕτως ἐκφέρουσιν· ἢ τρὶς ἓξ ἢ τρεῖς οἴνας.

969. *Ὕπαρ* ἐστὶ τὸ μέσον ἐγρηγόρσεως καὶ ὕπνου ὁρώμενον.

IN EPINOMIDA.

974. *Παιδικῆς*] οἶμαι, ἱλαρᾶς· ἐξ οὗ καὶ παιδικώτερον τὸ ἱλαρώτερον.

978. *Διαριθμήσεται*] διαλογίσεται.

980. *Προσπαίσαντι*] προσπαίξαντι· ἀντὶ τοῦ ξ̄ τὸ σ̄ οἱ Ἀττικοί.

983. *Ῥύμας*] ὁρμὰς βιαίας.

IN TIMÆUM LOCRUM.


96. *Ζήτει τὰς διαιρέσεις ἐν τῷ τέλει τοῦ τοιούτου λόγου.* Φ, qui eo loco hæc apponit:

α	β	γ	δ	ε	ϛ
	σμγ	πρὸς	ἐπόγδοος	ἡμιόλιος	ἔλαττον
ἐπόγδοος	υλβ	σνϛ	φιβ	φοϛ	χμη
τπδ	μη	υπϛ	κϛ	ξδ	οβ
		νδ			
ζ	η	θ	ι	ια	ιβ
ψκθ	ψξη	ωξδ	ϡοβ	ακδ	αρνβ
πα	λθ	ϙϛ	ρη	νβ	ρκη
ιγ	ιδ	ιε	ιϛ	ιζ	ιη
ασλϛ	αωνη	αφλϛ	αφκη	αϡμδ	βμη
μδ	ρξβ	οη	ρϙβ	σιϛ	ρδ
ιθ	κ	κα	κβ	κγ	κδ
γμζ	βτδ	βψϡβ	βϡιϛ	γοβ	γυνϛ
ρλθ	ριζ	σπη	τκδ	ρνϛ	τπδ
κε	κϛ	κζ	κη	κθ	λ
γωπη	δτοδ	δχη	ερπδ	εφλβ	ϛρμδ
τετράκις	υπϛ	φλδ	φοϛ	χμη	τιβ
πη					
λα	λβ	λγ	λδ	λε	λϛ
ϛφξα	ϛϡιβ	ζψοϛ	ηψμη	θσιϛ	ατξη
υιζ	τνα	ωξδ	ϡοβ	υξη	αρνβ

ἐπίτριτος τοῦ πρώτου ὁ φιβ· ὑπερέχει γὰρ αὐτοῦ τοῖς ρκη, ὑπερέχεται δὲ ὑπὸ τοῦ ὀγδόου τοῖς σνϛ. ἔστι δὲ καὶ ἡμιόλιος τοῦ πρώτου ὁ φιϛ· ὑπερέχει γὰρ αὐτοῦ τοῖς ρϙβ, καὶ αὐτὸς τοσούτοις ὑπερέχεται ὑπὸ τοῦ ψξη. ἐπίτριτος τῷ ὀγδόῳ, ὃς ἦν τῷ πρώτῳ διαστήματι καὶ τῷ τρίτῳ μέσον κατ' ἀριθμητικήν. ὑπερέχει δὲ αὐτῷ σμϛ. ὁ δὲ αὐτὸς ἔσται μέσος τῷ τε ψξη καὶ τῷ αφλϛ. ἡμιόλιος τοῦ ὀγδόου ὁ αρνβ, ὑπερέχει δὲ τπδ. ὁ δὲ αὐτὸς μέσος κατ' ἀριθμητικήν· τοῦ μὲν γὰρ ὑπερέχει, ὑπὸ τοῦ δὲ ὑπερέχεται. τοῦ αφλϛ ἡμιόλιον τοῦ ια, ὅς ἐστιν ἁρμονικὸς τοῦ δευτέρου καὶ τετάρτου διαστήματος. ἐπίτριτος τοῦ αρνβ, ὃς ἦν μέσος κατ' ἀριθμητικὴν δευτέρου καὶ τετάρτου διαστήματος. ὑπερέχει δὲ αὐτοῦ

[illegible] ὁ δ' αὐτὸς [illegible] ἐπιμόριον τοῦ τρίτου καὶ ἑκάστου διαστήματος. τὸ γὰρ ἥμισυ ὑπερέχει τε τοῦ τρίτου καὶ ὑπερέχεται ὑπὸ τοῦ ἑκάστου [illegible], ὁ ἐν τούτῳ, ὑπερέχεται δὲ ὑπὸ τοῦ τρίτου. ἐπόγδοος ὁ [illegible] τοῦ ξ μείζων ἡμιτονίου λέγων ἐστὶ τοῦ η, ἔλαττον δὲ ἐστι τοῦ κ. ἐπεὶ γὰρ [illegible] αὐτὸς ἀπέχει ἀπὸ τοῦ ιζ, ὁ δὲ ιζ ἀπὸ τοῦ η τὸ λεγόμενον ἔλαττον ἡμιτόνιον, τούτῳ τὸ λοιπὸν τοῦ τόνου οὗτος ἀπέχει ἀπὸ τοῦ η. τοῦτο δ' ἦν μεῖζον ἡμιτόνιον ἀφαιρεθέντος ἐλάττονος. πάλιν δ' ἐπεὶ ὁ η τόνον ἀπέχει τοῦ ξ, τὸ δὲ μεῖζον ἡμιτόνιον ὁ ιβ ἀπέχει τοῦ η, τὸ καταλειπόμενον αὐτῷ ἀφέξει τοῦ μ. τοῦτο δ' ἦν ἔλαττον ἡμιτόνιον. ἡμιόλιος ὁ [illegible] τοῦ ς, ἐπόγδοος δὲ τοῦ η. ὁ γὰρ ιθ συμπληροῦται ὡς [illegible] ἐλάττονι καὶ μείζονι ἡμιτονίῳ. ἐπίτριτος δὲ τοῦ ις, ὡς ἦν μὲν ἡμιόλιος τοῦ μέσος δὲ τοῦ γφβ καὶ τοῦ θ. ὑπερέχει γὰρ καὶ ὑπερέχεται.

Ibid. D: Νικολάου: Ἐὰν ὀρθογωνίου τριγώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς, τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθήν, ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας, ἣν ὑποτείνει ἡ μείζων τῶν περιεχουσῶν τὴν ὀρθήν, τριπλασίων δὲ τῆς γωνίας, ἣν ὑποτείνει ἡ ἐλάττων τῶν περιεχουσῶν τὴν ὀρθήν, αὐτὴ δὲ ἡ γωνία, ἣν ὑποτείνει ἡ μείζων, διπλασίων τῆς γωνίας, ἣν ὑποτείνει ἡ ἐλάττων. ἔστω ὀρθογώνιον



τρίγωνον τὸ αβγ, ὀρθὴν ἔχον τὴν πρὸς τῷ α γωνίαν, καὶ ἔστω ἡ αγ δυνάμει τριπλασίων τῆς αβ. λέγω ὅτι ἡ μὲν πρὸς τῷ α γωνία ἡμιόλιός ἐστι τῆς πρὸς τῷ β, τριπλασίων δὲ τῆς πρὸς τῷ γ, ἡ δὲ πρὸς τῷ β τριπλασίων τῆς πρὸς τῷ γ. περιγεγράφθω γὰρ περὶ τὸ αβγ τρίγωνον ὀρθογώνιον τὸ βαγ ἡμικύκλιον. καὶ ἐπεὶ ἡ αγ δυνάμει τριπλασίων ἐστὶ τῆς αβ, αἱ ἄρα αγ αβ δυνάμει τετραπλασίους εἰσὶ τῆς αβ, καὶ ἔστιν ἡ βγ δυνάμει ἴση ταῖς βα αγ, καὶ ἡ βγ ἄρα δυνάμει τετραπλασίων ἐστὶ τῆς αβ. μήκει ἄρα τῆς αὐτῆς διπλασία. ἑξαγώνου ἄρα ἰσοπλεύρου ἐστὶν ἡ αβ, καὶ ἔστιν ἡ βγ διάμετρος, δυναμένη τὰς βα αγ ἑξαγώνου οὔσης τῆς αβ. τριγώνου ἄρα ἰσοπλεύρου ἡ αγ. διπλασίων ἄρα ἡ αγ περιφέρεια τῆς αβ περιφερείας, καὶ ἐπεὶ ἡ βαγ περιφέρεια ὑποδιπλασίων ἐστὶν ὅλης τῆς τοῦ κύκλου περιφερείας, ἡ δὲ τοῦ κύκλου περιφέρεια τριπλασίων ἐστὶ τῆς αγ περιφερείας καὶ ἐξ ὑποδιπλασίου δὲ καὶ τριπλασίου σύγκειται ὁ ἡμιόλιος, ἡ βαγ ἄρα περιφέρεια ἡμιόλιός ἐστι τῆς αγ περιφερείας, καὶ βέβηκεν ἡ μὲν πρὸς τῷ α γωνία ἐπὶ τῆς βαγ περιφερείας, ἡ δὲ πρὸς τῷ β ἐπὶ τῆς αγ. ἐν δὲ τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν ἔχουσι λόγον ταῖς περιφερείαις, ἐφ' ὧν βεβήκασιν. ἡμιόλιος ἄρα ἡ πρὸς τῷ α γωνία τῆς πρὸς τῷ β. διὰ τὰ αὐτὰ δὴ καὶ ἐπεὶ διπλασία δέδεικται ἡ αγ περιφέρεια τῆς αβ περιφερείας, διπλασίων ἄρα καὶ ἡ πρὸς τῷ β γωνία τῆς πρὸς τῷ γ. καὶ ἐπεὶ ἡ πρὸς τῷ α γωνία ἡμιόλιος τῆς πρὸς τῷ β, ἡ δὲ

πρὸς τῷ β διπλασίων τῆς πρὸς τῷ γ, καὶ ἐξ ἡμιολίου δὲ καὶ διπλασίου σύγκειται ὁ τριπλάσιος, καὶ ἡ πρὸς τῷ α ἄρα γωνία τριπλασία τῆς πρὸς τῷ γ. ἐὰν ἄρα ὀρθογωνίου τριγώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς, τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθήν, ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας ἣν ὑποτείνει κ. τ. ἑ. ὅπερ ἔδει δεῖξαι.

IN EPISTOLAS.

II.

314. Ἐντεῦθεν δηλοῦται διὰ τί ὁ Πλάτων ἐν ταῖς βίβλοις αὑτοῦ μηδὲν διαλέγεται. e.

IV.

320. Δίων ὁ Συρακούσιος Ἱππαρίνου μὲν υἱὸς ἦν, ἀνεψιαδοῦς δὲ Διονυσίου τοῦ προτέρου, κατὰ δὲ οἰκειότητα τῆς γυναικὸς αὐτοῦ Ἀριστομάχης ἀδελφός, εὐφυΐᾳ δὲ καὶ μεγαλοψυχίᾳ καὶ φιλοτιμίᾳ διαφέρων τοῦ γενέσθαι τινὸς ἄξιος. Ἱππαρῖνος γὰρ παίδων ὄντων αὐτῷ τῶν περὶ Δίωνα, τριῶν μὲν υἱῶν, τριῶν δὲ θυγατέρων, τελευτῶν τὸν βίον ἐπίτροπον Διονύσιον κατέστησεν οἰκεῖον ὄντα, καὶ τὰς γυναῖκας ἅμα καὶ τὰς κόρας διέθηκε γῆμαι, Ἀριστομάχην μὲν τὴν πρεσβυτάτην αὐτόν, τὰς δὲ λοιπὰς τοῖς ἀδελφοῖς αὐτοῦ δοῦναι, Λεπτίνῃ τε καὶ Θεαρίδῃ. καὶ οὕτω γέγονε τελευτησάσης τῆς Λοκρίδος αὐτοῦ γυναικός, ἐξ ἧς ἐγεγόνει αὐτῷ Διονύσιος ὁ νεώτερος, ὁμώνυμος αὐτῷ υἱός.

VII.

326. Εἰ μὲν τὸ δύναιτο συνυπακουόμενον λήψῃ, ὡς ἀπαρέμφατα προπερισπασθήσονται τό τε μελλῆσαι καὶ τὸ ἠρεμῆσαι· εἰ δὲ καθ' αὑτὰ ταῦτα ἐκδέξῃ, ὡς εὐκτικὰ παροξυνθήσεται.


337. Ἐπιστολὴ] ἐντολή, ἐπίσκηψις. Λυγκέα φασὶ τὸν Ἀφαρέως καὶ Ἀρήνης οὕτω γενέσθαι ὀξυδερκῆ, ὡς καὶ τὰ ὑπὸ γῆν βλέπειν. ἀφ' οὗ καὶ ἡ παροιμία.

345. Ἴττω] ἡ λέξις ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίᾳ διαλέκτῳ, ἐπὶ θαύματος εἰλημμένη, ἧς καὶ ἐν τῷ Φαίδωνι μέμνηται ὑπὸ Κέβητος εἰρημένης. Σκύλλα λέγεται ἡ δι' ἐναντίων ἀνέμων συχνὴ καὶ πολυκύμων τῶν τῆς θαλάττης ῥευμάτων σύμπτωσις, κατ' ἀκρωτήριά τινα ἐπὶ πολὺ διήκοντα τῶν μεγίστων πελαγῶν γιγνομένη φοβερά τε καὶ πολύμορφος, φωνήν τε ἀφιεῖσα οἷα σκυλάκων νεογνῶν (ἐξ οὗ καὶ τοὔνομα εἴληφεν), οἷα γίνεται ἡ περὶ τὸν κατὰ Σικελίαν πορθμόν. Χάρυβδις δὲ ἡ ἀναπινομένη θάλασσα περί τε τὸν εἰρημένον πορθμὸν καὶ περὶ τὰ Γάδειρα, καὶ πάλιν ῥαγδαίως ἐπαναστρέφουσα· ἢ τῆς ἡμέρας τρὶς συσπῶσα τὸ ὕδωρ πάλιν ἀνήει. εἴρηται δὲ παρὰ τὸ εἰς χάος ῥοιβδεῖν, ὅ ἐστιν ἀναῤῥοφεῖν. Ἀναμετρήσαιμι] διαπεράσαιμι.

347. Χρείη] δέοι.

φοτ. ὁ δ' αὐτὸς μέσος καθ' ἁρμονικὴν τοῦ τρίτου καὶ ἐνάτου διαστήματος. τῷ γὰρ ἡμίσει ὑπερέχει τε τοῦ τρίτου καὶ ὑπερέχεται ὑπὸ τοῦ ἐνάτου· ὑπερέχει μὲν φοτ, ὃ ἦν τρίτου, ὑπερέχεται δὲ ὑπὸ τοῦ τρίτου. ἐπόγδοος ὁ βρπζ τοῦ ιζ μεῖζον ἡμιτόνου διέχων ἀπὸ τοῦ ιη, ἔλαττον δὲ ἀπὸ τοῦ κ. ἐπεὶ γὰρ τόνον μὲν αὐτὸς ἀπέχει ἀπὸ τοῦ ιζ, ὁ δὲ ιζ ἀπὸ τοῦ ιη τὸ λεγόμενον ἔλαττον ἡμίτονον, πάντως τὸ λοιπὸν τοῦ τόνου οὗτος ἀπέχει ἀπὸ τοῦ ιη. τοῦτο δ' ἦν μεῖζον ἡμιτόνιον ἀφαιρεθέντος ἐλάττονος. πάλιν δ' ἐπεὶ ὁ ιη τόνον ἀπέχει τοῦ ιζ, τὸ δὲ μεῖζον ἡμιτόνιον ὁ ιβ ἀπέχει τοῦ ιη, τὸ καταλειπόμενον αἴτημα ἐφέξει τοῦ ιι. τοῦτο δ' ἦν ἔλαττον ἡμιτόνιον. ἡμιόλιον ὁ βτδ τοῦ ιϛ, ἐπόγδοος δὲ τοῦ ιη. ὁ γὰρ ιθ συμπληροῦται ὡς δέδεικται ἐλάττονι καὶ μείζονι ἡμιτονίῳ ἐπίτριτος δὲ τοῦ ιϛ, ὃς ἦν μὲν ἡμιόλιος τοῦ μέσος δὲ τοῦ γοβ καὶ τοῦ θ· ὑπερέχει γὰρ καὶ ὑπερέχεται.

Ibid. D: Νικολάου: Ἐὰν ὀρθογωνίου τριγώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς, τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθήν, ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας, ἣν ὑποτείνει ἡ μείζων τῶν περιεχουσῶν τὴν ὀρθήν, τριπλασίων δὲ τῆς γωνίας, ἣν ὑποτείνει ἡ ἐλάττων τῶν περιεχουσῶν τὴν ὀρθήν, αὐτὴ δὲ ἡ γωνία, ἣν ὑποτείνει ἡ μείζων, διπλασίων τῆς γωνίας, ἣν ὑποτείνει ἡ ἐλάττων. ἔστω ὀρθογώνιον τρίγωνον τὸ αβγ,



ὀρθὴν ἔχον τὴν πρὸς τῷ α γωνίαν, καὶ ἔστω ἡ αγ δυνάμει τριπλασίων τῆς αβ. λέγω ὅτι ἡ μὲν πρὸς τῷ α γωνία ἡμιόλιός ἐστι τῆς πρὸς τῷ β, τριπλασίων δὲ τῆς πρὸς τῷ γ, ἡ δὲ πρὸς τῷ β τριπλασίων τῆς πρὸς τῷ γ. περιγεγράφθω γὰρ περὶ τὸ αβγ τρίγωνον ὀρθογώνιον τὸ βαγ ἡμικύκλιον. καὶ ἐπεὶ ἡ αγ δυνάμει τριπλασίων ἐστὶ τῆς αβ, αἱ ἄρα αγ αβ δυνάμει τετραπλασίους εἰσὶ τῆς αβ, καὶ ἔστιν ἡ βγ δυνάμει ἴση ταῖς βα αγ, καὶ ἡ βγ ἄρα δυνάμει τετραπλασίων ἐστὶ τῆς αβ. μήκει ἄρα τῆς αὐτῆς διπλασία. ἑξαγώνου ἄρα ἰσοπλεύρου ἐστὶν ἡ αβ, καὶ ἔστιν ἡ βγ διάμετρος, δυναμένη τὰς βα αγ ἑξαγώνου οὔσης τῆς αβ. τριγώνου ἄρα ἰσοπλεύρου ἡ αγ. διπλασίων ἄρα ἡ αγ περιφέρεια τῆς αβ περιφερείας, καὶ ἐπεὶ ἡ βαγ περιφέρεια ὑποδιπλασίων ἐστὶν ὅλης τῆς τοῦ κύκλου περιφερείας, ἡ δὲ τοῦ κύκλου περιφέρεια τριπλασίων ἐστὶ τῆς αγ περιφερείας καὶ ἐξ ὑποδιπλασίου δὲ καὶ τριπλασίου σύγκειται ὁ ἡμιόλιος, ἡ βαγ ἄρα περιφέρεια ἡμιόλιός ἐστι τῆς αγ περιφερείας, καὶ βέβηκεν ἡ μὲν πρὸς τῷ α γωνία ἐπὶ τῆς βαγ περιφερείας, ἡ δὲ πρὸς τῷ β ἐπὶ τῆς αγ. ἐν δὲ τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν ἔχουσι λόγον ταῖς περιφερείαις, ἐφ' ὧν βεβήκασιν. ἡμιόλιος ἄρα ἡ πρὸς τῷ α γωνία τῆς πρὸς τῷ β. διὰ τὰ αὐτὰ δὴ καὶ ἐπεὶ διπλασία δέδεικται ἡ αγ περιφέρεια τῆς αβ περιφερείας, διπλασίων ἄρα καὶ ἡ πρὸς τῷ β γωνία τῆς πρὸς τῷ γ. καὶ ἐπεὶ ἡ πρὸς τῷ α γωνία ἡμιόλιος τῆς πρὸς τῷ β, ἡ δὲ

πρὸς τῷ β διπλασίων τῆς πρὸς τῷ γ, καὶ ἐξ ἡμιολίου δὲ καὶ διπλασίου σύγκειται ὁ τριπλάσιος, καὶ ἡ πρὸς τῷ α ἄρα γωνία τριπλασία τῆς πρὸς τῷ γ. ἐὰν ἄρα ὀρθογωνίου τριγώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς, τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθήν, ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας ἣν ὑποτείνει κ. τ. ἑ. ὅπερ ἔδει δεῖξαι.

IN EPISTOLAS.

II.

314. Ἐντεῦθεν δηλοῦται διὰ τί ὁ Πλάτων ἐν ταῖς βίβλοις αὐτοῦ μηδὲν διαλέγεται. e.

IV.

320. Δίων ὁ Συρακούσιος Ἱππαρίνου μὲν υἱὸς ἦν, ἀνεψιαδοῦς δὲ Διονυσίου τοῦ προτέρου, κατὰ δὲ οἰκειότητα τῆς γυναικὸς αὐτοῦ Ἀριστομάχης ἀδελφός, εὐφυΐᾳ δὲ καὶ μεγαλοψυχίᾳ καὶ φιλοτιμίᾳ διαφέρων τοῦ γενέσθαι τινὸς ἄξιος. Ἱππαρῖνος γὰρ παίδων ὄντων αὐτῷ τῶν περὶ Δίωνα, τριῶν μὲν υἱῶν, τριῶν δὲ θυγατέρων, τελευτῶν τὸν βίον ἐπίτροπον Διονύσιον κατέστησεν οἰκεῖον ὄντα, καὶ τὰς γυναῖκας ἅμα καὶ τὰς κόρας διέθηκε γῆμαι, Ἀριστομάχην μὲν τὴν πρεσβυτάτην αὐτόν, τὰς δὲ λοιπὰς τοῖς ἀδελφοῖς αὐτοῦ δοῦναι, Λεπτίνῃ τε καὶ Θεαρίδῃ. καὶ οὕτω γέγονε τελευτησάσης τῆς Λοκρίδος αὐτοῦ γυναικός, ἐξ ἧς ἐγεγόνει αὐτῷ Διονύσιος ὁ νεώτερος, ὁμώνυμος αὐτῷ υἱός.

VII.

326. Εἰ μὲν τὸ δύναιτο συνυπακουόμενον λήψῃ, ὡς ἀπαρέμφατα προπερισπασθήσονται τό τε μελλῆσαι καὶ τὸ ἠρεμῆσαι· εἰ δὲ καθ' αὑτὰ ταῦτα ἐκδέξῃ, ὡς εὐκτικὰ παροξυνθήσεται.

337. Ἐπιστολή] ἐντολή, ἐπίσκηψις. Λυγκέα φασὶ τὸν Ἀφαρέως καὶ Ἀρήνης οὕτω γενέσθαι ὀξυδερκῆ, ὡς καὶ τὰ ὑπὸ γῆν βλέπειν. ἀφ' οὗ καὶ ἡ παροιμία.

345. Ἴττω] ἡ λέξις ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίᾳ διαλέκτῳ, ἐπὶ θαύματος εἰλημμένη, ἧς καὶ ἐν τῷ Φαίδωνι μέμνηται ὑπὸ Κέβητος εἰρημένης. Σκύλλα λέγεται ἡ δι' ἐναντίων ἀνέμων συχνὴ καὶ πολυκύμων τῶν τῆς θαλάττης ῥευμάτων σύμπτωσις, κατ' ἀκρωτήριά τινα ἐπὶ πολὺ διήκοντα τῶν μεγίστων πελαγῶν γιγνομένη φοβερά τε καὶ πολύμορφος, φωνήν τε ἀφιεῖσα οἷα σκυλάκων νεογνῶν (ἐξ οὗ καὶ τοὔνομα εἴληφεν), οἷα γίνεται ἡ περὶ τὸν κατὰ Σικελίαν πορθμόν. Χάρυβδις δὲ ἡ ἀναπινομένη θάλασσα περί τε τὸν εἰρημένον πορθμὸν καὶ περὶ τὰ Γάδειρα, καὶ πάλιν ῥαγδαίως ἐπαναστρέφουσα· ἢ τῆς ἡμέρας τρὶς συσπῶσα τὸ ὕδωρ πάλιν ἀνίησι. εἴρηται δὲ παρὰ τὸ εἰς χάος ῥοιβδεῖν, ὅ ἐστιν ἀναῤῥοφεῖν. Ἀναμετρήσαιμι] διαπεράσαιμι.

347. Χρείη] δέοι.

VIII.

353. Φοίνικες ἀπὸ Φοινίκης τῆς χώρας· αὕτη δὲ ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος καὶ Μερόπης τῆς Νείλου. Ὀπικοὶ δὲ ἔθνος Ἰταλίας. Τέμνειν φάρμακον] πείθειν, τιμᾶν, ἡγεῖσθαι, ὡς οἶμαι, νῦν.

XIII.

361. Μύρτα] ὁ καρπὸς τῆς μυρσίνης.

363. Ἀμοργὶς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα ἢ ἀμοργίδια λεγόμενα· οἱ δὲ τὰ παραπλήσια βύσσῳ. ἔστι δὲ ἀμοργὶς καὶ ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου. Βασιλέως] τῶν Περσῶν δηλαδή.

IN AXIOCHUM.

364. Τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ Κυνόσαργες καλούμενος, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνομάσθη δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος· καὶ γὰρ Ἡρακλεῖ θύοντας κύνα τοιοῦτον ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεοὺς τοῦ Ἡρακλέους ἱδρῦσαι ἱερὸν λαβεῖν χρησμὸν ἐν ἐκείνῳ τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν Διὸς υἱός (Ἀμφιτρύωνος γὰρ γνήσιος ἦν) ἴσα θεοῖς ἐτιμήθη. λαμβάνεται δὲ καὶ εἰς παροιμίαν ἐπὶ ὕβρει καὶ ἀρᾷ, οἷον ἴθ' εἰς Κυνόσαργες.

Καλλιῤῥόη κρήνη ἐν τῇ Ἀττικῇ. Μορμολυττομένους] μορμολυκεῖά φασι τὰ τῶν ὑποκριτῶν πρόσωπα, ἃ Δωριεῖς γόργεια καλοῦσιν. ἐντεῦθεν καὶ τὸ ἐκφοβῆσαι μορμολύξασθαι καὶ μορμολυττομένους τοὺς ἐκφοβοῦντας λέγουσιν. Ἐπιτωθάζων] ἐπιλοιδορούμενος, ἢ ἐπεμβαίνων, ἢ χλευάζων ὡς νῦν, ἢ καυχώμενος.

365. Συνειλεγμένον τὰς ἀφὰς] συνηγμένον τὰς πληγάς. Μονονουχὶ] σχεδόν, ἐγγύς. Εὐλαί εἰσιν οἱ ἐν τοῖς τραύμασιν ἐγγινόμενοι σκώληκες, κνώδαλα δὲ κυρίως τὰ θαλάττια θηρία· κινώδαλα γάρ ἐστι τὰ ἐν τῇ ἁλὶ κινούμενα. Ὅμηρος δὲ καὶ ἐπὶ χερσαίου φησὶ

κνώδαλον ὅττι φύγησι, καὶ ἴχνεσσιν γὰρ ὀπήδει.

πλὴν κνώδαλον μικρὸν ζῶον τὸ θαλάττιον καὶ τὸ χερσαῖον.

366. Ὀριγνωμένη] ὀρεγομένη. Παρὰ ἀκαρῆ] ἀντὶ τοῦ παρὰ βραχύ, παρὰ ὀξύ, ὃ οὐχ οἷόν τε κεῖραι. Δὶς παῖδες οἱ γέροντες] ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων.

368. Ποππυσθείη] κολακευθείη, ἐκ μεταφορᾶς τῶν ἐπὶ τοῖς ἵπποις ποππυσμάτων ἐν τῷ δαμάζεσθαι. Ἐγκαθέτους] ἐνεδρευτάς, δολίους, κατασκόπους. Κατεχειροτόνησαν] κατεψηφίσαντο. ἡ καταχειροτονία ἐγίγνετο οὕτως. ἔλεγεν ὁ κῆρυξ, οἷον "ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα." εἶτα οἱ θέλοντες ἐξέτεινον τὰς χεῖρας, καὶ ἐκαλεῖτο τοῦτο πρῶτον καταχειροτονία. εἶτα πάλιν δεύτερον ἔλεγεν ὁ αὐτὸς κῆρυξ "ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα," καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο ἀποχειροτονία. καὶ λοιπὸν ἠρίθμει πάσας τὰς χεῖ-

ρας ὁ κῆρυξ, τῶν τε προτέρων καὶ καταχειροτονούντων, τῶν τε ὑστέρων καὶ ἀποχειροτονούντων. καὶ ὅσων ἂν ἦσαν πλείους, ἐκείνων καὶ ἡ γνώμη ἐκράτει.

369. Συγκλύδωνος] ἐπιμίκτου, ἐπηλύτου. Καθικέσθαι] καθάψασθαι.

371. Οἱ δύο θεοὶ] Ἀπόλλων καὶ Ἄρτεμις. Ἁγιστείας] ἁγιωσύνας, καθαρότητας, λατρείας. Γεννήτῃ] Ἀριστοτέλης φησί, τοῦ ὅλου πλήθους διῃρημένου Ἀθήνησιν εἴς τε τοὺς γεωργοὺς καὶ τοὺς δημιουργούς, φυλὰς αὐτῶν εἶναι τέσσαρας, τῶν δὲ φυλῶν ἑκάστης μοίρας εἶναι τρεῖς, ἃς τριττύας τε καλοῦσι καὶ φρατρίας, ἑκάστης δὲ τούτων τριάκοντα εἶναι γένη, τὸ δὲ γένος ἐκ τριάκοντα ἕκαστον ἀνδρῶν συνεστάναι. τούτους δὴ τοὺς εἰς τὰ γένη τεταγμένους γεννήτας καλοῦσιν.

372. Ἐλευσινίας] Δήμητρος, διὰ τῶν αὐτῆς τελετῶν. Ἐναύσασθαι] μεταλαβεῖν.

IN DIALOGUM DE JUSTO.

374. Παροιμία, ὅτι πολλὰ ψεύδονται ἀοιδοί, ἐπὶ τῶν κέρδους ἕνεκα καὶ ψυχαγωγίας ψευδῆ λεγόντων. φασὶ γὰρ τοὺς ποιητὰς πάλαι λέγοντας τἀληθῆ, ἄθλων ὕστερον αὐτοῖς ἐν τοῖς ἀγῶσι τιθεμένων ψευδῆ καὶ πεπλασμένα λέγειν αἱρεῖσθαι, ἵνα διὰ τούτων ψυχαγωγοῦντες τοὺς ἀκροωμένους τῶν ἄθλων τυγχάνωσιν. ἐμνήσθη ταύτης καὶ Φιλόχορος ἐν Ἀτθίδος ά καὶ Σόλων Ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα.

IN SISYPHUM.

387. Φάρσαλος πόλις Θεσσαλίας, ἧς οἱ πολῖται Φαρσάλιοι. ἐκ ταύτης φασὶν Ἀχιλλέα τὸν Θέτιδος γενέσθαι. Ἦ] ἀντὶ τοῦ ἆρα ἀπορηματικοῦ.

389. Μεταρσιολέσχας] διαφέρει μετέωρα μεταρσίων, ᾗ τὰ μὲν μετέωρα ἐν οὐρανῷ καὶ αἰθέρι ἐστίν, ὡς ἥλιος καὶ τὰ λοιπὰ καὶ οὐρανὸς καὶ αἰθήρ, μετάρσια δὲ τὰ μεταξὺ τοῦ αἰθέρος καὶ γῆς ἐν ἀέρι συνιστάμενα, ὡς ἄνεμοι, νεφέλαι, ὄμβροι, ἀστραπαί, βρονταί, κομῆται, δοκίδες, πώγωνες, λαμπάδες, ἴριδες, ἅλωες, διάττοντες, ῥυμοί, ῥύακες καὶ τὰ τοιαῦτα. Πάντα κάλων ἐφέντες] ἐπιτείναντες ἢ κινήσαντες ἢ σείσαντες. παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ σχοινία ἢ τὰ ἅρμενα χαλώντων ναυτῶν.

390. Αὐτοσχεδιάζοντες] αὐτομάτως ἢ συντόμως τι ποιοῦντες.

IN ERYXIAM.

392. Διὸς ἐλευθερίου] τὸν Μῆδον ἐκφυγόντες Ἀθηναῖοι ἱδρύσαντο τὸν

ἐλευθέριον Δία. τοῦτον δὲ ἔνιοι καὶ σωτῆρά φασιν. τιμᾶται δὲ ἐλευθέριος Ζεὺς καὶ ἐν Συρακούσαις καὶ Ταραντίνοις καὶ Πλαταιαῖς καὶ Καρίᾳ. Μέγαρα πόλις περὶ τὸν Ἰσθμόν, ἀνὰ μέσον Πελοποννήσου καὶ τῆς Ἀττικῆς καὶ Βοιωτίας. καὶ πόλις ὁμώνυμος ταύτῃ ἐν Σικελίᾳ, περὶ ἧς νῦν φησίν.

397. Κεῖος] ὁ ἀπὸ τῆς Κέω. ἔστι δὲ Κίος πόλις Μυσίας, ἐξ ἧς οὗτος.

400. Ἐρατοσθένης σίσυράν φησι στέγαστρον ἐξ αἰγείων δερμάτων τετριχωμένων, σίσυρναν δὲ τὸ ἐκ τῶν κῳδίων ῥαπτόμενον ἀμπεχόνιον, ὃ γούνναν φασίν.[1]

405. Λίθον ἑψῆσαι] παροιμία ἐπὶ τῶν ἐπιχειρούντων ἀδυνάτοις.

[1] Cf. Bernhard. Eratosthenic. p. 222.

INDEX IN SCHOLIA.

Prior numerus, hujus Editionis, posterior Stephani, paginam indicat.

PLURIMUM REVERENDO ATQUE ERUDITISSIMO VIRO,

HENRICO GALLY,

S. T. P.

CANONICO NORWICENSI ET GLOCESTRIENSI, RECTORI SANCTI ÆGIDII IN CAMPIS, MAGNÆ BRITANNIÆ REGI A SACRIS, ETC.

S. P. D.

DAVID RUHNKENIUS.

QUADRIENNIUM prope est, cum Joannem Albertum, V. C. tum gravi morbo misere afflictum, pro artissima, quæ mihi cum eo intercedit, necessitudine ad Fontes Spadanos comitabar. Cujus itineris duplicem uberrimumque fructum me cepisse, non mediocri cum voluptate recordor. Nam primum, quid jucundius mihi magisque exoptatum esse poterat, quam carissimum Musis animoque meo hominem corporis vires, quas vis morbi fregerat et debilitarat, salutarium aquarum usu recuperasse? Tum, quanta in felicitatis parte me ponere existimas, per hanc occasionem auspicato notitiam inter nos esse contractam? Profecto nunquam ille dies memoria excidet mea, cum casu et fortuitu in Te incidens, ignotus in ignotum, nescio quem de literis nostris sermonem inferrem; tuque statim oculis, vultu, oratione eum laudatarum artium amorem ac scientiam proderes, nihil ut tam ardenter cuperem, quam ad intimam Tuam, si fieri posset, consuetudinem et familiaritatem admitti. Ac facilem mihi aditum reddidit sive promta humanitas Tua, sive morum studiorumque similitudo. Ex eo tempore nullus temere dies præteriit, quin, quoad licuit, in amœnissimis ad fontem Geronsteram ambulacris de divinis humanisque literis sermones inter nos haberemus. Hic in Te cognovi admirabilem quandam doctrinæ de Græcis Latinisque fontibus ductæ copiam, eandemque cum acerrimo omnis elegantiæ sensu conjunctam. Quod meum

de Te judicium alter congressus noster, cum superiore anno Bataviam visebas, plane confirmavit. Jam quid dicam de singulari, quo flagras, bene de literis merendi studio, in quo Tibi comparare possum perpaucos, anteponere neminem? Non est, quod hujus rei argumenta repetam altius. Vel hunc Timæum testem cito, quem, nullo merito meo provocatus, cum Parisiis ageres, ex bibliothecarum latebris protractum, et quam fieri poterat accuratissime descriptum, mihi edendum concessisti. Ac tantum abest, ut aut studium literas juvandi Tuum, aut erga me liberalitatem intra hos fines continueris, ut subinde alias veteris ævi reliquias, cum ex Tua, tum ex publicis Angliæ bibliothecis depromptas, non mihi tantum, sed amicis etiam meis, earumdem literarum amore captis, prolixe suppeditaris. Plurimum quidem ornamenti Tibi aliquando debebunt Herodotus, Orpheus, Phalaris, aliique. Ego vero cum nihil aliud habeam, quo tot tam luculenta, in me collata, beneficia remunerer, Tuum Tibi remitto Timæum, a me, ut facultas tulit, expolitum. Hunc igitur explicata fronte, velim, accipias, Tibique persuadeas, neminem esse, vel unquam fore, qui liberalitatem Tuam aut gratiore animo prosequatur, aut libentius crebriusque dilaudet. Vale. Dab. Lugduni Batavorum, Kalendis Maii, MDCCLIV.

PRÆFATIO.

ÆQUO ATQUE ERUDITO

LECTORI.

Constat inter omnes bene dicendi magistros, Platonem, pro tali ingenii magnitudine, non tenue, et de medio sumtum, sed grande et magnificum dicendi genus esse secutum. Nec inter ipsos Veteres defuerunt, quibus hoc nomine poëtæ, quam prosæ orationis scriptori, similior videretur. Quinctilianus x. 1. p. 501. ‘ Plato præcipuus est eloquendi facultate divina quadam et Homerica. Multum supra prosam orationem surgit.’ Gravitatem vero et tanquam auctoritatem scriptis suis conciliabat verbis antiquis, et a vulgi familiaritate sejunctis. Vide Dionys. Halic. de Compos. p. 28. Quæ *γλῶσσαι* vel *λέξεις*, ut a veteribus Criticis appellantur, cum ipsis Græcis, florente quidem adhuc lingua, veruntamen aliquantum mutata, obscuritate sua molestæ essent, Grammatici operæ pretium se facturos existimarunt, si illis sigillatim interpretandis Platonis lectionem faciliorem redderent. In quo genere non quidem Plutarchus, ut, re parum explorata, scribit J. Potterus ad Clem. Alex. Strom. v. p. 680. sed aliorum elaboravit industria. Primus, quod sciam, Platonis studiosis tale præsidium paravit Harpocration, Argivus, Cæsaris familiaris, quem, Suidas narrat, *Λέξεις Πλάτωνος ἐν βιβλίοις δυσὶν* edidisse. Ex eodem Suida v. *Ζάλην*, v. *Ἥρας δὲ δ.* v. *Παλίμβολος*, et Etymol. M. p. 407. 37. intelligere licet, in iisdem Platonicis glossis illustrandis Clementem versatum esse: qui, teste Suida v. *Κλήμης*, etiam scripsit *πρὸς Ἱερώνυμον περὶ τῶν Ἰσοκρατικῶν σχημάτων*, diversus, mea sententia, a Romanæ historiæ scriptore homonymo, etsi Suidas utrum-

que confudit. Majore apparatu videtur eandem rem egisse Boëthus, cujus duplex huc pertinens scriptum recenset Photius Biblioth. Cod. cliv. Ἀνεγνώσθη ἐν τῷ αὐτῷ τεύχει, καὶ Βοηθοῦ λέξεων Πλατωνικῶν συναγωγὴ κατὰ στοιχεῖον, πολλῷ Τιμαίου συναγωγῆς χρησιμώτερον· προσφωνεῖ δὲ Μελάντᾳ τινὶ τὸ συνταγμάτιον. De altero scripto idem Cod. clv. Συνετάγη δὲ αὐτῷ (Βοηθῷ) καὶ ἕτερόν τι Ἀθηναγόρᾳ προσφωνούμενον σπουδασμάτιον, ὃ περὶ τῶν παρὰ Πλάτωνι ἀπορουμένων λέξεων ἐπιγράφει· ὧν εἴ τις τὰς λέξεις εἰς ἓν συναγάγοι, συνεντάσσων καὶ τὰς συνηγμένας Τιμαίῳ, ἀπηρτισμένην παράσχοι τὴν ὠφέλειαν τοῖς τὰ Πλάτωνος ἀναγινώσκειν ἐθέλουσιν. Vide Menag. ad Diog. Laërt. iii. 63. et Fabric. Biblioth. Græc. l. iv. c. 36. p. 582. At enim, cum et Harpocrationis, et Clementis, et Boëthi libri communi literarum naufragio perierint, nihil aliud superest, nisi ut hanc bonis literis tam gravem jacturam, si minus totam, certe ex aliqua parte, Timæi Lexico resarciamus. Hoc opusculum Photius Cod. cli. ita describit: Τιμαίου Λεξικὸν περὶ τῶν παρὰ Πλάτωνι λέξεων. Ἀνεγνώσθη Τιμαίου πρὸς Γεντιανὸν περὶ τῶν παρὰ Πλάτωνι λέξεων κατὰ στοιχεῖον βραχὺ πονημάτιον ἐν ἑνὶ λόγῳ. Ipsius Timæi memoria non minus obscura est, quam Gentiani, cui libellum inscripsit. Nec ullum, ne tenue quidem, vestigium, ex quo, qua ætate vixerit, conjecturam capias, ejus Lexico impressum reperitur. Jo. Meursius ad Nicomach. Harmon. p. 169. Lexici auctorem esse credit Timæum, Locrum, philosophum Pythagoricum, cujus extat libellus περὶ φύσεως. Quod commentum quoniam absurdius est, quam ut refutari debeat, verbo satis sit indicare. Non melior est ratio Jo. Jonsii de Scriptor. Hist. Philos. i. 6. idem opusculum Timæo, Cyziceno, Platonis discipulo, quem Demochares apud Athen. xi. p. 509. A. commemorat, tribuentis. Audierit iste Platonem. Num iccirco libros scripsit, aut Platonis glossas explicuit? Tali Grammaticorum præsidio non illa ætas, sed multo posterior, cum lingua Attica minus celebrari cœpisset, indigebat. At, dicat aliquis, quid in ætate Timæi quærenda laboras, cum ipse, v. Οὐχ ἥκιστα, Porphyrium laudans, se ostendat post Porphyrium vixisse? Ego vero vellem, tam certis argumentis ejus ætatem constituere possem, quam illum locum manifestæ νοθείας coarguere. Primum Timæus, pro suo brevitatis studio, parcissime aliorum utitur testimoniis, nec nisi in reconditioris significationis verbis, e. g. Σισύρα et Σφριγῶντες. Atqui quam ineptum et ridiculum fuisset, ad formulam οὐχ ἥκιστα probandam, cujus viginti et septem exempla in Platone reperiuntur, alium potius, ac Platonem ipsum, adhibere auctorem? Sed fac, eum in

re tam levi alterius etiam scriptoris auctoritate uti voluisse, laudassetne, aliorum more Grammaticorum, Thucydidem, Xenophontem, Demosthenem, horumque similes? At laudatur Porphyrius. Qui tandem scriptor? Nempe is, cui rerum abstrusarum scientiam tribuunt omnes, scribendi elegantiam nemo. Nec quisquam unus, si Suidæ et Thomæ M. stuporem exceperis, Atticas formulas Porphyrii, similiumque scriptorum auctoritate unquam probavit. Ergo relinquitur, ut Porphyrii locum, sicut plures alios aliorum, ab inepta manu in Timæi Lexicon intrusum esse statuamus. Etsi vero sic satis demonstravimus, Timæum nullam Porphyrii fecisse mentionem, neque adeo quicquam ex ista temporis nota effici posse, suspicamur tamen, illum eodem, quo Porphyrium, seculo, id est, tertio floruisse. Hæc enim ætas, Sophistarum feracissima, præter Porphyrium, tulit Longinum, Plotinum, Boëthum, Iamblichum, multosque alios, omnes studio Platonis incensos, ejusque philosophiam et scriptis et ore propagantes. Horum igitur exemplo Timæus excitatus, tentavit et ipse difficultatem, quæ ex glossis in Platone intelligendo nasceretur, quantum in se esset, edito hoc libello minuere. Præter Λέξεις Πλάτωνος Timæus alterum etiam grandioris molis librum scripsisse videtur, Συλλογὴν ῥητορικῶν ἀφορμῶν, βιβλία ξη΄. Quem quidem Suidas tribuit Timæo, Tauromenitæ, Historiarum scriptori nobilissimo. Sed nemo, semel monitus, dubitabit, quin hoc scriptum ad juniorem nostrum Timæum referendum sit: quippe in hujusmodi argumentis Sophistarum diligentia versari solebat. Suidas autem quoties scriptores homonymos confuderit, nemo nescit. Sequitur, ut de ipso Timæi Lexico dicamus. Parum liquet, utrum ita, ut nunc a nobis profertur, ab auctoris manu profectum sit, an integrius locupletiusque? Ex Ms. nostri inscriptione, Τιμαίου σοφιστοῦ ἐκ τῶν τοῦ Πλάτωνος λέξεων, colligeres, majoris operis excerptum esse, nisi Photius quoque exiguæ molis libellum tractasset. Vocat enim πονημάτιον βραχύ. Inscriptionem vero forsitan ita refingere malis: Τιμαίου σοφιστοῦ λεξ. (i. e. λεξικὸν) τῶν τοῦ Πλάτωνος λέξεων. Quod ut in medio relinquimur, ita vehementer dolemus, libellum præpostera nescio cujus diligentia interpolatum esse, stultissimoque consilio cum aliorum, tum Herodoti inprimis, glossis amplificatum. Vide v. Ἀγαθοεργοὶ, Ἀμφικτύονες, Γεωπεῖναι, Ἐνωμοτία, Ζειραὶ, Κνάφος, Πατρούχου παρθένου, Πύθιοι, &c. Quæ omnia ex Herodoto huc esse derivata, tam manifestum est, ut, si quis illa in Platone quærere instituat, doctorum hominum irrisione ludendus sit. Ex aliis scriptoribus adspersæ sunt voces, Ἐφέται, Ἱππαγρέται, Κωλα-

γρέται, Σκιῖται, &c. Eas quoque undelibet potius, quam ex Platone manasse, posito pignore contenderim. Satis jam, puto, intelligunt harum literarum periti, sic nobis ex parte præclarum fructum, qui ex hoc Lexico ad ipsum Platonem pervenire debebat, interceptum esse. Nam quamvis illud non tam ad emendandum, quam ad illustrandum Platonem, ab auctore comparatum sit, nobis tamen, qui Philosopho minus integro, quam tum erat, utamur, magno hoc opusculum adjumento poterat esse ad loca depravata indaganda, pristinoque nitori restituenda. Nunc autem, cum incertum sit, utrumne glossa, quam restituere velis, ex Platone hausta sit, an ex alio scriptore, quis hujus Lexici auctoritate Platonem refingere audeat? Quibus de caussis, tametsi non deerant conjecturæ, rarissime tamen, Timæo duce, Platonem tentavimus, nec fere, nisi aliorum Grammaticorum consensus accessisset. Vel sic tamen est, quod nobis gratulemur, Timæum importunam cladem, quæ alios in eodem argumento versatos oppressit, feliciter evasisse. Multi enim Platonis loci rectius, quam ante, per illum intelliguntur: multæ lectiones, ab ingeniosis hominibus perperam sollicitatæ, egregie confirmantur. Potuerat quidem hoc argumentum latius et majore cum eruditionis ubertate tractare, ut Erotianum in Hippocratis Lexico, et Harpocrationem in x. Rhetorum, fecisse videmus: nisi ipse fortasse Galenum imitari maluerit, qui, post eruditissimam operam aliorum, non dubitavit Hippocratis glossas nude, nec adscita aliunde eruditione, enarrare. Sed, utcunque est, jure Dan. Heinsius ad Maxim. Tyr. Diss. viii. p. 52. Timæi desiderium his verbis jam olim ostendit: ‘ Hæc pluribus præter morem et institutum nostrum persecuti sumus, ut studiosi Platonis, non opiniones tantum, sed et voces τὰς τῷ ἀνδρὶ ἐν χρήσει diligenter observent. Quodsi exstaret Timæus, et tot illi Lexicographi Platonici, quorum cum alii, tum Photius meminerunt, facile hoc labore supersederemus. Nunc e tot illis ne unus quidem nobis relictus est, de quo saltem illud poëtæ usurpare liceat, Χείλεα μέν τ' ἐδίην', ὑπερώην δ' οὐκ ἐδίηνε.’ At enim cum omnes hunc libellum temporis injuria deperditum crederent, ecce! Bernardus Montfauconius, vir præclaris in rem literariam meritis insignis, in Bibliotheca Coisliniana, nunc Sangermanensi, Timæi Codicem reperit, ex eoque specimen, quamvis minus accurate descriptum, in ejusdem Bibliothecæ Catalogo p. 477. prodidit. Codex est membranaceus, x. seculi, elegantissimus, et præterea continet Apollonii Lexicon Homericum, Phrynichi Σοφιστικὴν Προπαρασκευὴν, aliaque Glossaria. Ego vero

cum hoc Lexicon multis de caussis dignissimum judicarem, quod liberali manu assertum, tot seculorum vinculis liberaretur: petii a viro præstantissimo, Henrico Gally, qui tum Parisiis degebat, ut, quacunque ratione posset, illius apographum ad me curaret. Quod consilium ut acceperat Claudius Sallierius, singulare Galliæ eruditæ ornamentum, statim, pro eximio suo literarum juvandarum studio, amico nostro veteris membranæ copiam fecit. Magnum autem fortunæ munus in eo posuerim, quod describendi provinciam humanissime suscepit cultissimi ingenii nec vulgaris eruditionis vir, Joannes Capperonnerius, eamque tam egregie administravit, nihil ut supra fieri posse videatur.* Nactus igitur apographum, Timæum cum Platone comparare, atque adeo ejus editionem curare cœpi: in qua quæ sit a nobis servata ratio, paucis exponendum videtur. Codicem veterem, qui unicus nunc superest, summa repræsentavi religione. Alterius Manuscripti vicem sæpius explerunt Photius Ms. et Suidas, aliquando etiam Etymologus M. qui omnes bonam hujus Glossarii partem ad verbum descripserunt, nomine auctoris suppresso. Quoties quam salutarem operam sibi mutuo præstiterint Timæus et Suidas, non sine voluptate ex animadversionibus nostris cognosces, simul admirans, Cl. Kusterum ex tot Platonicis glossis, quas Suidas in farraginem suam congessit, vix unam alteramve ad Platonem retulisse. Photii Lexicon ineditum evolvi apud virum ingenii, doctrinæ, probitatis fama clarissimum, Joannem Albertum, cui multis nominibus tantum debeo, quantum ab homine deberi homini plurimum potest. Porro suam cuique glossæ sedem assignavi; aliquas etiam latentes in lucem revocavi, atque e fuga retraxi. Qua tamen in re plus navare et efficere potuissem, nisi crebræ, de quibus modo dixi, interpolationes omne hoc conjecturarum genus anceps et lubricum reddidissent. Sed cum omnis hæc opera ad Platonem emendandum illustrandumque comparata sit, sæpe de illustrioribus ejus locis disputavi fusius, inprimisque fontes, ex quibus posteriores scriptores rivulos duxerint, diligenter indicavi. Equidem haud scio, utilitatisne plus habeat, an voluptatis, collatis inter se locis cognoscere, quid quisque a Platone mutuatus sit, et quo modo, quod Platonis erat, imitando fecerit suum. Qua de re pauca in universum juvat disserere. Vix quisquam post heroica

* Pauca, nec ea magni momenti, quæ Capperonnerius neglexerat, Codice iterum excusso, Cl. Villoisonus ad Longum p. 179. indicavit.

